This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



LIBRARY
OF THE
UNIVERSITY OF CALIFORNIA.

Accession 89313 Class 756
C82
S
v. 31



CORPUS
SCRIPTORUM HISTORIAE
BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE

BORUSSICAE

CONTINUATA.



LEO GRAMMATICUS.

EUSTATHIUS.

BONNAE

IMPENSIS ED. WEBERI

MDCCCXLII.

LEONIS GRAMMATICI

CHRONOGRAPHIA.

EX RECOGNITIONE

IMMANUELIS BEKKERI.

ACCEDIT

EUSTATHII DE CAPTA THESSALONICA LIBER.



BONNAE

IMPENSIS ED. WEBERI

MDCCCXLII.

IMMANUELIS BEKKERI

PRAEFATIO.

Leonis grammatici partem eam quae a p. 207 ad 331 pertinet, post Goarum Combefisius edidit, Theophanis sui p. 443—510. alteram nuper admodum I. A. Cramerus adiecit, Anecdotorum Graecorum e codicibus manuscriptis bibliothecae Regiae Parisiensis 2 p. 243—379. qui ita praefatus est.

> Hanc Anonymi chronographiam, quam e codice 854 f. 328 r. deprompsi, Leoni grammatico tribuit catalogi confector, sed perperam, credo: nam ea parte tantum operis nomen Leonis comparet quae sequitur tempora quorum annales confecit Theophanes, et haec satis congruunt cum iis quae sub eius Leonis nomine in Corpore Byzant. Script. vulgata sunt. hoc chronicon mihi videtur esse confectum ex variis scriptoribus, Cedreno, Ioanne Antiocheno, chronico

89313

ΛΕΟΝΤΟΣ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΧΡΟΝΟΓΡΑΦΙΑ *).

LEONIS GRAMMATICI

CHRONOGRAPHIA.

ΛΕΙΠΕΙ ΤΑ ΕΞ ΑΡΧΗΣ ΤΗΣ ΙΣΤΟΡΙΑΣ ΤΑΥΤΗΣ.

. . . . Τοίνυν ἐκ τῶν εἰρημένων ἐννοεῖν ὅτι ἠδύνατο ὁ ἄνθρωπος καὶ μετὰ τὴν παράβασιν εἰς αἰῶνας ζῆν, εἰ ἐγεύσατο τοῦ τῆς ζωῆς ξύλου· διὸ ἵνα μὴ κακὸν ἀθάνατον ᾖ ὁ ἄνθρωπος, τοῦ παραδείσου ἐξοστρακίζεται, ὅπως μὴ γεύσηται τοῦ τῆς ζωῆς ξύλου καὶ ἀθάνατος διαμείνῃ. θνητὸν δὲ αὐτὸν ἀπεφήνατο ὁ θεὸς νεκρότητι περιβαλών· τοῦτο γὰρ οἱ δερμάτινοι χιτῶνες σημαίνουσιν, ἀπὸ τοῦ λόγου τῆς τῶν ζώων νεκρώσεως, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος καὶ τῆς δέσεως ἡ ἁμαρτία πᾶσα αὐτόπρεμνος διαφθαρῇ.

*) Quae vulgo addunt, τὰ τῶν νέων βασιλέων περιέχουσα, ea ad alteram huius libri partem et Leonis Armenii initia pertinent.

DEEST INITIUM HUIUS HISTORIAE.

. . . . . Igitur ex iis, quae dicta sunt, colligendum, potuisse hominem, vel post peccatum in aeternum vivere, si ex vitali arbore fructus sumsisset; quare ne immortale malum sit homo, ex paradiso est expulsus, ne vitalis arboris fructibus vescatur, et permaneat immortalis. mortalem autem eum deus fecit, induens ei mortalitatem (id enim vestes e pellibus factae significant, mortalitatis animalium ratione) ut, corporis quoque vinculis dissolutis omne peccatum radicitus extinguatur.

Εἴρηται δὲ ὑπὸ τοῦ θεοῦ τὸ "ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν" οὐχ ὡς προκόψαντος αὐτοῦ διὰ τῆς ἀπειθείας ἐπὶ τὴν τῆς ἀρετῆς τε καὶ κακίας γνῶσιν, ἀλλ' ὡς τοιούτου ἐξ ἀρχῆς πλασθέντος. φθάσασα γὰρ εἶπεν ἡ γραφὴ ὅτι ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ὁ δὲ πλασθεὶς κατ' εἰκόνα θεοῦ δῆλον ὡς προκαταβεβλημένην εἶχεν ἐν τῇ φύσει τὴν γνῶσιν τοῦ καλοῦ τε καὶ τοῦ πονηροῦ. διὸ ἵνα μὴ τῇ αὐτεξουσιότητι κεχρημένος μεταλάβῃ τοῦ τῆς ζωῆς ξύλου καὶ γένηται κακὸς ἀθάνατος, ἐξεβλήθη σὺν τῇ Εὔᾳ εἰς τὴν γῆν τῆς κτίσεως αὐτοῦ. τί γὰρ μετὰ ταῦτα πάντα ἡ θεία γραφή; "καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη· καὶ ἐξέβαλε τὸν Ἀδάμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τῆς τρυφῆς τοῦ παραδείσου, καὶ ἔταξε τὰ χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς."

Μετὰ τὸ ἐκβληθῆναι τὸν ἄνθρωπον ἔξω τοῦ μακαρίου χωρίου ἀκαταμάχητοι φρουροὶ καὶ λίαν ὑπέροπτοι φυλάττειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς ἐτάχθησαν, ὡς μηδένα τοῦ λοιποῦ ἰσχύειν παρελθεῖν ποσὶ βεβήλοις εἰς ἐκεῖνον τὸν τόπον. καὶ γὰρ μάχαιρα φλογίνη ἐτέθη ἐκεῖ ἐπὶ τῷ τὸν πλησιάζοντα, ἐξ ὕλης ὑπάρχοντα, πυρὶ φλεγόμενον ἀναλίσκεσθαι παραυτὰ καὶ ἀπόλλυσθαι. στρέφεται δὲ ἡ ῥομφαία, ἵνα ἐν τῇ πα-

20. εἰς om C i. e. editio Cramerana. 21. τῷ] τὸ C

Dictum est a deo: "ecce Adamus factus est ut nostrum aliquis, ita ut cognoscat bonum malumque," non quo eo, quod non obediens fuit, virtutis et sceleris cognitionem nactus esset, sed quia talis ab initio formatus erat supra enim dixit biblia: "creavit hominem deus et creavit ad dei imaginem." formatus autem quum fuerit ad dei imaginem, apertum est, insitam ab initio eius naturae boni malique cognitionem fuisse. quare ne libertate utens, vitalem arborem adiret, fieretque malus immortalis, expulsus est cum Eva in regionem quam incoleret; quid enim post haec omnia sacra scriptura? "et emisit eum deus dominus ex paradiso voluptatum, ut terram coleret, ex qua sumptus erat, et extrusit Adamum deditque domicilium procul a voluptatibus paradisi. et cherubim collocavit, gladiumque flammeum qui circumagebatur ad viam vitalis arboris custodiendam.

Expulso ex felice regione homine invicti et vigilantissimi custodes ad defendendam vitalis arboris viam sunt collocati, ut nemo in posterum ad illum locum profanis pedibus accedere posset. namque flammans gladius ibi positus est, ut, si quis e terra factus appropinquaverit, igni consumatur extemplo et intereat. circumagitur autem

λεγγενεσίᾳ, ὅτε καὶ ὁ ἄνθρωπος αὖθις οἰκήτωρ γένηται τοῦ παραδείσου, τοὺς μὲν δικαίους φωτίσῃ παρερχομένους ἐπὶ τὸν θεῖον τῆς ἀθανασίας χῶρον, τοὺς δὲ ἀδίκους, εἴ γε προσεγγίσαιεν, καταφλέξῃ. αὐτόματα δὲ πάντα ἡ γῆ ἔφερε πρὸ τῆς παραβάσεως τοῦ Ἀδάμ, καὶ μετὰ τοῦτο μηδὲν φέρειν χωρὶς πόνου ἐκελεύσθη.

Ἐξελθὼν τοίνυν ὁ Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐκ τοῦ παραδείσου καὶ συνελθὼν αὐτῇ ἐγέννησε τὸν Καΐν, εἶτα μετ' αὐτὸν τὸν Ἄβελ. ἦν δὲ Καΐν μὲν γεωργὸς γῆς, ποιμὴν δὲ προβάτων Ἄβελ. τοῦ δὲ Ἄβελ ἐκ τῶν πρωτοτόκων προβάτων δῶρα θύσαντος τῷ θεῷ, καὶ τοῦ θεοῦ δεξαμένου, καὶ τοῦ Καΐν οὐκ ἐκ τῶν πρωτογενημάτων ἀλλὰ μετὰ τὴν ἰδίαν καὶ κοινὴν τῶν καρπῶν ἀπόχρησιν θεῷ προσκομίσαντος, καὶ τοῦ θεοῦ μὴ δεξαμένου, οὐ μόνον ταῦτα ἀλλὰ καὶ ὅσα ἐφεξῆς ἐκ τῆς Λεπτῆς Γενέσεως ἔχουσι τὰ Μακρὰ ἐπὶ κακίᾳ τοῦ Καΐν (τοῦτο δὲ ἐγένετο φανερὸν διὰ τοῦ ἐξαποσταλέντος οὐρανόθεν πυρὸς εἰς τὴν τῶν προσενεχθέντων ἐξανάλωσιν), ἐζήλωσεν ὁ Καΐν τὸν Ἄβελ. ζητητέον ἐν πρώτοις διὰ τί τοῦ Καΐν οὐ προσήκατο τὴν προσφοράν. λύει τοίνυν τὸ ἀπορούμενον αὐτὴ ἡ γραφὴ φήσασα "καὶ ἐγένετο μεθ' ἡμέρας, προσήνεγκε Καΐν ἀπὸ τῶν καρπῶν τῆς γῆς," ὥστε διὰ τοῦτο ἐλέγχεσθαι τὸν Καΐν ὅτι μὴ τὰ ἀκροθίνια τῶν γενημάτων μήτε τὰ πρωτογενήματα προσήνεγκε τῶν καρπῶν τῷ θεῷ, ἀλλὰ ταῦτα μὲν

3. προσεγγίσειε C 7. ἐπελθὼν C

gladius, ut in nova vita, quando homines denuo incolae fient paradisi, iustos illustret praetereuntes in divinum immortalitatis campum, improbos autem, si quis appropinquaverit, comburat. sponte autem terra ante Adami peccatum omnia proferebat, atque postea nihil ferre sine labore iussa est.

Egressus igitur Adamus cum Eva ex paradiso coiit cum ea et procreavit Cain et post illum Abel. erat autem Cain agricola, pastor gregum Abel. quumque Abel ex primitiis pecudum munera deo sacrificasset, accepissetque deus, et Cain non ex primitiis, sed post proprium et communem fructuum usum deo praebuisset, quae tamen repudiavit deus, neque ea tantum, sed etiam quaecunque deinceps ex Parva Genesi in Magnam translata sunt, ob Cain impietatem, (illud autem declarabatur deiecta de coelo flamma, qua consumerentur dona allata); Cain ira in Abel exarsit. inquirendum est primum, cur repudiatum sit Cain sacrificium. et solvit quaestionem ipsa biblia dicens: "et evenit post aliquot dies, ut offerret Cain e terrae fructibus," ita ut propter illud vituperetur Cain, quod non optimum quodque e fructibus ne-

βίῳ πονηρῶν ἐπαγει τὴν καταπαυσιν, τὸ δὲ ζῆν ἐν φόβῳ καὶ λυπῃ μυρίους ἐπάγει τοὺς σὺν αἰσθήσει θανάτους. τρέμων οὖν καὶ στένων ὁ Κάϊν, καθάπερ δαίμονι κάτοχος, ἐν ἐπιλήψίᾳ πάντα τὸν ἐξ αὐτοῦ διῆγε βίον, τοῦτο τοῦ μὴ ἀναιρεθῆναι παρὰ θεοῦ λαβὼν τὸ σημεῖον· μετὰ γοῦν τὴν καταδίκην χειρόνως ἐβίω, ἅρπαξ καὶ πλεονέκτης γενόμενος, καὶ πρῶτος μέτρα καὶ σταθμὰ καὶ γῆς ὅρους ἐπενόησε, καὶ πόλιν κτίσας εἰς ἓν συνελθεῖν οἰκείους ἠνάγκασε καὶ εἰς πολέμους ἀπασχολεῖσθαι.

Σάβαν δὲ τὴν ἀδελφὴν αὐτοῦ λαβὼν ὁ Κάϊν εἰς γυναῖκα ἐκτήσατο υἱὸν τὸν Ἐνώς. ἐκ τούτου γίνεται Γαιδάδ, ἐξ οὗ Μαουήλ, ἐξ οὗ Μαθουσάλα. ὁ δὲ Μαθουσάλας γεννᾷ τὸν Λάμεχ. οὗτος δύο γυναῖκας ἀγόμενος, Ἀδδὰν καὶ Σελλάν, Ἰουβὰλ μὲν κιθαρῳδὸν Ἰωβὴλ δὲ κτηνοτρόφον ἐκ τῆς Ἀδδᾶς παῖδας ἐκτήσατο, Θοβὲλ δὲ σφυροκόπον χαλκοῦ καὶ σιδήρου καὶ Νοεμᾶν θυγατέρα ἐκ τῆς Σελλᾶς. καὶ τὸ μὲν ἐκ Κάϊν γένος μέχρι τούτου μνήμης ἠξίωται ἐν τοῖς βιβλίοις, τοῦ δὲ ἀριθμοῦ τῶν πρώτων ἀποκεκήρυκται, ἵνα μηδὲ τοῖς πρώτοις ᾖ συνταττόμενος μηδὲ τῶν ἐφεξῆς ἀφηγούμενος· διὰ δὲ τὸ τῆς προαιρέσεως ἄγριον ὥσπερ ἐπὶ τὴν ἄλογον ἐκ τῆς λογικῆς φύσεως ἐξώρισται. Κάϊν, ὡς λέγει Μωϋσῆς, τῆς οἰκίας πεσούσης ἐπ' αὐτὸν ἐτελεύτησεν. ὁ δὲ Ἀδὰμ

5. λαβόντας σημεῖον C 8. τοὺς οἰκείους? 13. ἀγαγόμενος? 17. βίβλοις C 20. τὸ om C

leris, interfecerit, is septies poenam luet, id est, septemplicem poenam tibi reddi oportet. mors enim vitae calamitatibus dat quietem, vita autem per timorem et tristitiam innumeras animo mortes offert. tremens igitur et plangens Cain, tanquam a diabolo occupatus, omnem ex illo tempore vitam infirmus degit, illud ne occidatur signum a deo accipiens. sed post damnationem peius vixit, avarus et avidus factus, et primus mensuras, et domus finesque terrae excogitavit, atque condita urbe in unum locum convenire homines coegit et bella defendere.

Saba sorore in matrimonium ducta Cain filium procreavit Enos; ex eo natus est Gaedad; ex eo Mauel; ex eo Mathusala. Mathusala genuit Lamech; hic duabus ductis uxoribus, Adda et Sella, Iubal citharoedum et Iobel pastorem ex Adda sustulit filios; ex Sella Thabel fabrum aeris et ferri atque Noemam filiam. Cain genus hucusque memoriae proditur; priorum autem numerus exhibetur, ut neque cum primis hominibus neque cum sequentibus confundantur; sed ob ferocem animum tanquam in imprudentem ex sapienti natura exterminatur. Cain ut ait Moses, domo in eum collapsa, obiit. Adamus

γενόμενος ἐτῶν σλ' ἐγέννησε τὸν Σήθ· καὶ τούτοις ἑπτακόσια ἐπιζήσας ἔτη θνήσκει κατ' αὐτὴν τῆς παραβάσεως ἡμέραν· χιλιοντετείας γὰρ τῆς τοῦ θεοῦ ἡμέρας ἐχούσης τὸ διάστημα, ἐννακόσια μόνον ἔτη ζήσας τελευτᾷ. τοῦτον λέγεται πρῶτον εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, ταφῆναι, καὶ τὸ μνῆμα αὐτοῦ κατὰ τὴν τῶν Ἱεροσολύμων γεγονέναι γῆν Ἑβραϊκή τις ἱστορεῖ παράδοσις. ἦν δὲ ἄρα πρὸ πάντων ἀκόλουθον εἰς τὴν γῆν ταφῆναι, ὅτι πρῶτος ἀκούει παρὰ θεοῦ "γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ·" ἀφανὲς γάρ φησι τὸ τοῦ Ἄβελ γεγενῆσθαι σῶμα, τοῖς μετέπειτα δικαίοις ἀγαθὰς ὑποφαίνων ἐλπίδας.

Σὴθ Ἄζουρὰν ἀγόμενος τὴν ἀδελφὴν διακοσίων πέντε ὑπάρχων ἐτῶν ἐγέννησε τὸν Ἐνώς. "πρῶτος οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ" τουτέστιν ἐν θεοῦ ὀνόματι προσαγορεύειν τὸν θεόν. οὗτος ὁ Σὴθ ἔθηκεν ὀνόματα τοῖς πέντε πλανήταις, Κρόνον Δία Ἄρεα Ἀφροδίτην Ἑρμῆν· τοὺς γὰρ δύο φωστῆρας ἥλιον καὶ σελήνην θεοὺς ἐκάλεσε· πρῶτος γὰρ τὴν τῶν οὐρανίων κινήσεων σοφίαν ἐπενόησε. τοῦ δὲ Ἀδὰμ προειπόντος φθορὰν ἔσεσθαι τοῦ παντὸς κόσμου ἢ δι' ὕδατος ἢ διὰ πυρός, στήλας δύο ἐπινοήσαντες οἱ ἐκ τοῦ Σήθ, μίαν ἐκ πλίνθου καὶ ἄλλην ἐκ λίθου, τὰ τῆς ἐπιστήμης ἐνεκόλαψαν. οὗτος ὁ Σὴθ πρῶτος τὰ Ἑβραϊκὰ γράμματα

2. τὴν ἡμέραν? 12. ἀγαγόμενος? ἀδελφικὴν C

autem annos natus ducentos triginta genuit Seth. post hoc tempus quum septingentos annos vixisset, mortuus est ipso peccati die. nam quum dei dies mille annos impleat, mortuus est, nongentos tantum annos natus. atque hic primus narratur in terram, ex qua sumtus erat, sepultus esse, eiusque sepulcrum circa Hierosolyma fuisse, hebraica quaedam traditio perhibet. fuit igitur omnium primus, qui in terra sepeliebantur, quippe qui primus dei verba audivit: terra es et in terram redibis; nam Abel corpus non amplius visum esse narratur, quae res bonam spem praebuit iustis in posterum hominibus.

Seth, annos natus 205, ducta Asura sororem procreavit Enos. primus hic veritus est domini dei nomen dicere, i. e. dei nomine deum appellare. idem hic Seth quinque planetis nomina indidit Saturno, Iovi, Marti, Veneri et Mercurio; duo enim coelestia lumina, solem et lunam deos appellavit; primus enim motuum coelestium cognitionem invenit. quum autem Adamus praedixisset, mundum aut aqua aut igni esse periturum, Seth liberi columnas duas exstruxerunt, alteram latericiam, alteram lapideam, et, quae sciebant, insculpserunt. Seth primus hebraicas litteras invenit et scripsit. Enos, 190 annos

Ἔβερ γενόμενος ἑκατὸν τριάκοντα τεσσάρων ἐτῶν ἐγέννησε τὸν Φαλέκ. ἐν ἀρχῇ τῶν ἡμερῶν Φαλὲκ οἱ τοῦ Νῶε υἱοὶ διχονοήσαντες τῆς γῆς εἰς ἑαυτοὺς ποιοῦνται τὴν διανέμησιν. Φαλὲκ γενόμενος ρλ' ἐτῶν ἐγέννησε τὸν Ῥαγαῦ, καὶ ἐπιβιώσας ἔτη σθ' ἐτελεύτησε. συνάγεται τὰ πάντα ἔτη ἀπὸ Ἀδὰμ ἐπὶ τὴν τοῦ Φαλὲκ τελευτὴν ἔτη τρισχίλια. ὥστε εἰκότως ταύτης ἔτυχε τῆς ὀνομασίας ὁ Φαλέκ· μερὶς γὰρ ἑρμηνεύεται ἑκατέρας προαναφωνῶν τὰς διαιρέσεις. τῆς τε γὰρ γῆς τὴν διακλήρωσιν οἱ τοῦ Νῶε παῖδες ἐπὶ τρύτου ποιοῦνται, καὶ τοῦ ὑπονοουμένου τῶν ἑξακισχιλίων ἐτῶν χρόνου ἡ διαίρεσις ἐπὶ τῆς τελευτῆς τῶν ἡμέρων γίνεται τούτου, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ ἐπὶ τῷ τέλει τῆς ζωῆς αὐτοῦ. τότε μεταστέλλονται οἱ τρεῖς υἱοὶ τοῦ Νῶε πάντας τοὺς ἐξ αὐτῶν, καὶ διδοῦσιν αὐτοῖς ἔγγραφον τῶν τόπων τὴν κατανέμησιν, καὶ λαγχάνουσιν ἑκάστῳ καὶ ταῖς ἑκάστου φυλαῖς καὶ πατριαῖς τόποι καὶ κλίματα καὶ χῶραι καὶ νῆσοι καὶ ποταμοὶ κατὰ τὴν ὑποκειμένην ἔκθεσιν.

Τῷ μὲν οὖν Σὴμ τῷ πρωτοτόκῳ υἱῷ Νῶε ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς καὶ Ῥινοκορούρων, τῷ δὲ Χὰμ τῷ δευτέρῳ υἱῷ τοῦ Νῶε ἀπὸ Ῥινοκορούρων ἕως Γαδείρων τὰ πρὸς νότον, τῷ δὲ Ἰάφεθ τῷ τρίτῳ υἱῷ Νῶε ἀπὸ Μηδείας ἕως Γαδείρων τὰ πρὸς βορρᾶν. ἔστι δὲ αἱ λαχοῦσαι χῶραι κατ' ὄνομα τῷ Σήμ, τῷ πρωτοτόκῳ υἱῷ τοῦ Νῶε, αἵδε, Περσίς, Βακτριανή, Ὑρκανία, Βαβυλωνία, Κορδύνη,

7. τῆς om C 11. ὁ μὲν — ὁ δὲ C 18. υἱῶν C 22. εἰσὶ?

Eber 134 annos natus genuit Phalek. huius vitae initio Noe liberi dissentientes terram inter se diviserunt. Phalek 130 annos natus genuit Ragau et posthac, quum vixisset annos 209, mortuus est. fuerunt autem annorum ab Adamo usque ad Phalek mortem 3000; ita ut iure illud nomen Phalek sit inditum; partem enim significat et utramque partitionem portendit. namque et terrae divisionem Noe filii sub eo fecerunt et praefiniti temporis 6000 annorum sub finem eius vitae divisio est facta; igitur et initio et in fine eius vitae. tum tres Noe filii omnes ex se prognatos arcessiverunt, iisque dederunt perscriptam locorum partitionem. atque obtigerunt singulis et singulorum gentibus terrae et climata, regiones, insulae et fluvii secundum factam divisionem.

Sem igitur, ex Noe filiis natu maximus, terram a Perside et Bactriana usque ad Indiam et Rhinocoruram sortitus est; Cham, alter ex Noe filiis a Rhinocorura usque ad Gadiram, quae est meridiem versus; Iaphed, tertius Noe filius, a Media usque ad Gadiram, quae pars in septentriones spectat. sunt autem terrae, quae Sem obtigerunt hae:

Ἀσσυρία, Μεσοποταμία, Ἀραβία ἡ ἀρχαία, Ἐλυμαΐς, Ἰνδική, Ἀραβία ἡ εὐδαίμων, Κοιλὴ Συρία, Κομμαγήνη καὶ Φοινίκη πᾶσα· ἔστι δὲ ἐν τῷ μέρει αὐτοῦ ποταμὸς ὁ Εὐφράτης.

Ἐκ δὲ τῆς φυλῆς τοῦ Σὴμ ἀνεφάνη ἄνθρωπος γιγαντογενής, ὀνομασθεὶς ὑπὸ τοῦ πατρὸς Κρόνος εἰς ἐπώνυμον τοῦ πλανήτου ἀστέρος, ὃς πρῶτος κατέδειξεν ἄρχειν καὶ βασιλεύειν Ἀσσυρίων. ἔσχε δὲ γυναῖκα Σεμίραμιν τὴν καὶ Ῥέαν καλουμένην, ἐξ ἧς ἔσχε υἱόν, ὃς ἐπεκλήθη Ζεὺς ὁ καὶ Πῖκος, γήμας τὴν ἰδίαν ἀδελφὴν Ἥραν. ἔσχε δὲ Κρόνος καὶ ἕτερον υἱὸν ὀνόματι Ἄφρον, ᾧ ἀπεκλήρωσε τὴν πρὸς Λιβύην γῆν· ὃς ἔγημε τὴν Ἀστυνόμην, γεννήσας ἐξ αὐτῆς θυγατέρα, ἣν ἐκάλεσεν Ἀφροδίτην. ὁ δὲ Κρόνος ἐξωσθεὶς τῆς βασιλείας ὑπὸ τοῦ ἰδίου υἱοῦ Διὸς κατέλιπε Δία καὶ Νῖνον, υἱοὺς αὐτοῦ, μετὰ τῆς μητρὸς αὐτῶν Ῥέας βασιλεύειν Ἀσσυρίων· αὐτὸς δὲ κατιὼν ἐν τῇ δύσει κρατεῖ καὶ βασιλεύει πάσης Ἰταλίας. Ζεὺς οὖν ὑποχωρήσας τῶν Ἀσσυρίων παρεγένετο πρὸς τὸν πατέρα· ὁ δὲ παραχωρεῖ αὐτῷ βασιλεύειν πάσης Ἰταλίας, καὶ κρατήσας πολλοῖς ἔτεσι καὶ τελευτήσας κατατίθεται ἐν Κρήτῃ. μετὰ δὲ Νῖνον ἐβασίλευσεν Ἀσσυρίων Θούρρας, ὃν μετωνόμασαν Ἄρεα ὡς πολεμικώτατον καὶ γενναῖον ὄντα· ὃν οἱ Ἀσσύριοι Βάαλ θεὸν μετωνόμασαν καὶ ἀναστηλώσαντες σέβονται. μετὰ δὲ τὴν τοῦ Διὸς τελευτὴν Φαῦνος υἱὸς αὐ-

7. πρῶτος] ὥς φησιν Ἀφρικανὸς ὁ σοφώτατος margo codicis
11. Ἄφρων C

Persis, Bactriana, Hyrcania, Babylonia, Cordyne, Assyria, Mesopotamia, Arabia antiqua, Elymaïs, India, Arabia felix, Coelesyria, Commagene et omnis Phoenicia, estque in eius parte Euphrates fluvius.

Ex stirpe Sem prodiit homo ingenti corpore, a patre suo Saturnus appellatus ad nomen planetae; hic primum regnum et imperium Assyriis monstravit. uxorem habuit Semiramim, quae etiam Rhea nominatur; ex ea filium sustulit Iovem, qui etiam Picos nominabatur et Innonem sororem in matrimonium duxit. erat praeterea alter Saturno filius nomine Aphron, cui terram Libyam versus tribuit. hic Astynomen duxit, ex qua filiam procreavit Venerem. Saturnus autem ab ipso Iove filio imperio pulsus, reliquit Iovem et Ninum filios, qui cum Rhea matre in Assyria regnarent; ipse in occidentem se contulit et totius Italiae regnum tenuit. iam Iupiter relicta Assyria patrem adiit; hic ei totius Italiae imperium concessit et postquam multos annos regnavit mortuus est et in Creta sepultus. post Ninum rex Assyriorum fuit Thurras, cui Marti cognomen dederunt utpote bellicosissimo et nobili, quem Assyrii Baal deum dixerunt et constituto

τοῦ ἐβασίλευσεν, ὃς μετωνομάσθη Ἑρμῆς· ἦν γὰρ λογιώτατος πάνυ καὶ μαθηματικός· ὅστις καὶ τὴν τοῦ χρυσοῦ ποίησιν ἐφεῦρεν ἐκ μετάλλων ἀνθρώποις.

Τῷ δὲ Χὰμ τῷ δευτέρῳ υἱῷ τοῦ Νῶε ἔλαχον χῶραι κατ' ὄνομα αἵδε, Αἴγυπτος, Αἰθιοπία ἡ βλέπουσα κατὰ Ἰνδούς, ἑτέρα Αἰθιοπία, ὅθεν ἐκπορεύεται ὁ τῶν Αἰθιόπων ποταμός, Ἐρυθρὰ ἡ βλέπουσα κατὰ ἀνατολάς, Θηβαΐς, Λιβύη ἡ παρεκτείνουσα μέχρι Κυρήνης, Μαρμαρίς, Σύρτις, Λιβύη ἡ ἀπὸ ποταμέως παρεκτείνουσα μέχρις ἄκρας Σύρτεως, Νουμιδία, Μασσυρίς, Μαυριτανία ἡ παρεκτείνουσα μέχρις Ἡρακλεωτικῶν στηλῶν κατέναντι Γαδείρων. ἔχει δὲ ἐν τοῖς κατέναντι βορρᾶν τὰ παρὰ θάλασσαν, Κιλικίαν, Παμφυλίαν, Πισιδίαν, Μυσίαν, Λυκαονίαν, Φρυγίαν, Καβαλίαν, Λυκίαν, Καρίαν, Λυδίαν, Μυσίαν ἄλλην, Τρωάδα, Αἰολίδα, Βιθυνίαν, τὴν ἀρχαίαν Φρυγίαν. ἔχει δὲ καὶ νήσους Σαρδινίαν, Κρήτην, Κύπρον, καὶ ποταμὸν Γηὼν τὸν καλουμένον Νεῖλον.

Τῷ δὲ Ἰάφεθ τῷ τρίτῳ υἱῷ τοῦ Νῶε ἔλαχον χῶραι κατ' ὄνομα αἵδε, Μηδία, Ἀλβανία, Ἀμαζονίς, Ἀρμενία μικρά τε καὶ μεγάλη, Καππαδοκία, Παφλαγονία, Γαλατία, Κολχίς, Βοσπόρη, Μαιῶτις, Δερβίς, Σαρματίς, Ταυριανίς, Βαστρανίς, Σκυθία, Θρᾴκη, Μακεδονία, Δαλματία, Μολοσσίς, Θεσσαλία, Λοκρίς, Βοιωτία, Αἰτωλία, Ἀττική, Ἀχαΐα, Πελ-

10. ἡ om C 15. Φρυγίαν] ἡ Πισιδία margo

simulacro venerantur. post Iovis mortem Faunus, filius eius, regnavit, qui cognominatus est Mercurius; erat enim callidissimus et prudentissimus, et aurum ex metallis facere invenit.

Cham, alteri ex Noe filiis, terrae evenerunt hae: Aegyptus, Aethiopia, quae ad Indiam vergit, altera Aethiopia, unde provenit Aethiopum fluvius, Erythra, quae ad orientem spectat, Thebais, Libya, quae usque ad Cyrenen extenditur, Marmaris, Syrtis, Libya, quae est intra fluvium et extremam Syrtim, Numidia, Massyris, Mauritania, quae attingit Herculi columnas, exadversus Gadiram. possidet praeterea in terris septentrionem versus eas, quae mari sunt proximae, Ciliciam, Pamphiliam, Pisidiam, Mysiam, Lycaoniam, Phrygiam, Cabaliam, Lyciam, Cariam, Lydiam, Mysiam alteram, Troada, Aeolida, Bithyniam, Phrygiam antiquam; possidet etiam insulas Sardiniam, Cretam, Cyprum, et Geon fluvium, qui Nilus vocatur.

Iaphet, tertio ex Noe filius, terrae evenerunt hae: Media, Albania, Amazonis, Armenia minor et maior, Cappadocia, Paphlagonia, Galatia, Colchis, Bospora, Maeotis, Derbis, Sarmatis, Taurianis, Bastranis, Scythia, Thracia, Macedonia, Dalmatia, Molossis, Thessalia, Locris, Boeotia, Aetolia, Attica, Achaia, Pellene, Peloponnesus quae di-

λήνη, ἡ καλουμένη Πελοπόννησος, Ἀρκαδία, Ἠπειρῶτις, Ἰλλυρίς, Λυχνῖτις, Ἀδριακή, ἀφ' ἧς τὸ πέλαγος τὸ Ἀδριακόν. ἐπὶ δὲ αὐτῷ καὶ νῆσοι αἵδε, Βρεττανία, Σικελία, Εὔβοια, Ῥόδος, Χίος, Λέσβος, Κύθηρα, Ζάκυνθος, Κεφαληνία, Ἰθάκη, Κέρκυρα καὶ αἱ Κυκλάδες, καὶ μέρος τι τῆς Ἀσίας ἡ καλουμένη Ἰωνία. ποταμὸς δ' ἔστιν ἐν τοῖς αὐτοῖς μέρεσι Τίγρις ὁ διορίζων μεταξὺ Μηδίας καὶ Βαβυλῶνος. ἐκ δὲ τῶν τοῦ Ἰάφεθ υἱῶν ἀπὸ μὲν τοῦ Γόμερ Γομαρεῖς οἱ νῦν Γαλάται, ἐκ δὲ τοῦ Μαγὼθ οἱ νῦν Σκύθαι, καὶ ἀπὸ Μάδου Μῆδοι, ἐκ δὲ Ἴωνος Ἴωνες καὶ οἱ λοιποὶ Ἕλληνες, ἐκ δὲ τοῦ Θόβελ Θοβηλοὶ οἱ νῦν Ἴβηρες, ἀπὸ δὲ Μεσχῶ Μεσχηνοὶ οἱ νῦν Καππάδοκες, διὸ καὶ Μάζακα ἡ παρ' αὐτοῖς μητρόπολις, ἀπὸ δὲ Θῆρα Θρᾷκες, ἀπὸ δὲ Θάρρον Θαρσεῖς οἱ νῦν Κίλικες, ἀφ' οὗ καὶ Ταρσὸς ἡ παρὰ Κίλιξι πόλις ἀξιολογωτάτη.

Γενομένης δὲ τῆς δηλωθείσης διανεμήσεως, ὁ μὲν Σὴμ ἔνθα καὶ ὁ πατὴρ αὐτοῦ κατοικισθεὶς τὴν τῆς κληρονομίας αὐτοῦ μοῖραν εἰς τοὺς παῖδας κατατέμνει τοὺς ἑαυτοῦ, ὁ δὲ Χὰμ υἱὸς Χανααὰμ ἰδὼν τὴν πρὸς τῷ Λιβάνῳ γῆν, ὅτι ἀγαθή τέ ἐστι καὶ εὔφορος καὶ κατὰ πολὺ τῆς ἑαυτοῦ διαλλάττουσα, αὐτόθι κατασκηνοῖ, τῶν τοῦ Σὴμ ἐγγόνων ταύτην ἀποτεμόμενος τὴν μοῖραν, καίτοι τοῦ πατρὸς αὐτὸν καὶ τῶν ἀδελφῶν κωλυόντων, καὶ ὑπόμνησιν παρεχομένων ὧν ὁ πα-

16. γινομένης C

citur, Arcadia, Epirotis, Illyria, Lychnitis, Adriaca, unde Adriaticum mare; praeterea hae insulae: Brittania, Sicilia, Euboea, Rhodus, Chius, Lesbus, Cythera, Zacynthus, Cephalenia, Ithaca, Corcyra et Cyclades; tum Asiae pars, quae vocatur Ionia. fluvius est in eius parte Tigris, qui est terminus inter Mediam et Babyloniam. ex filiis Iaphet a Gomer orti sunt Gomares, qui nunc Galatae nominantur, a Magoth Scythae et a Mado Medi; ab Ione Iones et ceteri Graeci, a Thobel Thobeli, qui hodie Iberes, a Mescho Mescheni, qui nunc Cappadoces, unde etiam Mazaca, eorum metropolis; a Thera Thraces, a Tharro Tharses, hodie Cilices, unde etiam Tarsus, urbs Cilicum illustrissima.

Facta quam narravimus partitione, Sem eodem loco quo pater domicilium habuit, et, quam sortitus erat partem, liberis suis distribuit. tum Cham, filius Chanaam, quum videret, terram ad Libanum sitam bonam esse et fertilem multumque a sua differre, ibi consedit eamque partem liberis Sem abstulit quamvis prohibente patre et fratribus et eorum monentibus, quae Noe pater iis imprecatus erat, qui

τὴρ Νῶε τοῖς παραβαίνουσιν αὐτοῦ τὴν κρίσιν ἐπηράσατο. ἐντεῦθεν πᾶσα ἡ γῆ ἐκείνη Χαναναία προσηγορεύθη.

Τῶν τριῶν τοίνυν υἱῶν τοῦ Νῶε τριχῇ, καθὼς εἴρηται, τὸν κόσμον διανειμαμένων, ἀναγκαῖόν ἐστι λοιπὸν ἀναδραμεῖν ἐπὶ τὸ προκείμενον. καταλήξαντες δὲ ἐπὶ τὴν ἐκ Φαλὲκ τοῦ 5 Ῥαγαῦ γένεσιν, ἀρξώμεθα πάλιν ἀπ' αὐτοῦ.

Ῥαγαῦ γενόμενος ρλβ' ἐτῶν ἐγέννησε τὸν Σερούχ. ἐπὶ τούτου οἱ ἄνθρωποι τὸν κατ' ἀλλήλων αὐξήσαντες τῦφον στρατηγούς τε ἑαυτοὺς κατεστήσαντο καὶ βασιλεῖς, καὶ τότε πρῶτον πολεμικὰ κατασκευάσαντες ὄργανα πολεμεῖν ἀλ- 10 λήλους ἐνήρξαντο. καὶ εὐθὺς οἱ ἀπὸ Χαναὰμ ἡττῶνται καὶ πρῶτοι τῆς δουλείας ὑποπίπτουσι τῷ ζυγῷ κατὰ τὴν τοῦ Νῶε κατάραν. Σερούχ γενόμενος ρλ' ἐτῶν ἐγέννησε τὸν Ναχώρ· ᾤκει δὲ ὁ Σερούχ ἐν γῇ Χαλδαίων καὶ ἐν Ὥρ τῇ πό- 15 λει. αὐξηθέντα δὲ τὸν Ναχὼρ ἐδίδαξεν ὁ πατὴρ παντὸς ἐπί- λυσιν, οἰωνῶν τῶν τε ἐν οὐρανῷ καὶ σημείων διακρίσεις, καὶ τῶν ἐπὶ τῆς γῆς ἁπάντων, καὶ πᾶσαν Χαλδαϊκὴν μαντείαν. καὶ Ναχὼρ γενόμενος οθ' ἐτῶν ἐγέννησε τὸν Θάρρα. Νίνου δὲ τοῦ πρώτου βασιλέως Ἀσσυρίων τεσσαρακοστὸν ἕκτον ἄγον- 20 τος ἔτος τῆς βασιλείας γεννᾶται Ἀβραάμ. οὗτος γήμας τὴν ἑαυτοῦ μητέρα Σεμίραμιν, τὴν καὶ Ῥέαν, κτίζει πόλιν Νι- νευί, ἐπονομάσας αὐτὴν Νῖνον· ἀφ' οὗ Πέρσαις νόμος τὰς ἑαυτῶν μητέρας γαμεῖν καὶ ἀδελφάς, καθὼς καὶ Ζεὺς τὴν

2. προσηγορεύετο margo 9. ἑαυτοῖς? 14. καὶ Ἐνὼρ C

iudicium suum transgrederentur. hinc tota illa terra Chanania dicta est.

Quum igitur tres Noe filii terram, ut dictum est, dividissent, necesse est, ad propositum redire. iam quum substituerimus in Ragau ex Phalek nato, iterum ab eo incipiamus.

Ragau 132 annos natus genuit Seruch. sub hoc homines superbiam invicem augentes belli duces se et reges constituerunt; tumque primum bellica instrumenta confecerunt et bella gerere coeperunt. atque statim ii, qui Ghanaam incolebant, victi sunt et primi servitutis iugum subierunt secundum Noe imprecationem. Seruch 130 annos natus genuit Nachor; habitabat autem in Chaldaea et Or urbe. adultum Nachor docuit pater cuiusvis rei cognitionem, coelestium avium et signorum et omnium terrestrium rerum interpretationem et totam Chaldaicam divinationem. Nachor 79 annos natus genuit Tharra. quum Ninus, primus Assyriorum rex 46. annum ageret imperii, natus est Abraam. hic ducta Semiramide matre, quae etiam Rhea nominatur, Ninevi urbem condidit, quam Ninum cognominavit. hinc Persis



ἰδίαν ἀδελφὴν Ἥραν. μεθ' ὃν ἐβασίλευσεν Ἀσσυρίων ἡ τούτου γυνὴ Σεμίραμις, ἥτις κατεσκεύασε τὰ χώματα διὰ τοὺς κατακλυσμούς. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους παρ' Αἰγυπτίοις ἦν ἐξκαιδεκάτη δυναστεία, καθ' ἣν ἐβασίλευον Θηβαῖοι.

Θάρρα γενόμενος ἐτῶν ἑβδομήκοντα ἐγέννησεν ἐκ γυναικὸς Ἔδνας, θυγατρὸς Ἀβραὰμ πατραδέλφου αὐτοῦ, τὸν Ἀβραάμ, ὃν τινα ἡ μήτηρ ἐκάλεσεν ἐπ' ὀνόματι τοῦ ἑαυτῆς πατρός· ἔφθη γὰρ ἐκεῖνος πρὸ τῆς τούτου γενέσεως τετελευτηκέναι. ἐγέννησε δὲ ἔτι ὁ Θάρρα τὸν Ἄρραν καὶ τὸν Ναχώρ. ὁ δὲ Ἀβραὰμ λαμβάνει παρὰ τοῦ πατρὸς γυναῖκα τὴν Σάρραν. οὗτος μόνος, τῶν πανταχῇ τὴν περὶ τὰ εἴδωλα πλάνην νοσούντων, τὸν ἀληθῆ θεὸν ἐπέγνω. καὶ ὁ Ἄρραν δὲ ἀγαγόμενος γυναῖκα υἱὸν ἐκτήσατο τὸν Λώτ, θυγατέρα δὲ Μελχάμ· ταύτην δὲ ἑαυτῷ ὁ Ναχὼρ λαμβάνει εἰς γυναῖκα. ἤδη δὲ ἑξηκοστὸν ἔτος ἄγων ὁ Ἀβραάμ, ὡς οὐκ ἐδόκει τὸν πατέρα πείθειν καὶ τοὺς ἄλλους οἰκείους τῆς πρὸς τὰ εἴδωλα δεισιδαιμονίας μεταθέσθαι, λανθάνει νυκτὸς τῶν εἰδώλων ἐμπρῆσαι τὸν οἶκον. ἤδη δὲ ἐξ αὐτῶν ἀναλωθέντων οἱ ἀδελφοὶ περινοήσαντες ἀναπηδῶσι, βουλόμενοι ἐκ μέσου τοῦ πυρὸς ἐξελέσθαι τὰ εἴδωλα. φιλοτιμότερον δὲ ὁ Ἄρραν τῷ προστάγματι προσφερόμενος ἐν μέσῳ διαφθείρεται τοῦ πυρός· καὶ θάψας αὐτὸν ὁ πατήρ, ἐγγὺς ὢν τῇ πόλει τῶν Χαλδαίων, μετανίσταται πάντας ἀποφερόμενος τοὺς οἰκείους

4. *Αἰγυπτίους* C 6. *πατράδελφον* C 11. *ἐπὶ* C 18. ἐξ?

mos est, ducere in matrimonium matres et sorores, quemadmodum Iupiter Iunonem sororem duxerat. post hunc in Assyria regnavit Semiramis, eius coniux, quae moles exstruxit propter inundationes. eodem tempore apud Aegyptios decima sexta principum familia fuit, ubi Thebani regnaverunt.

Tharra 70 annos natus genuit ex Edna uxore, filia Abraam, avunculi sui, Abraam, quem mater ad patris sui nomen appellavit; ille enim mortuus erat antequam hic natus. praeterea Tharra procreavit Arran et Nachor. Abraam a patre Saram uxorem accepit; is solus, quum ubique homines idolorum erroribus tenerentur, verum deum cognovit. Arran uxore ducta filium sustulit Lot filiamque Melcham; eam Nachor uxorem duxit. quumque Abraam iam 60 annos natus desperaret, se patri et ceteris familiaribus persuadere posse, ut idolorum superstitionem mitterent, clam nocte idolorum aedem incendit. iamque consumtis quibusdam fratres re cognita insiluerunt e medio igni idola erepturi. Arran autem, quum nimis gloriae studiosus ad propositum niteretur, in mediis flammis periit. hoc sepulto pater,

εἰς Χαρρὰν τῆς Μεσοποταμίας. ἐνταῦθα δὲ Ἀβραὰμ δέκα τῷ πατρὶ καὶ πέντε συνοικήσας ἔτη ἐννοεῖ ποτὲ νυκτὸς ἐκ τῆς τῶν ἄστρων κινήσεως τοῦ ἐπιόντος καιροῦ κατασκέψασθαι τὴν πίστητα· ἦν γὰρ οὐ μετρίως ὑπὸ τοῦ πατρὸς ἅπασαν τὴν τοιαύτην ἐξασκηθεὶς ἐπιστήμην. καὶ δὴ μετὰ τὴν ἑκάστου τῶν ζητουμένων διάγνωσιν συνίησι περιττὴν ἅπασαν εἶναι τὴν τοιαύτην περιεργίαν· δύνασθαι γὰρ αὐθις τὸν θεόν, εἰ βούλοιτο, μετασκευάσαι πρὸς τὸ οἰκεῖον βούλημα τὰ προεγνωσμένα. πᾶσιν οὖν τούτοις καὶ τοῖς τοιούτοις ἐξ ὅλης ἀποταξάμενος ψυχῆς, καὶ τελείαν τῆς περὶ τὸ θεῖον εὐσεβείας δοὺς τὴν ἀπόδειξιν, ἀκούει παρὰ θεοῦ "ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου," καὶ ἐξελθὼν ἅμα τῇ γυναικὶ Σάρρᾳ καὶ τῷ Λὼτ τῷ ἀδελφιδῷ μετοικίζεται εἰς τὴν Ἀρφαξὰδ τοῦ πατρὸς αὐτοῦ μερίδα, ἣν οἱ Χαναναῖοι κατασχόντες τὴν Χαναναίαν ἐκάλεσαν, ὧν ἐτῶν οε'.

Ὁμοῦ τοίνυν γίνεται ἔτη μέχρι τῆς παροικεσίας Ἀβραὰμ τοσαῦτα. ὁ διαμερισμὸς τῆς γῆς γέγονε τῇ ἀρχῇ τῶν ἡμερῶν Φαλέκ. ἀπὸ δὲ τοῦ διαμερισμοῦ τῆς γῆς ἔτη ας', ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἔτη χίλια δεκαπέντε, ἀπὸ δὲ Ἀδὰμ ἔτη τρισχίλια διακόσια ἑβδομήκοντα ἑπτά.

Διατρίψας δὲ ὁ Ἀβραὰμ μετὰ τὴν ἔξοδον ἐν τῇ γῇ τῶν Χαναναίων ἔτη εἰκοσιπέντε γεννᾷ τὸν Ἰσαάκ. πρὸ δὲ τοῦ Ἰσαὰκ γεννᾶται ἐκ τοῦ Ἀβραὰμ ὁ Ἰσμαὴλ ἀπὸ τῆς Ἄγαρ,

qui prope Chaldaeorum urbem habitabat, mutato domicilio omnes familiares Charran, Mesopotamiae urbem traduxit. ibi quum Abraam 15 annos apud patrem degisset, nocte quondam ex stellarum motu futuri temporis ubertatem inquirere volsit; erat enim non mediocriter a patre omnem eam doctrinam edoctus. tum postquam singula, quae voluerat, cognovit, intellexit omnem eam curam inutilem esse; posse enim statim deum, si vellet, mutare ad suam voluntatem, quae praevisa fuissent. his igitur rebus omnibus et similibus toto animo renuncians et perfectae in deum pietatis exemplum exhibens vocem dei audivit: "exi e terra tua et e domo patris tui" et egressus cum Sara uxore et Lot, fratris filio, migravit in Arphaxad patri suo assignatam partem, quam Chananaei tenebant et Chananian nominabant, annos natus 75.

Erat igitur annorum usque ad migrationem Abraam numerus hic: terrae partitio facta erat initio vitae Phalek; ab hac terrae partitione anni erant 1006; a diluvio anni 1015; ab Adamo anni 3277.

Abraam relicta patria quum in Chananaeorum terra 25 annos vixisset, genuit Isaac. sed ante Isaac genuerat Abraam ex Agar Ismael a quo Ismaelitarum gens orta est et Agareni qui etiam Saraceni di-

ἀφ' οὗ τὸ τῶν Ἰσμαηλιτῶν γένος, οἱ δὲ αὐτοὶ Ἀγαρηνοί, οἱ καὶ Σαρακηνοὶ καλούμενοι. κατὰ τοῦτον ὁ θεὸς τὸν καιρὸν πῦρ κατὰ τῆς Πενταπόλεως ὑετίζει, καὶ ἀναλίσκει μὲν ἐξ αὐτῆς ἅπαν τὸ γένος τῶν ἀνθρώπων, διαφθείρει δὲ καὶ αὐτὸ ἀπὸ τῆς γῆς τὸ ἀνάστημα, καὶ τῆς προκειμένης θαλάσσης νεκροῦται τὰ ὕδατα. ὀλίγῳ δὲ ὕστερον ἀπὸ τῆς κατὰ Μαμβρὴν δρυὸς μετανάστας ὁ Ἀβραὰμ ἐπὶ τὸ φρέαρ κατασκηνοῖ τοῦ ὅρκου, ἑαυτῷ τε ἰδίᾳ καὶ τοῖς οἰκέταις αὐτοῦ κατὰ συγγενείας πηξάμενος σκηνάς. τότε πρῶτον Ἀβραὰμ τῆς σκηνοπηγίας ἐφ' ἑπτὰ ἡμέραις ἐπιτελεῖ τὴν ἑορτήν, ἣν εἰσέτι καὶ νῦν ὁ Ἰσραὴλ ἑορτάζει σκηνοπηγῶν. εἰκοσιπέντε ἐτῶν ἦν, φησίν, ὁ Ἰσαάκ, ὅτε πρὸς θυσίαν ἀνήχθη. εἰς ἐκεῖνον δὲ τὸν τόπον τὸ θυσιαστήριον ᾠκοδόμησεν Ἀβραάμ, ἔνθα ὕστερον Δαυὶδ τὸ ἱερὸν ἱδρύσατο.

Ἰσαὰκ δὲ γενόμενος ἐτῶν ἑξήκοντα γεννᾷ τὸν Ἡσαῦ καὶ τὸν Ἰακώβ. ἑβδομηκοστὸν καὶ πέμπτον ἄγων ἔτος φεύγει μὲν Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, καταντᾷ δὲ πρὸς Λάβαν εἰς Χαρρὰν τῆς Μεσοποταμίας· ἀδελφὸς δὲ ἦν ὁ Λάβαν τῆς Ῥεβέκας τῆς μητρὸς Ἰακώβ. τούτου νέμει τὰ πρόβατα ἐφ' ὅλοις ἔτεσιν εἴκοσι, δεκατέσσαρα μὲν Λίαν λαβὼν καὶ Ῥαχὴλ τὰς τοῦ Λάβαν θυγατέρας πρὸς γάμον, ἐπὶ δὲ τοῖς ἓξ ῥητὸν μισθὸν ποιησάμενος σύμφωνον. ὑστέρωθι δὲ κομίζεται παρὰ τῶν γυναικῶν Βάλλαν καὶ Δελφᾶν τὰς παιδίσκας, καὶ παιδο-

10. ἦν om C 16. Ἰαχώβ] Ἰαχώβ. Ἰακὼβ? 21. τοῖς] τῆς C

cuntur. illo tempore deus ignem in Pentopolin deiecit et totum hominum genus inde exstinxit, delevit etiam, quae e terra surgebant, et lacus illius aqua emortua est. paulo post Abraam a quercu, quae fuit circa Mambren migravit et ad fontem iuramenti domicilium constituit, sibi ipsi et familiaribus secundum cognationem casas conficiens; tum primus Abraam umbraculorum festum per 7 dies celebravit, quod etiamnunc Israelitae celebrant. Isaac 25 annos natus erat, quum tamquam sacrificium offerretur; exstruxit autem Abraam eodem loco altare, quo postea David templum aedificavit.

Isaac 60 annos natus genuit Esavum et Iacobum; quumque annum ageret 75, effugit Esavum fratrem Iacobus et Charram, Mesopotamiae urbem se contulit ad Laban, Rebeccae, Iacobi matris, fratrem. eius greges per totos 20 annos pavit; post 14 annos Liam et Rachel, Laban filias, accepit in matrimonium et post 6 insuper annos pactam mercedem meruit. postea ab uxoribus Ballam et Delpham ancillas accepit atque ex his 4 mulieribus annis 14, quos in Mesopotamia post primos 7 versabatur filios procreavit 11 filiamque unam; ex Lia

ποιεῖται ἐκ τῶν τεσσάρων γυναικῶν, ἐν τοῖς δεκατέσσαρσιν ἔτεσιν οἷς ἐπὶ τῆς Μεσοποταμίας μετὰ τὴν πρώτην διέτριψεν ἐπταετίαν, υἱοὺς μὲν ἕνδεκα καὶ θυγατέρα μίαν, ἐκ μὲν τῆς Λίας γεννήσας τὸν Ῥουβὴμ καὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ καὶ τὸν Ἰούδαν καὶ τὸν Ἰσάχαρ καὶ τὸν Ζαβουλὼμ καὶ τὴν Δίναν, ἐκ δὲ τῆς Ῥαχὴλ τὸν Ἰωσὴφ, ἐκ δὲ τῆς Βάλλας τὸν Δὰν καὶ τὸν Νεφθαλείμ, ἐκ δὲ τῆς Δελφᾶς τὸν Γὰδ καὶ τὸν Ἀσηρ. τῷ εἰκοστῷ δὲ ἔτει διαφυγὼν τὸν Λάβαν ὁ Ἰακὼβ ἑβδόμῃ ὑπ' αὐτοῦ καταλαμβάνεται ἡμέρᾳ ἐν τῷ ὄρει Γαλαάδ. ἐνταῦθα ἐνωμότως ποιησάμενοι συνθήκας χωρίζονται, ὁ μὲν Λάβαν εἰς Χαρράν, ὁ δὲ πλησίον Σικήμων εἰς πόλιν Σαλήμ. ἐνταῦθα ὑφίσταται ὑπὸ Συχὲμ τὴν βίαν ἡ Δίνα. ἔτι δὲ τίκτει ἡ Ῥαχὴλ τῷ Ἰακὼβ τὸν Βενιαμίν, καὶ τελευτήσασα θάπτεται ἐν γῇ Ἐφραθᾶ, ἔνθα νῦν ἐστιν ἡ Βηθλεέμ. Συμεὼν δὲ καὶ Λευὶ τῆς ἀδελφῆς ἐκδικοῦσι τὴν ὕβριν, παντὶ δόλῳ χρησάμενοι εἰς τοὺς περὶ τὸν Συχέμ. ὁ δὲ Ἰακὼβ τῆς ὁράσεως ὑπομνησθεὶς ἧς ἐθεάσατο κατὰ τὴν ἄφιξιν τὴν εἰς Μεσοποταμίαν, ἀνέρχεται εἰς Βαιθὴλ (τοῦτο γὰρ ἦν ὄνομα τῷ τόπῳ, ἐφ' ᾧ κατοικηθεὶς εἶδε τὸ ὅραμα), καὶ πάντα ἀποδεκατώσας ἃ ἐκέκτητο, τελευταίους ὑποβάλλει κλήρῳ τοὺς παῖδας, λαχόντα δὲ τὸν Λευὶ τῷ θεῷ ἀφιεροῖ καὶ καθίστησιν ἱερέα τοῦ θεοῦ, καὶ προσκομίζει πρῶτον τῷ θεῷ θυσίαν τὴν τοῦ παιδὸς ἀποδεκάτωσιν.

Ἐπειδὴ τοίνυν τὸ Λευιτικὸν γένος ἐπὶ Ἀαρὼν κατατρέ-

1. δεκαχαιτέσσαρσιν cod. 14. ἐφραθᾶ cod. 16. εἰς om C 17. τῆς εἰς C

videlicet Rubem, Symeon, Levi, Iudam, Isachar, Zabulom et Dinan; ex Rachel Iosephum, ex Balla Dan et Naphthalim et ex Delpha Gad et Aser. vicesimo anno quum Laben effugisset Iacobus, septimo die in Galaad monte consecuto Laban, pactionem fecerunt, quo facto Laban Charran, ille autem Salem urbem prope Sikemon se contulit. ibi Dina compressa est a Sychem. tum etiam Rachel peperit Iacobo Beniamin, quumque mortua esset, sepulta est in terra Ephrata, ubi nunc est Bethleem. Symeon autem et Levi sororis iniuriam ulti sunt omni dolo usi in Sychem socios. Iacobus autem speciei memor, quam quum in Mesopotamiam adveniret viderat, rediit Baethel (id enim erat nomen loco, in quo speciem viderat) divisisque suis omnibus in decem partes postremo filios sortiri iussit sortitumque Levi deo consecravit et sacerdotem deo constituit primumque deo sacrificium obtulit filii consecrationem.

Quum igitur Leviticum genus ad Aaron deveniret et Mosen,

χει καὶ Μωϋσῆν, ὧν ὁ μὲν ἱερατεύει ὁ δὲ στρατηγεῖ τῷ Ἰσραήλ, εἰκότως ἐξ αὐτοῦ λαμβάνεται ἡ ἐκ τοῦ Ἰακὼβ γενεαλογία. Ἰακὼβ γενόμενος ὀγδοήκοντα ἑπτὰ ἐτῶν ἐγέννησε τὸν Λευί. Ῥεβέκκα ἠξίωσε τὸν Ἰσαὰκ ἀγαγεῖν Ἡσαῦ καὶ Ἰακὼβ καὶ διαλλάξαι αὐτούς, παρακαλέσαι τε ἅμα καὶ ἐνορκίσαι εἰρήνην ἄγειν εἰς ἀλλήλους καὶ τῆς ἀδελφικῆς οἰκειότητος ἀσπάζεσθαι τὴν διάθεσιν· ὃ δὴ καὶ ποιήσας προεῖπε τῷ Ἡσαῦ ὅτι ἐὰν ἐπαναστῇς τῷ Ἰακὼβ ἐμπέσῃ εἰς χεῖρας αὐτοῦ. τελευτῶσι δέ, προτέρα μὲν ἡ Ῥεβέκκα, μετ' οὐ πολὺ δὲ καὶ ὁ Ἰσαάκ, τῷ Ἰακὼβ τῆς πρωτοτοκίας καταλιπόντες τὰ γέρα. οἱ δὲ υἱοὶ τοῦ Ἡσαῦ παρώξυναν τὸν πατέρα αὐτῶν κατὰ Ἰακὼβ καὶ τῶν υἱῶν αὐτοῦ, καὶ καθοπλισθέντες μετὰ ἐθνῶν ἦλθον πρὸς πόλεμον. ὁ δὲ ἀποκλείσας τὰς θύρας τῆς πόλεως, παρεκάλει τὸν Ἡσαῦ μνησθῆναι τῶν γονικῶν ἐντολῶν καὶ παραινέσεων. τοῦ δὲ μὴ ἀνεχομένου ἀλλὰ μᾶλλον ὑβριζοντος, τοῦ Ἰούδα παρακαλέσαντος ἐνέτεινε τόξον Ἰακώβ, καὶ πλήξας κατὰ τοῦ δεξιοῦ μαζοῦ τὸν Ἡσαῦ κατέβαλε· καὶ τούτου τελευτήσαντος ἐπεξῆλθον οἱ υἱοὶ Ἰακὼβ τὰς πύλας ἀνοίξαντες, καὶ πάντας σχεδὸν ἀνεῖλον.

Τῷ δευτέρῳ ἔτει τῆς τοῦ Ἰσραὴλ ἐν Αἰγύπτῳ παροικίας ἱερογραμματέα δεινὸν προειπεῖν φησὶν ὅτι τὸ τικτόμενον παιδίον ἐν τῷδε τῷ χρόνῳ τοῖς Ἑβραίοις τὴν Αἰγυπτίων καταλύσει βασιλείαν· καὶ διὰ τοῦτο Φαραὼ προσέταξε κτείνειν

2. ἐγκότως C 18. οἱ om C 21. προσειπεῖν C

quorum alter sacrificia administravit, alter bello Israelitas duxit, verisimiliter ab eo sumta est Iacobi genealogia. Iacobus 87 annos natus genuit Levi. Rebecca oravit Isaac ut arcesseret Esavum et Iacobum eosque inter se conciliaret et adhortaretur simulque iureiurando obstringeret, ut pace uterentur et fraternae familiaritatis conditionem adamarent. id ille fecit et Esavo dixit, si contra Iacobum consurrexisset, ipsum in potestatem eius venturum. tum mortui sunt, prior Rebecca neque multo post Isaac relicto Iacobo primogeniti iure. filii autem Esavi patrem incitarunt contra Iacobum eiusque filios et cum aliis gentibus in bellum profecti sunt. ille autem clausis oppidi portis dixit Esavo ut eorum recordaretur, quae pater monuisset. quum vero ille se non contineret, sed etiam superbius se gereret, hortante Iuda Iacobus arcum tetendit et vulneratum dextra mamma Esavum prostravit. hoc mortuo Iacobi filii apertis portis ex urbe eruperunt et omnes fere trucidarunt.

Altero anno, quo Israelitae in Aegypto habitarunt, insignis sacerdos narratur praedixisse, liberum illo tempore Hebraeis natum Ae-

τὰ τικτόμενα βρέφη τῶν Ἑβραίων. ἐν δὲ τῷ αὐτῷ δευτέρῳ ἔτει Λευὶ γενόμενος τεσσαράκοντα πέντε ἐτῶν γεννᾷ τὸν Καάθ· Καάθ γενόμενος ἐξήκοντα τριῶν ἐτῶν γεννᾷ τὸν Ἀβραάμ· Ἀβραὰμ γενόμενος ἑβδομήκοντα ἐτῶν γεννᾷ τὸν Μωϋσῆν. τὸν δὲ Ἀβραάμ φασι τὸν πατέρα Μωϋσέως εὔξασθαι τῷ θεῷ μὴ περιιδεῖν ἀπολλύμενον τὸ γένος τῶν Ἑβραίων· χρηματισθῆναι δὲ κατ' ὄναρ περὶ τῆς γενέσεως καὶ δυνάμεως τοῦ παιδίου Μωϋσέως, οὗ τεχθέντος καὶ ἐκθέτου γενομένου Θέρμουθις ἡ τοῦ Φαραὼ θυγάτηρ ἀνείλετο. τοσοῦτον δὲ ἦν κάλλει ἀστεῖον τὸ παιδίον ὡς τοὺς ὁρῶντας αὐτὸ ἀμεταστρεπτὶ θαυμάζοντας ἑνορᾶν.

Ἐκ τοῦ Ἀβραὰμ καὶ τῆς Χεττούρας γεννᾶται Ἰεξάν, ἐκ δὲ τοῦ Ἰεξὰν Δαδάμ, ἐκ δὲ τοῦ Δαδὰμ Ῥαγουὴλ καὶ Ἰοθὸρ ὁ καὶ Ἰωβάβ, ἐκ δὲ τοῦ Ἰοθὸρ Σεπφώρα, ἣν ἔγημε Μωϋσῆς, καθὼς ἱστορεῖ Δημήτριος, ὡς φάσκει Εὐσέβιος ἐν τῷ Χρονικῷ. Μωϋσῆς μὲν ἀπὸ Ἀβραὰμ ἕβδομος, ἡ δὲ Σεπφώρα ἕκτη.

Μωϋσῆς ὢν ἐτῶν ὀγδοήκοντα ἀφηγεῖται τῆς ἐξόδου τῆς ἐξ Αἰγύπτου τῶν τετρακοσίων τριάκοντα ἐτῶν τῆς παροικίας τῆς τε Χαναὰν καὶ τῆς Αἰγύπτου. σημειωτέον ὅτι δεῖ τὰ τετρακόσια τριάκοντα ἔτη τῆς τοῦ λαοῦ παροικίας ἀριθμεῖσθαι οὕτως. τριακοστὸν ἄγων ἔτος ὁ Ἰωσὴφ ἐγχειρίζεται τὴν τῶν Αἰγυπτίων ἀρχήν. ἑπτὰ τοίνυν ἐνιαυτῶν τῆς εὐθη-

19. τῶν] διελθόντων τῶν?

gyptiorum regnum eversurum esse, qua Pharao infantes Hebraeorum interfici iussit. eo ipso altero anno Levi 45 annos natus genuit Kaath; hic 63 annos natus genuit Abraam; Abraam 70 annos natus genuit Mosen. Abraam, Mosis patrem, dicunt a deo precatum esse, ne negligeret gentem Hebraeorum pereuntem; tum somno certiorem factum esse fore ut filius ei nasceretur fortis, Moses. hunc natum expositumque Thermuthis, Pharaonis filia, suscepit; ita enim pulchritudine excellebat infans, ut qui eum viderent cum admiratione et sine intermissu eum intuerentur.

Ex Abraam et Chettura natus est Iexan, ex Iexan Dadam, ex Dadam Raguel et Iothor, qui etiam Iobab vocatur; ex Iothor Sephora, quam duxit Moses, ut est in Demetrii historia teste in chronicis Eusebio. Moses ab Abraam septimus, Sepphora sexta.

Moses 80 annos natus proficiscentes ex Aegypto Israelitas duxit postquam 430 annos partim in Chanaan partim in Aegypto habitaverant; sciendum enim 430 annos sic numerandos esse. Iosephus 30 annum agens Aegyptiorum regnum accepit; septem igitur ubertatis annis et caritatis duobus praeterlapsis Iacobus cum filiis in Aegyptum

νίας καὶ δύο τοῦ λιμοῦ διελθόντων κατῆλθεν Ἰακὼβ σὺν τοῖς τέκνοις εἰς Αἴγυπτον. τὸν Νεῖλον δέ φασι μὴ ἀνελθεῖν ἐν ὅλοις ἑπτὰ ἔτεσι τοῦ λιμοῦ τοῦ ἐν Αἰγύπτῳ. ἦν οὖν τότε Ἰωσὴφ ἐτῶν τριάκοντα ἐννέα, ἔζησε δὲ τὰ πάντα ἔτη ἑκατὸν δέκα. μετὰ γοῦν τὸν θάνατον Ἰωσὴφ δουλεύουσιν Ἑβραῖοι τοῖς Αἰγυπτίοις ἔτη ἑκατὸν τεσσαράκοντα τέσσαρα. τὰ δὲ πάντα ἔτη τῆς τῶν Ἑβραίων ἐν Αἰγύπτῳ διατριβῆς διακόσια δεκαπέντε· ἐξ οὗ δῆλον ὅτι ἀπὸ Χαναὰν εἰς τὴν Αἴγυπτον τὴν μετοίκησιν ἐποιήσαντο μέχρι τῆς ἐξόδου τοῦ λαοῦ, ἧς δείκνυται ἡγησάμενος κατὰ τὸ ὀγδοηκοστὸν ἔτος Μωϋσῆς. οὐ γὰρ ἐν Αἰγύπτῳ μόνῃ γίνεται ἡ παροίκησις τῶν τετρακοσίων τριάκοντα ἐτῶν, ἀλλὰ καὶ ἐν γῇ Χαναὰν πρὸ τοῦ εἰς Αἴγυπτον κατελθεῖν τὸν Ἰακώβ· ὅπερ ἡμῖν καὶ αὐτὴ παρίστησιν ἡ γραφὴ λέγουσα "ἡ δὲ παροίκησις τῶν υἱῶν Ἰσραήλ, ἣν παῴκησαν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναάν, ἔτη τετρακόσια τριάκοντα."

Ἐν δὲ τοῖς χρόνοις Ἀβραὰμ ἦν ὁ Μελχισεδὲκ ἀνὴρ θεοσεβής, υἱὸς Σίδου βασιλέως, υἱοῦ Αἰγύπτου, ὃς κτίζει πόλιν Σιδῶνα. καὶ ἔστι τοῦ μὲν Ἀβραὰμ ἀπὸ τῆς ἐκ Χαρρὰν εἰς Χαναὰν ἀναβάσεως μέχρι τῆς Ἰσαὰκ γενέσεως ἔτη εἰκοσιπέντε, τοῦ δὲ Ἰσαὰκ τὰ μέχρις Ἰακὼβ ἔτη ἑξήκοντα, τοῦ δὲ Ἰακὼβ τὰ μέχρι Λευὶ ἔτη ὀγδοήκοντα ἑπτά. ὄντος τοῦ Λευὶ ἐτῶν τεσσαράκοντα τριῶν κατῆλθεν ὁ Ἰακὼβ σὺν τῇ πανοι-

2. φησι C 16. ὡς φησιν Εὐσέβιος ὁ Παμφίλου margo

venit. Nilus autem per integros septem annos, quibus Aegyptus fame premebatur, non redundasse dicitur; tum Iosephus annos habebat 39, vixit autem omnino 110 annos et post eius mortem servorum conditione fuerunt Hebraei annos 144; omnes igitur anni, quos in Aegypto habitarunt Hebraei, sunt 215; hinc apparet, relicta Chanaan in Aegypto habitasse donec Moses, ut refertur, anno aetatis 80 eos eduxit; non enim in Aegypto sola 430 annos habitarunt, sed etiam in Chanaan, antequam in Aegyptum Iacobus venit, idque ipsa biblia indicat dicens, domicilium habuisse filios Israel in Aegypto et Chanaan per 430 annos.

Tempore Abraam vixit Melchisedek, vir magnae in deum pietatis, filius Sidi, Aegypti filii, qui Sidonem urbem condidit. intercesserunt inter Abraam ex Charran in Chanaan migrationem et natum Isaac anni 25, inter Isaac et Iacobum anni 60, inter Iacobum et Levi anni 87. Levi cum esset annorum 43, Iacobus cum tota domo in Aegyptum venit annos natus 130. a Levi

κεσίᾳ εἰς Αἴγυπτον, ὧν ἐτῶν ἑκατὸν τριάκοντα. τοῦ δὲ Λευὶ τὰ μέχρι Καὰθ ἔτη τεσσαράκοντα πέντε, τοῦ δὲ Καὰθ τὰ μέχρις Ἀβραὰμ ἔτη ἑξήκοντα τρία, τοῦ δὲ Ἀβραὰμ τὰ μέχρι Μωϋσέως ἔτη ἑβδομήκοντα, τοῦ δὲ Μωϋσέως τὰ μέχρι τῆς ἐξόδου ἔτη ὀγδοήκοντα. ὡς εἶναι ἀπὸ τῆς τοῦ Ἀβραὰμ ἐν γῇ Χαναὰν παροικίας μέχρι τῆς εἰς Αἴγυπτον καθόδου ἔτη διακόσια δεκαπέντε, καὶ ἀπὸ τῆς εἰς Αἴγυπτον καθόδου μέχρι τῆς ἐκεῖθεν ἐξόδου τοῦ λαοῦ ἕτερα διακόσια δεκαπέντε· ὁμοῦ τετρακόσια τριάκοντα.

Κατὰ τούτους τοὺς χρόνους Ἴναχος πρῶτος Ἄργους ἐβασίλευσε, καὶ ἐπὶ τούτοις ὁ λαὸς διατρίβει ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα. Φορωνεὺς Ἀργείων ἐβασίλευσε, καθ' ὃν ὁ ἐπὶ Ὠγύγου κατακλυσμὸς ὑπὸ Ἑλλήνων ἱστορεῖται. καὶ Ἀσσυρίων μετὰ Πῖκον τὸν βασιλέα τὸν πρῶτον, ὃς ἐν Κρήτῃ ἀπέθανεν, ὃς καὶ τοῖς τότε καιροῖς Ζεὺς μετωνομάσθη, Σεμίραμις δὲ Νίνου ἐβασίλευσεν.

Ἰησοῦς ὁ τοῦ Ναυῆ παραλαβὼν τὴν ἡγεμονίαν, καὶ διαπεράσας τὸν Ἰορδάνην, ἄρχει τοῦ λαοῦ ἔτη εἰκοσιπέντε. οὗτος ἐπόρθησεν ἐπαρχίας ἑπτὰ καὶ καθεῖλε βασιλεῖς εἰκοσιεννέα. γίνονται τοίνυν ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη δισχίλια διακόσια ἑξήκοντα τρία, ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τοῦ διαμερισμοῦ τῆς γῆς ἔτη τϟϑ', ἀπὸ δὲ τοῦ διαμερισμοῦ ἕως τῆς παροικίας Ἀβραὰμ ἔτη χις', ἀπὸ δὲ τῆς παροικεσίας

11. τούτου? 16. δὲ] ἡ?

usque ad Caath fuerunt 45 anni, a Caath usque ad Abraam 63, ab Abraam usque ad Mosen anni 70, a Mose usque ad discessum 80, ita ut ab eo tempore, quo in Chanaan domicilium constituit Abraam usque ad migrationem in Aegyptum fuerint anni 215, et a profectione in Aegyptum usque ad discessum iterum 215 anni, omnino igitur anni 430.

His temporibus Inachus primus Argis regnavit simulque populus 40 annos in deserto vixit. fuit Phoroneus Argivorum rex, sub quo Ogygium diluvium factum esse a Graecis memoriae proditur, atque in Assyria post Picum, primum regem, qui in Creta mortuus est et illis temporibus Iupiter nominabatur, Semiramis, Nini uxor, imperium tenuit.

Iesus Naue filius, dux constitutus Iordano superato 25 annos regnum administravit. hic 7 regna delevit et reges 29 devicit. sunt igitur ab Adamo usque ad diluvium anni 2263, a diluvio usque ad terrae partitionem anni 399, a terrae partitione usque ad migrationem

Ἀβραὰμ ἕως τῆς τελευτῆς Ἰησοῦ τοῦ Ναυῆ ἔτη υϛε'. ὁμοῦ γίνονται ἀπὸ Ἀδὰμ ἔτη γψοδ'.

Μετὰ Ἰησοῦν πρεσβύτεροι ἐκ τῆς Ἰούδα καὶ Συμεὼν φυλῆς, τοῖς ἀλλήλων σχοινίσμασιν ἀνὰ μέρος βοηθοῦντες, ἐπάρξαι τοῦ λαοῦ λέγονται ἔτη λ'. μετὰ τοῦτο ὁ λαὸς εἰδώλοις λατρεύσας ἐκδίδοται τῷ Χασαρσαθὼν βασιλεῖ Μεσοποταμίας, ὃς ἐβασίλευσεν αὐτῶν ἔτη ὀκτώ. κατὰ τούτους τοὺς χρόνους Προμηθεὺς μυθεύεται σοφὸς ὢν ἐν παιδείᾳ, ἐν ᾗ τοὺς ἀνθρώπους ἀπὸ ἰδιωτείας μετέπλασεν.

Ἐπιστρέψαντος τοίνυν τοῦ λαοῦ πρὸς θεὸν ἀνίστησι τὸν Γοθονιήλ, ὃς ἔκρινε τὸν λαὸν ἔτη ν'. ἀδελφὸς δὲ ἦν ὁ Γοθονιὴλ τοῦ Χαλέβ. ἐν τούτοις τοῖς χρόνοις ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς γεγονέναι λέγεται. τοῦτον τὸν κατακλυσμὸν δοκοῦσι καὶ Αἰγύπτιοι μεμνῆσθαι, φάσκοντες τὴν χώραν αὐτῶν μὴ κατακεκλύσθαι, τοπικοῦ γενομένου. τὸν γὰρ πρότερον κατακλυσμὸν οὐδὲ γινώσκουσιν· οὔπω γὰρ ἦν αὐτοῖς ὁ πατριάρχης γεννηθείς. Χὰμ γὰρ ὁ υἱὸς τοῦ Νῶε πατὴρ ἦν τοῦ Μεσραείμ, ἀφ' οὗ οἱ Αἰγύπτιοι.

Αὖθις ἁμαρτήσαντες οἱ υἱοὶ παραδίδονται τῷ Αἰγλὼμ, βασιλεῖ Μωαβιτῶν, καὶ δουλεύουσιν αὐτῷ ἔτη ιη'. πάλιν δὲ αὐτοὺς ἐπιστρέψαντας ἐξαιρεῖται διὰ τοῦ ἀμφοτεροδεξίου Ἀώδ. ἔσχε δὲ τοῦ ἀμφοτεροδεξίου τὸ ἐπώνυμον διὰ τὸ

19. *υἱοὶ*] *υἱοὶ Ἰσραὴλ*?

Abraam 616, et inde usque ad mortem Iesu, Naue filii 495; omnino igitur ab Adamo fuerunt anni 3774.

Post Iesum seniores ex Iudae et Symeon tribubus mutuo sibi lato auxilio imperium administrasse dicuntur annos 30. post hoc cum idola sectaretur populus, traditus est Chasarsathon regi Mesopotamiae qui 8 annos eum sua potestate tenuit. his temporibus Prometheus narratur sapiens fuisse institutione liberorum, quo homines ignorantia liberavit.

Populus quum ad deum se converteret, exstitit Gothoniel, qui 50 annos populum iudicavit; Gothoniel frater fuit Chaleb. his temporibus Deucalionis narratur diluvium fuisse. eius diluvii etiam Aegyptii meminisse videntur dicentes, suam terram non inundatam fuisse, certis regionibus scilicet facto diluvio; prius enim diluvium ne noverunt quidem, cum nondum patriarcha eorum natus esset; Cham enim, Noe filius, pater fuit Mesraim, a quo sunt Aegyptii.

Rursus peccantes Israelitae traditi sunt Aeglom, Moabitorum regi, cui 18 annos servierunt. conversi ad deum liberati sunt ab Aod, viro ambabus manibus dextero; habuit ille cognomen, quod in

ὁμοίως ἐν παντὶ πράγματι τῇ εὐωνύμῳ χρῆσθαι χειρὶ καθάπερ καὶ τῇ δεξιᾷ. ὃς ἡγήσατο τοῦ λαοῦ ἔτη ν'. τούτου ἐν ἔτει εἰκοστῷ ἑβδόμῳ ἐβασίλευσε τῆς Ἀττικῆς Κέκροψ ὁ διφυὴς διὰ τὸ δύο γλώσσαις λαλεῖν. ἐν δὲ τῷ οζ' ὁ κατακλυσμὸς ἐν Θεσσαλίᾳ καὶ Αἰθιοπίᾳ ὑπ' αὐτῶν μνημονεύεται.

Προσπταίσας πάλιν ὁ λαὸς κυριεύεται ὑπὸ Ἰαβῆς βασιλέως Χαναναίων ἔτη εἴκοσιν. ἐπὶ τούτου προφητεύει Δεβώρρα γυνὴ Λαφιδώθ, ἐκ φυλῆς Νεφθαλείμ, ἔτη μ'. κατὰ τούτους τοὺς χρόνους Κάδμος ὁ ἐν Θήβαις ἐβασίλευσεν, ὃς Τειρεσίαν φιλόσοφον καὶ μάντιν ἐν Θήβαις ἤγαγε, περὶ οὗ φησὶ Σοφοκλῆς ὅτι τὴν Παλλάδα ἰδὼν λουομένην ὁ Τειρεσίας μετεβλήθη ἐξ ἀνδρὸς εἰς γυναικείαν φύσιν.

Μετὰ δὲ τὴν Δεβώρρας τελευτὴν ἐξήμαρτε πάλιν ὁ λαός, καὶ κατεδουλοῦντο τοῖς Μαδιηναίοις ἑπτὰ ἔτη. Γεδεὼν δὲ αὐτοῖς ἐκ φυλῆς Μανασσῆ, θείοις σημείοις τῆς νίκης κομισάμενος τὴν πίστιν, ἐπανίσταται, καὶ ἐν τριακοσίοις ἀνδράσι δώδεκα διαχειρισάμενος μυριάδας ἦρξε τοῦ λαοῦ ἔτη μ'. Ἀβιμέλεχ ὁ τούτου υἱὸς ἔτη τρία, Θώλα υἱὸς Φούα ἐκ φυλῆς Ἐφραὶμ ἔτη κγ', Ἰαεὶρ ὁ Γαλααδίτης ἐκ φυλῆς Ἐφραὶμ Μανασσῆ ἔτη κβ'. μετὰ τοῦτον ἐξήμαρτεν ὁ λαός, καὶ παρεδόθη τοῖς Ἀμανίταις ἔτη ιή'. ἔπειτα τὴν πρὸς θεὸν ποιησάμενος ἐπάνοδον, σώζει διὰ τοῦ Ἰεφθάε τοῦ Γαλααδίτου, μητρὸς μὲν ὄντος ἑταίρας, φυλῆς δὲ Μανασσῆ. οὗτος ἄρχει

12. μετεκλήθη cod.

omnibus negotiis pariter sinistra utebatur manu ac dextera. hic dux fuit populi annos 50. anno eius 27 in Attica regnavit Cecrops biformis, quod duabus linguis utebatur; anno vero 77 diluvium in Thessalia et Aethiopia factum ab iis narratur.

Denuo cum peccasset populus imperio subiectus est Iabes Chananaeorum regis 20 annos. sub hoc prophetavit Deborra, uxor Saphidoth, ex tribu Naphthalim annos 40. illis temporibus Cadmus Thebis regnavit, qui Tiresiam philosophum et vatem Thebas duxit, quem ait Sophocles, Palladem cum lavantem vidisset, ex viro in feminam mutatum esse.

Post Deborrae mortem denuo peccans populus in servitutem datus est Madienaeis 7 annos. Gedeon autem ex Manasse tribu cum divinis indiciis eos ad victoriae spem erexisset, surrexit et cum 300 viris hostes 120000 prostravit, rexitque populum 40 annos; Abimelech eius filius annos tres; Thola, Phua filius, ex Ephraim tribu 23 annos; Iair Galaadites ex Ephraim Manasse tribu 22 annos. post hunc peccavit populus et traditus est Amonitis annos 18; post quum

τοῦ λαοῦ ἔτη ξ. μετὰ δὲ τοῦτον ἦρξεν Ἐὼσεβὼν ἐκ τῆς Ἰούδα φυλῆς ὁ Βηθλεεμίτης ἔτη ζ. κατὰ τούτους τοὺς χρόνους τὸ Ἴλιον ἐκτίσθη καὶ Ἀσκληπιὸς τὴν ἰατρικὴν ἐπιστήμην μετῆλθεν. Αἰγλὼμ ὁ Ζαβυλωνίτης ἔκρινε τὸν Ἰσραὴλ ἔτη δέκα, Ἀδὼμ υἱὸς Ἐλεὶμ ὁ Μαραθωνίτης ἔτη ὀκτώ. κατὰ τούτους τοὺς χρόνους Ὀρφεὺς ὁ ποιητὴς ἐγνωρίζετο.

Προσπταίσας πάλιν ὁ λαὸς ἐκδίδοται ἀλλοφύλοις ἔτη μ'. ἐπιστρέψαντας δὲ αὐτοὺς πρὸς θεόν, ἀνίστησι τὸν Σαμψών, Μανωὲ μὲν υἱόν, φυλῆς δὲ Δάν, ὅστις καταπολεμήσας τοὺς ἀλλοφύλους ἄρχει ἔτη κ'. κατὰ τούτους τοὺς χρόνους Ἡρακλῆς ἐγνωρίζετο, ὁ τοὺς δώδεκα ἄθλους διανύσας. Σαμανὲς ἡγήσατο τοῦ λαοῦ ἔτος ἕν, ἀναρχίας γεγονυίας κατὰ τὰς Ἑβραϊκὰς παραδόσεις, ὅτε καὶ ἔπραττεν ἕκαστος ὅπερ ἐβούλετο, οἷα εἰκὸς ἐν ἀναρχίᾳ γίνεσθαι. ἔτη μ' εἰρήνην ἔσχε πρὸς τοὺς ἀλλοφύλους ὁ λαός, ἔτη λ' Σαμανεὶ αὐτοῦ ἡγουμένου. Ἠλεὶ ὁ ἱερεὺς ἦρξε τοῦ λαοῦ ἔτη κ'. κατὰ τούτους τοὺς χρόνους ὁ Ἰλιακὸς πόλεμος ἐγένετο ἔτεσι δέκα, καὶ τὸ Ἴλιον ἥλω. Σαμουὴλ διαδεξάμενος τοῦ Ἠλεὶ τὴν ἱερατείαν καὶ τὴν ἡγεμονίαν κρατεῖ τοῦ λαοῦ. φασὶ δὲ αὐτὸν δώδεκα ἐτῶν εἶναι, ὅτε πρῶτον ἐφάνη αὐτῷ λαλήσας ὁ θεός. σὺν οἷς ἡ κιβωτὸς ἐν τῷ Ἀμιναδὰμ οἴκῳ διέτριψε, καὶ βασιλέων χρισθέντων ἦν ἀντιλαμβανόμενος ὁ Ἠλεὶ ἔτη ο'.

ad deum se convertisset, libertatem recuperavit opera Iephthae, Galaaditae filii, cuius mater meretrix fuit ex Manasse tribu. hic 6 annos populum rexit. post eum Eusebon ex Iuda tribu 7 annos regnavit. his temporibus Ilium conditum est et Aesculapius medicam artem exercuit. Aeglon Zabylonites 10 annos Israelitas iudicavit. Adom Elim filius Marathonites 8 annos. his temporibus Orpheus poeta clarus fuit.

Rursus peccans populus traditus est exteris gentibus annos 40. quum ad deum rediissent, ille Sampson erexit, Manoe filium, ex Dan tribu. hic devictis hostibus 20 annos regnavit. illis temporibus Hercules vixit, qui 12 certamina perfecit. Samanes dux fuit populi annum unum, facta anarchia, ut Hebraicae traditiones perhibent, quum quod quisque vellet, faceret, ut fere in anarchia fieri solet. annos 40 pacem cum externis gentibus habuit populus duce per 30 annos Samani. Eli sacerdos imperium habuit 20 annos. his temporibus Iliacum bellum gestum est per annos 10, captumque est Ilium. Samuel accepto ab Eli sacerdotio et imperio populum rexit. annos 12 natus fuisse narratur, quum primum ei deus appareret, quum arca esset in domo Aminadam. unctis regibus Samuel 70 annos civitatem administraverat.

Γίνεται τοίνυν ἀπὸ τῆς τελευτῆς Ἰησοῦ ἐπὶ τὴν τελευτὴν Σαμουὴλ ἔτη χι', ἀπὸ δὲ Νῶε καὶ τοῦ κατακλυσμοῦ ἔτη βρκ', ἀπὸ δὲ Ἀδὰμ ἔτη ϛτπβ'.

Ὁ μὲν οὖν Σαμουὴλ αὐτός τε ἤδη γεγηρακὼς καὶ τοῦ λαοῦ ὀκνηρότερον ποιούμενος τὴν ἐποψίαν, τῶν τε παίδων αὐτοῦ δώροις ἀεὶ τοῦ δικαίου προϊεμένων τὴν κρίσιν, χρίει βασιλέα, τοῦ λαοῦ μὲν καταναγκάζοντος τοῦ θεοῦ δὲ συγχωρήσαντος, τὸν Σαοὺλ υἱὸν Κίς, ἐκ φυλῆς Βενιαμίν. Σαοὺλ γὰρ καὶ ὁ παῖς αὐτοῦ τὰς ὄνους ζητοῦντες εἰσῆλθε πρὸς Σαμουήλ· εἶπε δὲ τῷ Σαοὺλ περὶ τῆς βασιλείας ὁ Σαμουὴλ καὶ περὶ ὧν ἐζήτει. Σαοὺλ ἐξελθὼν τῷ συγγενεῖ αὐτοῦ καὶ προσφιλεῖ τὰ μὲν ἄλλα ἐξεῖπε, περὶ δὲ τῆς βασιλείας οὐκ ἀνήγγειλε, δηλῶν ὡς οὐ φίλοις οὐδὲ συγγενέσιν ἐπὶ τῶν μεγάλων πραγμάτων δεῖ θαρρεῖν διὰ τὸ ἐπὶ βασκανίᾳ τῶν ἀνθρώπων εὐχερές. οὗτος ὁ Σαοὺλ συνεπισχύοντος τοῦ Σαμουὴλ βασιλεύει ἔτη εἴκοσιν· ἐπροεφήτευε δὲ ἐπ' αὐτοῦ ἅμα καὶ ἱεράτευεν ὁ Σαμουήλ. Ἄβενὴρ δὲ αὐτῷ ὁ τοῦ Νὴρ υἱὸς τῆς στρατηγίας ἀφηγεῖτο. τοῦ δὲ Σαοὺλ προσπταίσαντος τῷ θεῷ ἐπιχρίει πάλιν ὁ Σαμουὴλ εἰς βασιλέα τὸν Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἐκ τῆς Ἰούδα φυλῆς.

Καὶ ὁ μὲν Σαμουὴλ τελευτᾷ δύο φθάσας ἔτη τὸν Σαούλ, βασιλεύει δὲ ὁ Δαβὶδ ἑπτὰ μὲν ἔτη περιόντος Σαούλ, μετὰ δὲ τὴν τούτου τελευτὴν λγ'. ἐπὶ τούτου μὲν Ἀβίαθα ἐτύγ-

11. συγγενείᾳ C 16. δὲ] καὶ C 17. cod ὀτανὴρ. 19. cod Σαοὺλ.

Fuerunt igitur a Iesu morte usque ad mortem Samuelis 610 anni, a Noe et diluvio anni 2120, ab Adamo 4382.

Ipse Samuel quum iam provectus esset aetate, populi administrationem aegre ferens, quum filii eius muneribus corrupti iniusta iudicia ferrent, regem unxit coactu quidem populi sed dei concessu Saul, filium Kis, ex Beniamin tribu. Saul enim cum puero asinos quaerens ad Samuel venerat. dixitque Samuel Saulo de regno et de iis quae quaerebat. Saul quum ablisset propinquis amicisque cetera quidem narravit, de regno autem nihil aperuit, declarans neque amicis neque propinquis in magnis rebus confidendum esse, quod prompti sint homines ad invidiam. hic Saul adiutus a Samuel 20 annos regnavit: sub eo Samuel prophetae simulque sacerdotis munere fungebatur. Abener, filius Ner, dux fuit exercitus. sed peccante in deum Saul, Samuel Davidem regem unxit, Iesai filium ex Iuda tribu.

Mortuus est Samuel biennio ante Saul. David vivo Saul 7 annos regnavit et mortuo eo annos 33. sub eo summus sacerdos fuit Abiatha, filius Abimelech, ex Eli cognatione; et ex alia patria Sa-

χανεν ἀρχιερεύς, ὁ τοῦ Ἀβιμέλεχ, ἐκ τῆς συγγενείας Ἠλεί, ἐξ ἑτέρας δὲ πατριᾶς Σαδώκ· προεφήτευον δὲ αὐτός τε Δαβὶδ καὶ Γὰδ καὶ Νάθαν καὶ Ἀσὰφ καὶ Ἰδιθούμ· ἐστρατηλάτει δὲ αὐτῷ Ἰωάβ. χρὴ τοίνυν ἐντετύχθαι τῷ παντὶ ἀριθμῷ μ΄ μὲν τοῦ Σαοὺλ ἔτη, μ΄ δὲ καὶ τοῦ Δαβίδ, διὰ τὸ ὡς εἴρηται τὰ ἑπτὰ ἔτη ἔτι περιόντος τοῦ Σαοὺλ βεβασιλευκέναι αὐτόν. διὰ τὸν γάμον τῆς Μελχῶ· οὐχὶ ἑκατὸν ἀκροβυστίας ἀλλὰ ἑξακοσίας κεφαλὰς τῶν ἀλλοφύλων τὸν Σαοὺλ φασὶν ἐζητηκέναι καὶ εἰληφέναι ὑπὸ τοῦ Δαβίδ. ἐπὶ τούτου Ἰωὰβ ὁ ἄρχων τῆς στρατείας ἠρίθμησε τὰς φυλὰς Ἰσραήλ, καὶ ἦν ὁ ἀριθμός, ὃν κατηρίθμησε, χιλιάδες ἑκατὸν καὶ ἑξακόσιαι δύο, οἱ δὲ υἱοὶ Ἰούδα τετρακόσιαι ἑβδομήκοντα· τὸν δὲ Λευὶ καὶ τὸν Βενιαμὶν οὐ κατηρίθμησε. πεπτώκασι δὲ ἐκ τοῦ λαοῦ διὰ τοῦτο χιλιάδες ἑβδομήκοντα. ᾠδὰς φασι καὶ ὕμνους τὸν Δαβὶδ συντάξαι εἰς θεὸν ἀμέτρους μετ' ὀργάνων πολλῶν μουσικῶν. ἀλλὰ καὶ πόλυν χρυσὸν συνταφῆναι τῷ Δαβὶδ ὑπὸ Σολομῶντος· ὃν ταῖς πολιορκίαις οἱ κατὰ καιροὺς βασιλεῖς τῶν Ἑβραίων ἀνοίγοντες ἐλάμβανον ταλάντων χρήματα πολλά. ταῖς δὲ θήκαις τῶν βασιλέων οὐδεὶς ἐνεχείρισεν· ἦσαν γὰρ μεμηχανευμέναι ὑπὸ Σολομῶντος, ὡς μὴ ταύτας εὑρίσκεσθαι.

Σολομῶν ὁ τοῦ Δαβὶδ τὸν πατέρα διαδεξάμενος βασιλεύει ἔτη μ΄. οὗτος τὸν ναὸν τοῦ θεοῦ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ θεμελιώσας, καὶ ἐν ἑπτὰ ἔτεσιν αὐτὸν κατα-

dok; prophetarunt quum ipse David, tum Gad, Nathan, Asaph et Idithum; dux exercitus fuit Ioab. addendi igitur sunt integro numero 40 anni Saul et 40 Davidis, quod, ut dictum est, 7 annos superstite Saul regnavit. Melcho autem nuptiis non 100 praeputia, sed 600 capita peregrinorum Saul dicunt Davidis opera quaesiisse et cepisse. sub hoc Ioab, exercitus dux, Israelitarum tribus numeravit; fuitque numerus 100602 et filiorum Iudae 470. Levi autem et Beniamin non numeravit, qua re exciderunt 70000. odas dicunt et hymnos Davidem confecisse in dei honorem nulli metro adstrictos cum multis instrumentis musicis. narratur etiam multum auri cum Davide a Solomonte terra conditum esse, quod in obsessionibus qui forte regebant Hebraeorum reges effoderunt et magnam talentorum vim inde sumpserunt. capulas autem regum nemo tetigit; ita enim a Solomonte confectae erant, ut inveniri non possent.

Solomon, Davidis filius, patrem secutus annos 40 regnavit. hic quarto imperii anno templi dei fundamentum iecit idque 7 annis absolutum undecimo regni anno consecravit. sacerdotium sub eo ad-

σκευάσας, τῷ ἐνδεκάτῳ ἔτει τῆς ἀρχῆς αὐτοῦ ἀφιεροῖ. ἱεράτευε δὲ ἐπὶ τούτου Σαδώκ, καὶ προεφήτευον Νάθαν ὁ τὴν οἰκοδομὴν αὐτὸν τοῦ ἱεροῦ ποιήσασθαι παραθαρσύνας καὶ Ἀχιὰμ ὁ Σιλωνίτης καὶ Σαμέας υἱὸς Σαλαμῆ καὶ Ἀδδώ· τήν τε στρατιωτικὴν δύναμιν ἐγχειρίζεται Βανέας υἱὸς Ἰωδαέ. τούτῳ γίνεται μόνος ἐκ τοσούτου γυναικῶν πλήθους υἱὸς Ῥοβοάμ. πολλὰ πονήματα ἐγγράφως τέθεικεν, ἀλλὰ καὶ ἐπῳδὰς καὶ ἐξορκισμοὺς κατὰ δαιμόνων ἐπενόησεν, αἷς χρώμενοί τινες Ἰουδαῖοι, δακτύλιόν τινα ἔχοντα σφραγῖδα καὶ ῥίζαν ἐξ ὧν ὑπέδειξε Σολομὼν ἐν τῇ ῥινὶ τιθέντες τοῦ πάσχοντος, ὀσφραινόμενον τὸ δαιμόνιον ἐξέλκεσθαι, σημείου τιθεμένου ἢ ποτηρίου μεστοῦ ὕδατος ἢ ἑτέρου τινὸς ἀγγείου, ὃ πάντως συνέτριβε φεῦγον τὸ δαιμόνιον. κατὰ τούτους τοὺς χρόνους Ὅμηρος καὶ Ἡσίοδος ἐγνωρίζετο.

Ῥοβοὰμ υἱὸς Σολομῶντος βασιλεύει ἔτη ιή. ἐπὶ τούτου τὸ πᾶν τοῦ λαοῦ πλῆθος διαιρεῖται· καὶ αὐτῷ μὲν ἡ ἐξ Ἰούδα παραμένει φυλὴ καὶ ἡ τοῦ Βενιαμίν, αἱ δὲ λοιπαὶ πᾶσαι αἱ δέκα φυλαὶ Ἱεροβοὰμ τὸν τοῦ Ναβάτ, ἐκ φυλῆς Ἐφραίμ, ἕνα τῶν Σολομῶνος οἰκείων, ἑαυτῶν βασίλεα προεστήσαντο. ἦν μὲν οὖν τῷ Ῥοβοὰμ ὁ τῆς βασιλείας οἶκος ἐν Ἱερουσαλήμ, ἐκαλεῖτο δὲ τὸ ὑπ' αὐτὸν ταττόμενον πλῆθος Ἰούδας καὶ ὁ οἶκος Δαβίδ, ἐκ τῆς ἐπικρατεστέρας φυλῆς εἰληφὼς τὴν προσηγορίαν. τοῦ δὲ Ἱεροβοὰμ Σαμάρεια μὲν ἡ

21. τὸ om C αὐτοῦ C

ministravit Sadok, prophetavit Nathan, qui templi aedificandi hortator fuerat, Achiam praeterea Silonites et Sameas, Salame filius, et Addo; exercitui praepositus est Baneas, Iodae filius. huic ex tanta mulierum multitudine, unus tantum filius natus est Rhoboam. multa scripta reliquit etiamque incantationes et exorcismos contra malos spiritus excogitavit, quibus utuntur Iudaeorum quidam, annulum, in quo est sigillum, et radicem, ut docuerat Solomon, in nares aegroti ponentes, ut sentiens spiritus eiiciatur, signo adhibito vel poculo aqua pleno, vel alio vase, quo fugiens spiritus plane contunditur. his temporibus Homerus et Hesiodus floruerunt.

Rhoboam, Solomontis filius, annos regnavit 18; sub hoc populus divisus est; ipsi remanserunt Iuda et Beniamin tribus; reliquae 10 omnes Hieroboam, Nabat filium, ex Ephraim tribu, unum e Solomontis familiaribus, regem sibi constituerunt. fuit Rhoboam regis sedes Hierosolymis; populus ei subiectus Iudas nominabatur et domus Davidis, nomine a superiore tribu sumpto. regni Hieroboam caput fuit Samaria; Thersae autem domus regia; altaria fuerunt duo, unum

μητρόπολις, ὁ δὲ τῆς βασιλείας οἶκος ἐν Θερσᾶ, θυσιαστήριά τε δύο, ἓν μὲν ἐν Βαιθὴλ (τὴν γὰρ μίαν τῶν δαμάλεων ἐνταῦθα καθιδρύει), θάτερον δὲ ἐν Σαμαρείᾳ ἐν τῇ τοῦ Δᾶν φυλῇ· καὶ ἐνταῦθα γὰρ ἑτέραν ἀνιέρωσε δάμαλιν. ὄνομα δὲ τῷ ὑπ' αὐτὸν λαῷ Ἰσραὴλ διὰ τὸ πλῆθος καὶ Ἐφραὶμ διὰ τὴν τοῦ βασιλέως φυλήν. ἐπροεφήτευον δὲ ἔτι καὶ τότε Σαμέας ὁ τοῦ Σαλαμῆ, καὶ ὁ ἐξ Ἰούδα εἰς Σαμάρειαν ἀφικόμενος καὶ προφητεύσας τῷ Ἱεροβοὰμ πρὸς τὸ θυσιαστήριον. ὃς καὶ ἀναιρεῖται τῷ τοῦ θεοῦ παραβῆναι τὴν ἐντολήν, ἀπαντηθεὶς ὑπὸ λέοντος καθ' ὁδὸν αὐτῷ ἐπανιόντι συγκυρήσαντος.

Ἀβιᾶ διαδεξάμενος τὴν τοῦ πατρὸς ἀρχὴν βασιλεύει ἔτη τρία. Ἀσᾶ μετὰ τοῦτον βασιλεύει ὁ υἱὸς ἔτη μα'. οὗτος ἤδη γηραιὸς ὢν ἀρθριτικῷ τοὺς πόδας ἤλγησε πάθει· προφητεύει δὲ ἐπὶ τούτου Ἀνανίας. Ἰωσαφὰτ μετὰ τοῦτον ὁ υἱὸς βασιλεύει ἔτη κέ, ἐπροεφήτευον δὲ ἐπ' αὐτοῦ Μιχαίας ὁ υἱὸς Ἐμβλᾶ καὶ Ἀβδιοῦ υἱὸς Ἀνανίου καὶ Ἐλέαζαρ καὶ Ἀνανίας· ἦν δὲ καὶ ψευδοπροφήτης Σεδεκίου υἱὸς Χαναάν. κατὰ τούτους τοὺς χρόνους καὶ Ἠλίας ἐν τῷ Ἰσραὴλ προεφήτευσε, καὶ μετ' αὐτὸν Ἐλισσαῖος. Ἰωρὰμ τὸν πατέρα Ἰωσαφὰτ διαδεξάμενος βασιλεύει ἔτη ὀκτώ, ἀνὴρ ἐπ' ἀσεβείᾳ τοὺς πολλοὺς ὑπερβαλόμενος· γαμβρὸς δὲ ἦν Ἀχαὰβ τοῦ Ἰσραηλιτῶν βασιλέως, οὗ καὶ ζηλωτὴς ἐγένετο τοῦ βίου. καὶ ἐπὶ τούτου προφητεύουσιν οἱ αὐτοί, ἱεράτευε δὲ Ἰωδαέ.

Baethel, (alteram enim iuvencarum ibi collocavit), alterum Samariae in Dan tribu, ibi enim alteram iuvencam consecravit. nomen populi ei subiecti erat Israel propter multitudinem et Ephraim propter regis tribum. prophetabant etiamtunc Sameas, Salame filius et qui ex Iuda in Samariam profectus Hieroboam rei ad altare prophetavit; qui etiam occisus est, quod dei iussum transgressus erat, obviam factus leoni, qui cum reverteretur in eum incidit.

Abia accepto patris regno 3 annos regnavit; post eum Asa filius regnavit annos 41; hic quum iam senex esset, pedibus laboravit arthritico morbo. prophetavit sub eo Ananias. Iosaphat deinde, filius eius, regnavit annos 25; prophetavit sub eo Michaeas, Emblae filius, et Abdiu, Ananiae filius et Eleasar et Ananias; erat etiam falsus propheta Sedeciae filius Chanaan. hisce temporibus in Israel Elias quoque prophetavit et post eum Elissaeus. Ioram Iosaphat patrem excepit et 8 annos regnavit, homo, impietate plurimos superans; gener fuit Achaab, Israelitarum regis, cuius etiam vitae studiosus fuit; sub eo iidem prophetarunt; sacerdos fuit Iodaë. Ochosias, qui hunc excepit,

Ὀχοζίας δὲ τοῦτον διαδεξάμενος βασιλεύει ἔτος ἕν· ἀνεῖλε δ' αὐτὸν Ἰηοῦ βασιλεὺς Ἰσραήλ, ὅτε ἐξωλόθρευσε τὸ γένος Ἀχαάβ.

Γοθολία μετὰ τοῦτον ἡ Ζαμβρῆ τοῦ Ἰσραηλιτῶν βασιλέως θυγάτηρ, γυνὴ δὲ τῷ Ἰωράμ, μήτηρ δὲ τοῦ Ὀχοζίου, βασιλεύει ἐπὶ Ἰσραὴλ ἔτη ὀκτώ. αὕτη πασῶν ἀσεβεστάτη γενομένη γυναικῶν πάντας ἀναιρεῖ τοὺς Ὀχοζίου παῖδας, Ἀχαὰβ τὸν Ἰσραηλιτῶν βασιλέα τιμωρουμένη· ἐδόκει γὰρ ἐκ τοῦ γένους εἶναι τούτου. Ἰωσαβὲδ ἡ τοῦ Ὀζίου ἀδελφή, γυνὴ τοῦ ἀρχιερέως Ἰωδαέ, κλέψας Ἰωὰς τὸν Ὀχοζίου υἱὸν ἔτι βρέφος ὄντα ἀνατρέφει· ἱεράτευε δὲ ἐπ' αὐτῆς Ἰωδαέ, καὶ προεφήτευε Ζαχαρίας ὁ υἱὸς αὐτοῦ. Ἰωὰς τὸν Ὀχοζίου υἱόν, ὀκταέτη τυγχάνοντα, Ἰωδαὲ χρίσας ὁ ἀρχιερεὺς ἀνέδειξε βασιλέα, Γοθολίαν ἀνελών. εὐσεβὴς δὲ κατ' ἀρχὰς γενόμενος πάντα καθαιρεῖ τὰ εἴδωλα, πλὴν τῶν εἰδώλων τῶν μετεώρων. ἐπὶ τούτου ὁ ἀρχιερεὺς ἐτελεύτησε Ἰωδαέ, βιώσας ἔτη ρλ'. σημειωτέον ὅτι τοῦτον οὗτος φαίνεται μόνος βιώσας τὸν χρόνον μετὰ Μωϋσῆν. εἰδωλολατρεῖ δὲ ἐπὶ τέλει ὁ Ἰωάς, καὶ Ζαχαρίαν τὸν τοῦ Ἰωδαὲ υἱὸν τὸν προφήτην αἰτιώμενον τὴν ἐκτροπὴν καταλεύσας ἀναιρεῖ· βασιλεύει δὲ ἔτη μ'. Ἀμεσίας δὲ τοῦτον διαδέχεται ὁ υἱός, καὶ βασιλεύει ἔτη κϑ'· ἐπὶ τούτου Σίβυλλα ἡ Κυμαία ἐγνωρίζετο.

2. δ' om C

unum annum regnavit; occidit eum Ieu, Israelitarum rex, qui genus Achaab exstinxit.

Post hunc Gotholia, Sambre, Israelitarum regis, filia, et Ioram coniux materque Ochosiae regnum Israelitarum habuit annos 8. haec, omnium mulierum improbissima, omnem Ochosiae prolem interfecit, Achaab, Israelitarum regem, ulciscens; credebatur enim ex eius esse gente. Iosabed, Osiae soror et Iodaë, summi sacerdotis, uxor, Ioas, Ochosiae filium, quum adhuc infantulus esset, surripuit et educavit. sacerdotium sub ea administravit Iodaë et prophetavit Zacharias, illius filius. Ioas, Ochosiae filium, puerum 8 annorum, Iodaë, summus sacerdos unxit et regem appellavit, Gotholiam autem interfecit. ab initio pius fuit Ioas et omnia idola abolevit praeter coelestium rerum idola. sub hoc Iodaë summus sacerdos mortuus est, postquam vixit 130 annos; memorandum est, hunc solum post Mosen tantam aetatem assecutum esse videri. tandem Ioas idolis se dedit et Zachariam prophetam Iudaë filium, qui peccatum ei exprobravit, iniectis lapidibus occidit. regnavit annos 40; excepit eum Amesias filius et 29 annos regnavit. sub hoc Sibylla Cumaea clara fuit.

Ὀζίας καὶ Ζαχαρίας υἱὸς Ἀμεσίου ἐβασίλευσεν ἔτη νβ, ἀνὴρ εὐσεβής. ὕστερον δὲ τῶν ἁγίων ἐπιβῆναι πειραθεὶς λεπροῦται, καὶ ἐδίκαζεν ἀντ' αὐτοῦ ὁ υἱὸς αὐτοῦ. ἦν δὲ ἀρχιερεὺς ἐπὶ αὐτοῦ Ἀζαρίας, ἐπροεφήτευον δὲ Ἀμὼς καὶ Ἡσαίας ὁ υἱὸς αὐτοῦ καὶ Ὡσηὲ ὁ τοῦ Βεκρεὶ καὶ Ἰωνᾶς ὁ τοῦ Ἀμαθὶ ὁ ἐκ Γοφέρ. κατὰ τούτους τοὺς χρόνους Λυκοῦργος Λακεδαιμόνιος ἐνομοθέτει. Ἰωαθὰμ ὁ υἱὸς Ὀζίου ἐβασίλευσε μετὰ τὴν τελευτὴν τοῦ πατρὸς ἔτη ις'. καὶ ἐπὶ τούτου προφητεύει Ἡσαίας καὶ Μιχαίας, ἀρχιερατεύει δὲ Οὐρίας. ἐν τῷ πρώτῳ ἔτει τῆς τούτου βασιλείας Ἴφιτος τὰς Ὀλυμπιάδας συνέστησεν. ἐν δὲ τῇ αὐτῇ πρώτῃ Ὀλυμπιάδι Ῥῶμος καὶ Ῥωμύλος ἐγεννήθησαν, οἵτινες ἐν τῇ ἑβδόμῃ Ὀλυμπιάδι τὴν Ῥώμην ἤρξαντο κτίζειν· ἡ δὲ ἀριστοκρατία ἀπὸ Ῥωμύλου καὶ τῶν ὑπάτων ἀρξαμένη κατέπαυσε μέχρι τῆς Ἰουλίου Καίσαρος μοναρχίας, διαρκέσασα ἐπὶ ἔτη σμέ.

Τοῦ Ἰούδα δωδέκατος ἐβασίλευσεν Ἄχαζ ἔτη ης'· τοῦ δὲ κόσμου ἦν ἔτος ,δψη'. Ἄχαζ συντυχὼν τῷ Θετλαβαλασὰρ ἐν Δαμασκῷ θυσιαστήριόν τι εἰδωλικὸν εἶδε· τούτου λαβὼν τὰ μέτρα ἀπέστειλεν εἰς Ἰσραὴλ πρὸς Οὐρίαν τὸν ἀρχιερέα, κελεύσας ὅμοια αὐτοῦ ποιῆσαι· ἐν ᾧ τοῖς θεοῖς Σύρων ἔθυεν ὑποστρέψας, τὸν δὲ ναὸν τοῦ θεοῦ ἔκλεισεν. Ἐζεκίας τὸν Ἄχαζ διαδεξάμενος ὁ υἱὸς βασιλεύει ἔτη κθ', ἀνὴρ εὐσεβέστατος. ἔτι καὶ ἐπὶ τούτου Ἡσαίας καὶ Ὡσηὲ καὶ Μιχαίας

Osias sive Zacharias, Amesiae filius, annos 52 regnavit, vir magnae in deum pietatis; postea vero cum sacra obire conaretur lepra est implicatus, et filius pro eo iudicavit. summus sacerdos sub eo erat Asarias; prophetarunt Amos et Hesaias, eius filius et Oseë, Becri filius, et Ionas, Amathi filius ex Gopher. his temporibus Lycurgus Lacedaemoniis leges scripsit. Ioatham, Osiae filius, post patris mortem annos 16 regnavit et sub eo prophetarunt Iesaias et Michaeas, Uria summo sacerdote. primo anno eius regni Iphitus Olympiadas instituit. in ea ipsa prima Olympiade Romus et Romulus nati sunt, qui septima Olympiade Romam aedificare coeperunt. aristocratia a Romulo et consulibus instituta sub Iulio imperatore in monarchiam cessit, postquam 245 annos duravit.

Duodecimus Iudaeorum rex fuit Achas; mundi annus fuit 4708. Achas quum Damasci convenisset Thetlabalasar et gentile altare vidisset, ab eo mensuras sumpsit et in Israel ad Uriam, summum sacerdotem, misit, iubens, similia facere, qua re Syrorum diis per peccatum sacrificavit, dei autem templum clausit. Achas Esekias filius excepit regnavitque 29 annos, vir summae pietatis. adhuc sub eo

ἐπροεφήτευον. ἐπὶ τούτου Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων μετῴκισε τοὺς ἐν Σαμαρείᾳ εἰς τὴν Μηδίαν καὶ Βαβυλωνίαν φυλάσσειν, βασιλεύοντος αὐτῶν κατ' ἐκεῖνο καιροῦ Ὡσηὲ προφήτου· ἔτος δὲ ἦν τῆς βασιλείας Ἐζεκίου ἕκτον. οὗτος ὁ Ἐζεκίας τὸν ὄφιν, ὃν ἐκρέμασε Μωϋσῆς, καθεῖλεν, ὅτι αὐτῷ ἐθυμίαζεν ὁ λαός. ἀλλὰ καὶ βίβλον Σολομῶνος ἰάματα παντὸς πάθους ἐγκεκολαμμένην ἐξέκοψε. κατὰ τούτους τοὺς χρόνους Θαλῆς Μιλήσιος ἐν Τενέδῳ ἀπέθανε καὶ Σίβυλλα Ἐρυθραία ἐγνωρίζετο.

Μανασσῆς υἱὸς Ἐζεκίου ἐβασίλευσεν ἔτη νέ, ἀνὴρ μιαρώτατος καὶ μηδὲν ἧττον Χαναναίων εἰδωλολατρήσας· λέγεται δὲ τὸν ἐπὶ τέλει χρόνον εὐσεβῶς βεβιωκέναι. ἐπὶ τούτου Ἡσαίας ὁ προφήτης μετήλλαξε τὸν βίον. κατὰ τούτους τοὺς χρόνους Ῥωμύλος ἐν τῷ βουλευτηρίῳ μελιστὶ διαιρεθεὶς ἐξεφορήθη, βασιλεύσας ἔτη λή, οὔσης Ὀλυμπιάδος ις'. Ἀμὼς υἱὸς Μανασσῆ τὸν πατέρα διαδεξάμενος βασιλεύει ἔτη β'. κατὰ τούτους τοὺς χρόνους Μίδας τῆς Φρυγίας βασιλεὺς ἀπέθανεν, ὄντινα τοῖς τότε καιροῖς ὄνον ὦτα ἔχειν ἔλεγον. Ἰωσίαν τὸν πατέρα Ἀμὼς διαδεξάμενος ὀκταετὴς ἀντιλαμβάνεται τῆς ἀρχῆς, καὶ βασιλεύει ἔτη λα'. ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς τούτου βασιλείας εὑρὼν ὁ ἱερεὺς Χελκίας βιβλίον ἐν τῷ ἱερῷ (πατὴρ δὲ ἦν ὁ Χελκίας Ἱερεμίου τοῦ προφήτου) προσκομίζει τῷ βασιλεῖ· ὁ δὲ (εὐλαβὴς γὰρ ἦν) τὸ

Hesaias, Oseë et Michaeas prophetarunt. sub hoc Salmanasar, Assyriorum rex, Samaritanos in Mediam et Babyloniam traduxit custodiendos; imperitabat autem illo tempore Oseë propheta et annus fuit Esekiae regni sextus hic Esekias anguem, quem Moses suspenderat, fregit, quod ei tus accendebat populus; idem etiam Solomonis librum, cui cuiusvis morbi remedia inscripta erant, delevit. his temporibus Thales Milesius Tenedi mortuus est et Sibylla Erythraea innotuit.

Manasses, Esekiae filius, 55 annos regnavit, homo impurissimus neque minus quam Chananaei idolis inserviens. narratur autem postmodum pie vixisse. sub eo Hesaias propheta e vita excessit. iis temporibus Romulus in senatu membratim caesus sepultus est, post regnum 38 annorum, Olympiade 16. Amos, Manasse filius, patrem excepit et duos annos regnavit. his temporibus Midas, Phrygiae rex, mortuus est, quem tunc temporis asini aures habuisse dicebant. Iosian Amos patrem secutus, puer 8 annorum regno potitus 31 annos regnavit. anno eius imperii 18 Chelkias sacerdos in templo libellum invenit (pater autem fuit Chelkias Ieremiae prophetae) et regi attulit.

τε πάσχα κυρίῳ ἐπετέλει ἀπὸ τῶν χρόνων Ἰησοῦ υἱοῦ τοῦ Ναυῆ τοιοῦτον μὴ γενόμενον, καὶ τῶν ἐν ἀσεβείᾳ τὸν βίον ἐξεληλυθότων τὰ ὀστᾶ συναγαγὼν ἐπὶ τῷ θυσιαστηρίῳ κατέκαυσε τῶν εἰδώλων, καὶ πάντα καταστρεψάμενος εὐσεβείας τῷ λαῷ παρεῖχεν ὑποδείγματα. φασὶ δὲ τὸν Χελκίαν ἀναγνόντα τὸ βιβλίον παραυτίκα διαπεφωνηκέναι. προεφήτευον δὲ ἐπὶ τούτου Ἱερεμίας ὁ τοῦ Χελκίου καὶ Σοφονίας, καὶ Ἡλιβὰ γυνὴ Σελεὶμ τοῦ ἱματιοφύλακος τοῦ ἱερέως· ἦν δὲ καὶ ψευδοπροφήτης Ἀνανίας. κατὰ τούτους τοὺς χρόνους Σίβυλλα ἐν Σάμῳ ἐγνωρίζετο, καὶ τὸ Βυζάντιον ἐκτίσθη ὑπὸ Μεγαρέων.

Ἰωάχαζ υἱὸς Ἰωσίου, τὸν πατέρα διαδεξάμενος, βασιλεύει μῆνας τρεῖς. Νεβὰδ δὲ βασιλεὺς Αἰγύπτου ἐπιστρατεύσας τῇ Ἱερουσαλὴμ καὶ χειρωσάμενος τὸν Ἰωάχαζ εἰς Αἴγυπτον αἰχμάλωτον ἀπάγει, καὶ καθίστησιν ἀντ' αὐτοῦ βασιλέα ἐπὶ Ἱερουσαλὴμ τὸν Ἰωακεὶμ καὶ τὸν Ἐλιακείμ· ὃ ἀδελφὸς Ἰωάχαζ. οὗτος τὴν βασιλείαν διαδεξάμενος βασιλεύει ἔτη ια'. ἐπὶ τούτου Ναβουχοδονόσορ ἐξάρας ἀπὸ Βαβυλῶνος πάσης Αἰγυπτίας ἐπεκράτησε γῆς, καὶ τῶν Αἰγυπτίοις πλησιοχώρων οὐκ ὀλίγην ἀποσπάσας ἐκέκτητο, τουτέστιν ἀπὸ τοῦ χειμάρρου Αἰγυπτίου ἕως τοῦ ποταμοῦ Εὐφράτου, καὶ τὴν Ἰουδαίων ὑπόφορον ἅπασαν κατέστησε· καὶ ἐδούλευσεν Ἰωακεὶμ τῷ Ναβουχοδονόσορ ἔτη γ'. ἐπὶ τούτου

ille (probus enim erat) et pascha deo celebravit, quod inde a Iesu, Naue filii, temporibus nunquam factum erat, et eorum, qui in impietate e vita discesserant, collecta ossa in altaribus idolarum combussit et omnibus rebus immutatis pietatis exemplum populo exhibuit. dicunt autem Chelkian, quum libellum legisset, statim exspirasse. prophetarunt sub eo Ieremias, Chelkiae filius, Sophonias et Heliba, uxor Selim, vestispici sacerdotis. erat etiam falsus propheta Ananias. hisce temporibus Sibylla Samia innotuit et a Megarensibus Byzantium conditum est.

Ioachas Iosiae filius, patrem secutus tres menses regnavit. Nebad, Aegypti rex, Hierosolyma cum exercitu contendit et victum Ioachas captivum in Aegyptum duxit, rege Hierosolymorum constituto in eius loco Ioakim, qui etiam Eliakim vocatur; frater hic erat Ioachas. hic regnum suscepit et 11 annos administravit. sub hoc Nabuchodonosor, exorsus a Babylone totius Aegypti potitus est, et populis Aegyptiorum vicinis non parvam terram abstulit, quam suis addidit; i. e. ab Aegyptiorum fluvio usque ad Euphratem. idem omnem Iudaeam tributariam fecit; serviitque ei Ioakim tres annos. sub eo prophetarunt

προφητεύουσιν Ἱερεμίας καὶ Βουζὶ καὶ Οὐρίας ὁ τοῦ Σαμέου, ὃν καὶ φυγόντα εἰς Αἴγυπτον Ἰωακεὶμ συλλαβόμενος ἀναιρεῖ. τοῦτον τὸν Ἰωακεὶμ δήσας χαλκείοις δεσμοῖς ὁ Ναβουχοδονόσορ εἰς Βαβυλῶνα ἀπήγαγε· μεθ' οὗ ἀπῆλθον αἰχμάλωτοι Δανιὴλ καὶ Ἀνανίας Μισαὴλ τε καὶ Ἀζαρίας. κατὰ τούτους τοὺς χρόνους Ἐπίδαμνος ἐκτίσθη καὶ μετωνομάσθη Δυρράχιον. Ἰωακεὶμ ὁ καὶ Ἰεχονίας, τὸν πατέρα Ἐλιακεὶμ διαδεξάμενος, βασιλεύει μῆνας τρεῖς. πολιορκοῦντος τὴν Ἱερουσαλὴμ τοῦ Ναβουχοδονόσορ ἐν ἔτει ὀγδόῳ τῆς αὐτοῦ βασιλείας, ὑπεξελθὼν Ἰωακεὶμ τῆς πόλεως σὺν Ἐσθᾷ τῇ μητρὶ καὶ πᾶσι τοῖς ἑαυτοῦ προσπίπτει τῷ Ναβουχοδονόσορ· ὁ δὲ καὶ τὴν πόλιν ἐδαφίζει καὶ τούτους αἰχμαλώτους ἀπάγει σὺν ἄλλοις πολλοῖς, μεθ' ὧν ἀπήχθη καὶ ὁ προφήτης Ἰεζεκιήλ. καθίστησι δὲ ἀντ' αὐτοῦ τῶν ὑπολοίπων ἡγεμόνα τὸν Μανθανίαν, πατράδελφον αὐτοῦ, Σεδεκίαν αὐτὸν μετονομάσας, ὅρκους παρ' αὐτοῦ κατὰ τοῦ θεοῦ περὶ τοῦ μὴ ἀποστῆναι νομισάμενος.

Συνάγεται τοίνυν ἀπὸ πρώτου ἔτους Ἄχαζ καὶ πρώτης Ὀλυμπιάδος μέχρι τῆσδε τῆς μετοικεσίας ἔτη ρμα', ἀπὸ δὲ Σαοὺλ τοῦ πρώτου βασιλεύσαντος Ἑβραίων ἔτη νϛ', ἀπὸ δὲ τῆς τελευτῆς Ἰησοῦ τοῦ Ναυῆ ἔτη ᾳρ', ἀπὸ δὲ Νῶε καὶ τοῦ κατακλυσμοῦ ἔτη βχ', ἀπὸ δὲ Ἀδὰμ ἔτη ͵δωοβ'.

Φυλαττομένης δὲ ἡμῖν τῆς τῶν χρόνων ἀκολουθίας διὰ τῆς τῶν ἐκ Δαυὶδ ἡγεμονίας, οὐκ ἄτοπον οἶμαι τῶν ἐπὶ Σα-

Ieremias et Busi et Urias Sameae filius, quem in Aegyptum fugientem Ioakim necavit. hunc Ioakim ferreis vinculis vinctum Nabuchodonosor Babylonem abduxit. cum eo captivi profecti sunt Daniel et Ananias, Misael et Asarias. hisce temporibus Epidamnus condita, quae mutato nomine Dyrrhachium dicta est. Ioakim, qui etiam Iechonias vocatur, Eliakim patrem excepit et tres menses regnavit. obsessis a Nabuchodonosore Hierosolymis anno eius imperii octavo Ioakim ex urbe egressus cum Estha matre suisque omnibus obviam factus est Nabuchodonosori; hic vero et urbem delevit et illos captos cum aliis multis, in quibus Iesekiel propheta, abduxit. constituit autem pro illo relictorum dominum Manthaniam, avunculum eius, quem Sedekian nominavit et per deum iurare coegit, se non defecturum.

Fuerunt igitur a primo anno Achas et prima Olympiade usque ad hanc migrationem anni 141; a Saul, primo Hebraeorum rege, anni 406; a morte Iesu, Naue filii anni 1100; a Noe et diluvio anni 2600; ab Adamo anni 4872.

Iam cum rationem habuerimus temporum in regibus ex Davide

μάρειαν ἡγησαμένων ἐν παρεξόδῳ τοὺς χρόνους ἐπιδραμεῖν. τελευτήσαντος τοῦ βασιλέως Σολομῶντος Ῥοβοὰμ ὁ τούτου παῖς ἀνέρχεται εἰς Σίκιμα· ἐκεῖ γὰρ ὁ λαὸς συνήθροιστο ὥστε καταστῆναι ὑπ' αὐτῶν βασιλέα. μέλλοντι δὲ αὐτῷ χρίεσθαι προσῆλθεν ὁ λαὸς παρακαλῶν ἀπὸ τοῦ πλήθους κουφισθῆναι τῶν τελεσμάτων ὧν ὁ πατὴρ αὐτοῦ Σολομῶν ἐφορολόγει τὸν λαόν. ὁ δὲ τρεῖς ἡμέρας πρὸς διάσκεψιν καὶ τὴν τοῦ δέοντος ἀπόκρισιν λαβών, καὶ παρὰ μὲν τῶν πρεσβυτέρων ἀκούσας κουφισθῆναι τὸν λαόν, παρὰ δὲ τῶν ὁμηλίκων ἐπιφορτίσαι μᾶλλον, τούτοις πεισθεὶς κατὰ τὴν τρίτην ἡμέραν τὴν τῶν νεολαίων συμβουλίαν πρὸς τὸν λαὸν ἀποκρίνεται. οἱ δὲ ἀναχωροῦσιν ἀποταξάμενοι τῇ ὑπ' αὐτῷ ἀρχῇ, καὶ αἱ μὲν δέκα φυλαὶ καθιστῶσιν ἐφ' ἑαυτῶν τὸν Ἱεροβοὰμ τὸν τοῦ Ναβὰτ καὶ Σαρίρας γυναικὸς ἑταίρας υἱόν, ἐκ φυλῆς ὁρμώμενον τῆς Ἐφραίμ, βασιλέα, παραμένουσι δὲ τῷ Ῥοβοὰμ ἡ τοῦ Ἰούδα καὶ τοῦ Βενιαμὶν φυλή. ἐξ ἐκείνου διαιρεθεὶς ὁ λαὸς ἰδίᾳ ἕκαστον μέρος καὶ τὸ ὄνομα καὶ τὸν τῆς βασιλείας οἶκον ἐκέκτητο, καθάπερ ἐν τοῖς ἀνωτέρω εἴρηται.

Ἱεροβοὰμ τοίνυν ὁ τοῦ Ναβὰτ βασιλεύει ἐν τῇ Σαμαρείᾳ ἔτη κβ'. ἐπὶ τούτου προφητεύει ὁ Σιλωνίτης. ἐπὶ αὐτοῦ Σουλακεὶμ ὁ Αἰγύπτιος στρατεύσας ἐπὶ Ἱερουσαλὴμ πάντας ἀφαιρεῖται τοῦ ναοῦ τοὺς θησαυροὺς καὶ τοὺς τοῦ βασιλέως αὐτῶν Ἱεροβοάμ. Ναβὰτ τὸν Ἱεροβοὰμ διαδεξάμενος ὁ υἱὸς

16. διαγρευθεὶς C

ortis, non ineptum videtur, etiam Samariae regum breviter tempora enumerare. mortuo Solomonte rege Rhoboam, eius filius, Sikimam se contulit, ibi enim regis creandi causa convenerat populus. cumque iam in eo esset, ut ungeretur, adiit eum populus petiitque ut diminueret tributorum multitudinem, quae Solomon populo imposuerat. qui quum triduum sibi ad reputationem et responsionem sumsisset, et a senioribus audisset relevandum esse populum, ab aequalibus autem, magis premendum, his obsecutus tertio die iuniorum consilium ut responsum populo aperuit. illi autem secessione facta ab eius imperio defeceruunt. tum 10 tribus regem sibi constituerunt Ieroboam, Nabat et Sarirae pellicis filium, ex Ephraim tribu oriundum. remanserunt apud Rhoboam Iuda et Beniamin tribus. ex illo tempore disiuncto populo utraque pars nomen et regiam proprium habuit, ut supra dictum est.

Ieroboam igitur, Nabat filius, Samariae regnavit annos 22. sub eo prophetavit Silonites. sub eodem Sulakim Aegyptius cum exercitu profectus Hierosolyma omnes templi thesauros abstulit et Ieroboam regis. Nabat patrem Ieroboam excepit duosque annos regnavit.

βασιλεύει ἔτη β'. Βαασὰ ὁ υἱὸς Ἐχεὶμ τὸν Ναβὰτ ἀποκτείνας βασιλεύει ἐν Σαμαρείᾳ ἔτη κδ'. προφητεύει ἐπὶ τούτου Ἰοῦ υἱὸς Ἀνανίου. Ἴλα τὸν πατέρα διαδεξάμενος Βαασὰ βασιλεύει ἔτη δύο. Ζαμβρῆ ὁ τῶν ἁρμάτων τὴν ἡγεμονίαν ὑπὸ τοῦ Ἴλα ἐγχειρισθεὶς ἀναιρεῖ τοῦτον, καὶ πάντα αὐτοῦ διαφθείρας τὸν οἶκον βασιλεύει μῆνας ἑπτά. Ζαμβρῆ ὁ τῆς στρατείας ἡγεμὼν τῷ Βαμβρῆ βασιλεύοντι ἐπανίσταται· ὡς δ' ἐν πολλοῖς ἐδόκει κατὰ κράτος νικᾶν, πυρὶ τὰ ἑαυτοῦ ὑφάψας ὁ Ζαμβρῆ τούτῳ συναπόλλυται. στασιάζοντος δὲ τοῦ Ἰσραὴλ περὶ βασιλέως, καὶ τοῦτον μὲν ἑνίων αἱρουμένων ἑτέρων δὲ Θαμνῆ υἱὸν Γονάθ, καὶ τῶν τοῦ Ζαμβρῆ κρατησάντων, βασιλεύει ἐπὶ Σαμάρειαν ἔτη δώδεκα. Ἀχαὰβ τὸν πατέρα Ζαμβρῆ διαδεξάμενος βασιλεύει ἔτη εἰκοσιδύο. τοῦτον Ἰεζάβελ ἡ γυνὴ (θυγάτηρ δὲ ἦν αὕτη Εἰσβάαλ βασιλέως Σιδωνίων) τὴν θεοσέβειαν ἠπάτησεν ἐξορχήσασθαι.

Μιχαίας ὁ προφήτης ἦν ἐπὶ Ἀχαὰβ διαδησάμενος τὴν κεφαλὴν τελαμῶνι καὶ ὀνειδίσας αὐτὸν διὰ τὸν Ἄδερ. κατὰ τοῦτον τὸν καιρὸν συμβαίνει κτισθῆναι τὴν Ἱεριχώ, κτίζει δὲ ταύτην Ἄχαρ ἀπὸ Βαιθήλ, ἐν τῇ θέσει τοῦ θεμελίου Ἀβειρὼν τὸν πρωτότοκον ἀποβαλὼν υἱὸν κατὰ τὴν τοῦ Ἰησοῦ χρησμῳδίαν, Σεγοὺρ δὲ τὸν νεώτερον ἐπὶ συντελείᾳ τῆς πόλεως. ἐπὶ τούτου προφητεύουσιν Ἠλίας καὶ Ἀβδιοῦ. κρυπτόμενος δὲ ἀεὶ Ἀβδιοῦ διετέλει καὶ τοὺς ἄλλους ἀποκρύπτων προφήτας, τὴν ἐξ Ἰεζάβελ δεδιὼς ἐπιβουλήν. χρίει δὲ ἐπὶ τέλει ὁ Ἠλίας τὸν Ἐλισσαῖον

2. τούτοις C 9. τούτων C

Baasa, Echim filius, occiso Nabat 24 annos regnavit; prophetavitque sub eo Iu, Ananiae filius. Ila patrem secutus Baasam duos annos regnavit. Sambre qui curribus ab Ila praepositus erat, illum occidit omnique eius familia exstincta 7 menses regnavit. Sambre dux exercitus contra Bambre regem surrexit. quumque multis in partibus pervincere videretur, Sambre rebus suis combustis in iis periit. dissidio inter Israelitas orto de rege creando, quum pars hunc praeferret, ceteri Thamne Gonath filium, superiores facti sunt, qui a Sambre parte stabant. hic 12 annos Samariae regnavit. Achaab, Sambre patrem secutus 22 annos regnavit. hunc Iesabel uxor, Eisbaal filia Sidonum regis, induxit ut pietatem insultaret.

Michaeas propheta sub Achaab vixit, capite vitta cincto, qui illum propter Ader vituperavit. illo tempore accidit, ut Iericho aedificaretur ab Achar a Baethel oriundo, qui cum fundamentum iaceret Abiron, maximum natu filium deiecit secundum Iesu vaticinium, et exaedificata urbe Segur iuniorem. sub hoc prophetavere Elias et Abdiu; latensque semper degebat Abdiu, ceterosque prophetas occultabat, Iesabel

εἰς προφήτην. προεφήτευε δὲ ἔτι καὶ Μιχαίας. Ὀχοζίας τὸν Ἀχαὰβ διαδεξάμενος ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη δύο, καὶ ἐπὶ τούτου προφητεύουσιν Ἠλίας καὶ Ἐλισσαῖος. Ἰωρὰν ὁ τούτου ἀδελφὸς διαδεξάμενος τὴν ἀρχὴν βασιλεύει ἔτη ιβ'. ἐπ' αὐτοῦ Ἠλίας ἀνελήφθη ἀπὸ τῆς γῆς. ἐπὶ τούτου λιμώξαντες οἱ κατ' ἐκείνην τὴν περίχωρον, τὰ ἴδια σφάξαντες τέκνα τῶν σαρκῶν ἀπεγεύσαντο, καὶ ἐν κόπρῳ περιστερᾶς ἀντὶ ἁλὸς ἀποβαπτόμενοι ἐχρῶντο. Ἰοῦ υἱὸς Σαφὰτ τοῦ Ναμεσῆ, ὑπὸ Ἐλισσαίου χρισθεὶς εἰς βασιλέα ἐπὶ Σαμαρείας, πάντα τοῦ Ἀχαὰβ ἐτιμωρήσατο τὸν οἶκον· αὐτὸν μὲν γὰρ τὸν βασιλέα Ἰωρὰν κατατοξεύσας ἀναιρεῖ, εὑρὼν θεραπευόμενον τὰ τραύματα κρημνῷ δὲ Ἰεζάβελ τὴν τούτου διαχειρίζεται μητέρα, καὶ ἑβδομήκοντα τοῦ Ἀχαὰβ υἱοὺς διαχειρισάμενος προύθηκεν αὐτῶν ἐπὶ τὰς διεξόδους τὰς κεφαλάς. ἔπειτα συναγαγὼν ἅπαντας τοὺς τοῦ Βάαλ προφήτας καὶ ἱερεῖς καὶ δήμους, δημοτελῆ θυσίαν ἐπιτελεῖν προσποιησάμενος, πάντας ὑφ' ἓν ἀποσφάττει, καὶ τὸ εἰδωλεῖον κατασκάπτει, καὶ καθίστησιν αὐτὸ λυτρῶνα· ἐβασίλευσε δὲ ἔτη κή. ἐπροεφήτευσε δὲ ἔτι καὶ ἐπὶ τούτου Ἐλισσαῖος.

Ἰωάχαζ τὸν πατέρα Ἰοῦ διαδεξάμενος βασιλεύει ἔτη ιζ. ἔτι καὶ ἐπὶ τούτου Ἐλισσαῖος ἐπροφήτευε καὶ ἐτελεύτησεν. Ἰωὰς υἱὸς Ἰωάχαζ βασιλεύει μετ' αὐτὸν ἔτη ις'. Ἱεροβοὰμ τὸν Ἰωὰς διαδεξάμενος ὁ υἱὸς ἐβασίλευσεν ἔτη μά, ἐπροεφή-

15. τοῦ] τῆς C 18. λύτρωμα C 20. Ἰοῦδα C

insidias metuens. postremo Elias Elissaeum prophetam unxit, prophetante etiamtum Michaea. Achaab excepit Ochosias filius regnavitque duos annos; sub eo Elias et Elissaeus prophetarunt. Ioran, illius frater, regnum suscepit et 12 annos administravit. sub eo Elias a terra sublatus est. quum sub hoc regionis illius incolae fame vexarentur, proprios liberos mactabant et carne vescebantur, imbuta salis loco columbarum stercore. Iu, Saphat filius neposque Namese, ab Elissaeo rex unctus Samariae totam Achaab domum ultus est; ipsum enim Ioram regem sagittis percussit, quum medentem vulneribus invenisset, in praecipitio Iesabel, matrem illius, necavit et 70 filiorum Achaab, quos trucidaverat, capita in viis collocavit. tum omnibus Baal prophetis et sacerdotibus et populo arcessitis, simulato publico sacrificio, omnes necavit, et illud piaculum fecit. regnavit 28 annos prophetante etiam sub eo Elissaeo.

Ioachas Iu patrem secutus 17 annos regnavit; sub eo Elissaeus adhuc prophetavit mortuusque est. Ioas, Ioachae filius, regnavit post eum 16 annos. Ieroboam Ioam patrem secutus annos 41 regnavit, sub

τενον δὲ ἐπ' αὐτοῦ Ἰωνᾶς καὶ Ἀμώς. Ζαχαρίας τὸν πατέρα Ἱεροβοὰμ διαδεξάμενος ἐβασίλευσε μῆνας ἕξ. Σελὰμ τὸν Ζαχαρίαν ἀνελὼν ἐβασίλευσε μῆνα α'. Μαναεὶμ ὁ τοῦ Γαδῆ τὸν Σελὰν ἐπαναστὰς ἐβασίλευσεν ἔτη δέκα. οὗτος μὴ δεξαμένους αὐτὸν τοὺς ἐν Θεσσᾷ χειρωσάμενος ἀναιρεῖ, καὶ τὰς ἐν γαστρὶ ἐχούσας διαρρήσσει. Φαλκίας ὁ τοῦ Μαναεὶμ υἱὸς τὸν πατέρα διαδεξάμενος ἐβασίλευσεν ἔτη δύο. Φακεὲ ὁ τοῦ Ῥομελίου τὸν Φαλκίαν ἀνελὼν ἐβασίλευσεν ἔτη εἴκοσι. ἐπὶ τούτου Θεγλαφαλασὰρ ὁ Ἀσσυρίων βασιλεὺς εἰς τὴν Ἰουδαίαν ἐπιστρατεύσας τὰ πλεῖστα τῆς γῆς αὐτῶν σφετερίζεται. Ὡσηὲ μετὰ τὸν Φακεὲ ὁ τοῦ Ἴλα βασιλεύει ἔτη θ'. ἐπὶ τούτου Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων ἐπιστὰς τῆς Σαμαρείας αὐτόν τε ἀπάγει αἰχμάλωτον καὶ πάντα σὺν αὐτῷ τὸν Ἰσραήλ, καὶ κατοικίζει αὐτοὺς ἐν Ἀλαὲ καὶ Ἀβὼρ Μηδικαῖς πόλεσι, καὶ ἐπὶ ποταμῷ Γοζᾶν, ἔνθα τῆς εἰς θεὸν παραβάσεως δίκας ἐκτίνουσι κακουχούμενοι.

Ὁ δὲ Ἀσσύριος Βαβυλωνίους ἐν Σαμαρείᾳ πεμψάμενος, ἄνδρας αἰσχρῶς καὶ ἀνόμως βεβιωκότας, οἰκεῖν αὐτόθι ἐκέλευσε. τούτους ὁ θεὸς λέοντας ἐξαποστέλλων διέφθειρε. πυθόμενος δὲ ὁ βάρβαρος, καὶ συνεὶς ἐπὶ τῆς γῆς δέον ἐκείνης τὴν κατὰ νόμον θεῷ λατρείαν ἐπιτελεῖσθαι, ἕνα τῶν ἱερέων ἐξαποστείλας τὰ νομιζόμενα αὐτόθι ποιεῖν ἐκέλευσεν. ὁ δὲ καταμένων ἐν Βαθὴλ τόν τε νόμον αὐτοὺς ἐξεπαίδευσε καὶ

4. δεξάμενος C 23. τόν τε] τόν τε τὸν C

quo prophetarunt Ionas et Amos. Zacharias, Ieroboam patrem secutus 6 menses regnavit. Selam Zacharia interfecto unum mensem regnavit. contra Selam Manaim, Gade filius, seditionem excitavit regnavitque annos 10. hic Thessae incolas se non excipientes, victos trucidavit gravidasque feminas laceravit. Phalkias, Manaim filius, patrem secutus duos annos regnavit. Phakae, Rhomeliu filius, Phalkia trucidato 20 annos regnavit. sub hoc Theglaphalasar, Assyriorum rex, Iudaeae bellum inferens maximam terrae partem expugnavit. post Phakee Osee, Ilae filius, 9 annos regnavit. sub hoc Salmanasar, Assyriorum rex, orsus contra Samariam ipsum regem captivum omnesque cum eo Israelitas abduxit, et domicilia iis tribuit in Alae et Abor, Medicis urbibus et ad Gosan fluvium, ubi miseria afflicti poenas impietatis solverunt.

Assyrius Babylonios in Samariam misit, homines impie et sine legibus viventes eosque ibi habitare iussit. Eos deus immissis leonibus delevit. barbarus quum haec audisset comperissetque necesse esse, in illa terra secundum legem dei cultum institui, unum e sa-

τὸν θεὸν σέβεσθαι ἐδίδασκε, καὶ οὕτως ἐξ ἐκείνου συμβαίνει τὴν γῆν ἐκ τῶν λεόντων ἠρεμῆσαι. τούτους εἰσέτι Σαμαρείτας ἀπὸ τῆς χώρας προσαγορεύουσι, διὸ καὶ ἀλλόκοτοι τὰς προαιρέσεις, διὰ δὲ τὴν τοῦ νόμου διδασκαλίαν βραχεῖαν ἔχουσι θεοσεβείας ἔμφασιν· καὶ γὰρ οὐδὲ τῆς δεκαλόγου πλεῖον παραλαβεῖν ἠξιώθησαν. ἐνταῦθα τῆς Ἰσραηλιτικῆς βασιλείας οἱ χρόνοι κατέληξαν εἰς ἔτη τριακόσια τρία καὶ μῆνας ἑπτά, ἀρξάμενοι μὲν ἀπὸ Ἱεροβοὰμ τοῦ Ναβάτ, καταλήξαντες δὲ εἰς Ὠσηὲ τὸν τοῦ Ἴλα καὶ τὴν ὑπὸ Σαλμανασὰρ τοῦ Ἰσραὴλ μετοικεσίαν ἀπὸ Σαμαρείας εἰς Μηδίαν. ἤκμαζε δὲ καὶ ἡ προκειμένη τοῖς ἐκ Δαβὶδ βασιλέως, τὴν μὲν ἀρχὴν ἀπὸ τοῦ δεκάτου τῆς τοῦ Σαοὺλ ἔχουσα μοναρχίας, καταλήξασα δὲ ἐπὶ τὸν τριμηναῖον Ἰωακείμ· τοῦτον γὰρ ὁ Ναβουχοδονόσορ Ἰούδα πορθήσας μετῴκισεν εἰς Βαβυλῶνα.

Ἀκόλουθον λοιπὸν ἐπιδραμεῖν τοῖς ἐν τοῖς ἑβδομήκοντα τῆς αἰχμαλωσίας ἔτεσιν ἡγησαμένοις. ἄχρι τούτου τοῦ τελευταίου Ἰωακεὶμ συνάγονται ἀπὸ Ἀδὰμ ἔτη ,δωοβ'. λοιπὸν οὖν τοὺς ἐφεξῆς χρόνους ἀπὸ τοῦ α' ἔτους Σεδεκίου δεῖ ψηφίζειν. ἐκπορθήσας ὁ Ναβουχοδονόσορ τὰ Ἱεροσόλυμα, καὶ τὸν Ἰωακεὶμ εἰς Βαβυλῶνα σὺν τοῖς ἄλλοις ἀπαγαγών, Μανθανίαν δὲ τὸν τούτου ἀδελφὸν τῶν ἐπιλοίπων βασιλέα κατα-

10. *Μήδειαν* C

cerdotibus misit, qui quae ibi sancita essent, obiret. hic Bathel habitans et legem eos docuit et dei venerationem; et ita ex eo tempore factum est, ut terra leonibus liberaretur. eos etiamnunc a terra Samaritas appellant; quare etiam singularibus sunt moribus, et quod legem edocti sunt, brevem habent divini cultus speciem, nam nihil praeter decalogum aliud accire voluerunt. tum Israelitarum regnum concidit postquam floruit 303 annos et 7 menses; initium fuerat regno Ieroboam, Nabat filii, finis in Osee regis, Ilae filii et migratione ex Samaria in Mediam, quae fuit sub Salmanasare. florebat etiamtum regnum sub regibus e gente Davidis, quae inceperat decimo anno regni Saul finitaque est trimestri regno Ioakim; hunc enim Nabuchodonosor everso Iudaeorum regno Babylonem traduxit.

Reliquum igitur est memorare eos, qui 70 captivitatis annis populo praefuerunt. usque ad hunc ultimum Ioakim sunt ab Adamo anni 4872. iam igitur quae sequuntur tempora a primo Sedekiae anno numeranda sunt. Nabuchodonosor, deletis Hierosolymis quum Ioakim et ceteros Babylonem duxisset et Manthanian illius fratrem relictorum regem constituisset, quem etiam Sedekian nominavit, concessit ut pace

στήσας, ὃν καὶ Σεδεκίαν μετωνόμασε, ἐπὶ τῆς οἰκείας γῆς μεθ' ἡσυχίας μένειν ἐδίδου, κομιζόμενος ἀπὸ τοῦ Σεδεκίου τὰς ἐτησίους ἀποφοράς. ἐπ' ἐννέα μὲν ἔτη τούτου τὰ τέλη παραπέμποντος ἡσύχασεν ὁ Ἰσραήλ· κατὰ δὲ τοῦτον ὁ Σεδεκίας τὸν ἐνιαυτὸν ἀποστάς, καὶ πάσῃ τὸν θεὸν καὶ τὸν βασιλέα παραλογισάμενος ἀγνωμοσύνῃ, παρορμᾷ πάλιν κατὰ τῶν Ἱεροσολύμων τὸν Ναβουχοδονόσορ. ὁ δὲ τὴν πόλιν δευτέρῳ πολιορκῶν ἔτει χειροῦται, καὶ τὸν ναὸν ἐμπιπρᾷ, καὶ τοῦ Σεδεκίου κατ' ὄψιν ἀνεῖλε τοὺς παῖδας, κἀκεῖνον ἐκτυφλώσας καὶ πέδαις περιβαλὼν ἅμα παντὶ τῷ λαῷ κατάγει εἰς Βαβυλῶνα, Γολίαν τῶν ἐπιλοίπων ἡγεμόνα καταστήσας, υἱὸν Ἀχικάν. καὶ τοῦτο μὲν οἱ δυνατοὶ τῶν αὐτόθι κατέλιπον, καὶ ἀνελόντες ἀναχωροῦσι, δεδιότες τοὺς Χαλδαίους, ἀπάραντες εἰς Αἴγυπτον, ἔνθα μετ' οὐ πολὺ διαφθείρονται, ζηλωταὶ τῆς Αἰγυπτιακῆς γενόμενοι δεισιδαιμονίας.

Σεδεκίας δὲ ἀπάγεται τὰ πάντα βασιλεύσας ἔτη ια'. ἦν ἀρχιερεὺς ἐπ' αὐτοῦ Ἀρέας, καὶ προεφήτευον ἐν μὲν τῇ Ἰουδαίᾳ Ἱερεμίας ἐν δὲ τῇ Βαβυλῶνι Δανιήλ· κατὰ δὲ τὸ δεύτερον τῆς αἰχμαλωσίας καὶ τῆς Σεδεκίου βασιλείας ἔτος ἐμήνυσέ τε καὶ διέκρινε τὸ ἐνύπνιον τῷ Ναβουχοδονόσορ. ὁ δὲ Ἰεζεκιὴλ κατὰ τὸ πέμπτον αὐτῶν ἔτος προεφήτευεν. ἔπειτα προφητεύει Ναοὺμ καὶ Μαλαχίας. τοῦ Σεδεκίου τελευτήσαντος ἐν Βαβυλῶνι εἰς τὸν ἐπίλοιπον τῆς ἑβδομηκονταετίας χρόνον, μετὰ ἕνδεκα ἔτη τῆς τοῦ Σεδεκίου βασιλείας ἤρξαντο οἱ

1. κατωνόμασε C 12. τοῦτον? 17. αὐτοῖς C 20. τε] δὲ C

suam terram incolerent, annua tributa a Sedekia accipiens. novem annos illo tributa reddente pacati fuerunt Israelitae. sed eo anno Sedekias defecit omnique superbia et deum et regem offendit effecitque ut iterum Nabuchodonosor Hierosolyma peteret. qui quum secundo obsessionis anno urbe potitus esset, et templum incendit et coram Sedekiae oculis filios eius necavit. ipsum excaecavit et compedibus vinctum cum omni populo Babylonem duxit, constituto relictorum duce Galia Achikan filio. hunc nobiles deseruerunt et trucidarunt, et Chaldaeos extimescentes emigrarunt, profecti in Aegyptum, ubi non multo post corrupti sunt, sectatores facti Aegyptiacae superstitionis.

Sedekias autem abductus est quum omnino regnasset annos 11. erat tum temporis summus sacerdos Areas et prophetarunt in Iudaea Ieremias in Babylone Daniel. is altero exilii et Sedekiae regni anno interpretatus est somnium regi Nabuchodonosor. Iesekiel 5 eius anno prophetavit. postea Naum et Malachias prophetarunt. Sedekia mortuo Babylone per reliquos 70 annorum post 11 annos Sedekiae re-

ὑποτεταγμένοι. οὗτος ὁ Ναβουχοδονόσορ τρίτον ἐπόρθησε τὰ Ἱεροσόλυμα, πρῶτον μὲν ὅτε ἐν τῷ τρίτῳ ἔτει Ἐλιακεὶμ ἀνῆλθε καὶ ἔλαβεν αὐτόν τε Ἰεχονίαν καὶ τὴν τούτου μητέρα καὶ σὺν τῷ ἄλλῳ πλήθει τὸν προφήτην Ἰεζεκιήλ, ἔτος ἄγων τῆς βασιλείας πρῶτον· δεύτερον δὲ ὅτε ἐν τῷ τρίτῳ μηνὶ Ἰεχονίου, τοῦ καὶ Ἰωακείμ, ἀνῆλθε καὶ ἔλαβε σὺν ἑτέροις τὸν Δανιὴλ καὶ Ἀνανίαν καὶ Μισαὴλ καὶ Ἀζαρίαν, ἔτος ἄγων αὐτὸς ὄγδοον τῆς βασιλείας· τὸ δὲ τρίτον ὅτε ἐν τῷ ἑνδεκάτῳ ἔτει τοῦ Σεδεκίου ἀνῆλθε, καὶ τὸν μὲν ναὸν ἐνέπρησε, τὸν δὲ Σεδεκίαν ἐξετύφλωσε, καὶ τοὺς υἱοὺς αὐτοῦ σὺν ἑτέροις κατέσφαξε, καὶ τὸ λοιπὸν πλῆθος ἀπήγαγεν εἰς αἰχμαλωσίαν, ἔτος ἄγων αὐτὸς τῆς βασιλείας ἐννεακαιδέκατον.

Ναβουχοδονόσορ πρὸς τοῖς δεκαεννέα ἔτεσιν οἷς πρότερον ἐκράτησε, βασιλεύει ἔτη εἴκοσι καὶ πέντε. προεφήτευον δὲ ἐπ' αὐτοῦ οἱ εἰρημένοι Δανιὴλ καὶ Ἰεζεκιήλ. Μαρωδὰχ τοῦτον διαδεξάμενος βασιλεύει ἔτη δώδεκα. Βαλτάσαρ ὁ τούτου ἀδελφός, υἱὸς Ναβουχοδονόσορ, ἐβασίλευσεν ἔτη τέσσαρα· ἔτι ἐπὶ τούτου Δανιὴλ προφητεύει, καὶ ἐπιλύεται αὐτῷ τὸ ὅραμα ὃ δειπνῶν ἐθεάσατο καὶ πίνων εἰς τὰ ἱερατικὰ ἐκπώματα. τοῦτον ἀκολούθως τῇ τοῦ ὁράματος ἑρμηνείᾳ κατὰ τὴν ἐχομένην νύκτα Δαρεῖος ἀνελών, ὁ τοῦ Ἀσουήρου υἱός, ἐκράτησε τῆς ἀρχῆς. Δαρεῖος ὁ εἰρημένος τοῦ Ἀσουήρου υἱός, ὃς ἐπεκλήθη Ἀστυάγης, ἐβασίλευσεν ἔτη δεκαεπτά.

15. αὐτοῖς C 23. ὃς om C

gni, regnarunt subpraefecti. hic Nabuchodonosor tertium Hierosolyma delevit. primum quidem quum tertio anno Eliakim profectus esset, et cepisset ipsum Iechoniam et eius matrem et cum reliqua multitudine Iesekiel prophetam, anno regni sui primo; secundum quum tertio mense Iechoniae, qui etiam Ioakim dicitur, profectus cum ceteris Danielem et Ananian et Misaelem et Asariam cepisset, anno regni sui 8; tertium denique quum 11 anno Sedekiae proficisceretur, et templum incenderet, Sedekiam excaecaret et eius filios cum aliis necaret, reliquam multitudinem in exilium duceret, anno 19 regni sui.

Nabuchodonosor postquam 19 annos antea regnavit, 25 annos imperium obtinuit. prophetabant autem qui iam nominati sunt, Daniel et Iesekiel. Marodach hunc secutus 12 annos regnavit. Baltasar eius frater, Nabuchodonosor filius 4 annos regnavit. etiam sub hoc Daniel prophetavit et explicatum est ei visum, quod coenans viderat et bibens ex sacerdotalibus poculis. hunc, ut visum monstraverat, insequenti nocte, Darius Asueri filius interfecit, et regno potitus est.

ἐπὶ τούτου Δανιὴλ εἰς τὸν λάκκον ἐμβάλλεται τῶν λεόντων, καὶ μηδὲν ὑπ' αὐτῶν παθὼν ἑβδομαῖος ὑπὸ τοῦ βασιλέως ἀνιμᾶται, καὶ τῶν ἑβδομάδων αὐτῷ τὸ μυστήριον ἀποκαλύπτεται. καὶ εἴ τις ἀκριβῶς τῶν ἑβδομάδων ἐξετάσαι βουληθείη τὸν λόγον καὶ διαριθμήσασθαι τοὺς χρόνους, ἀρξάμενος ἀπὸ ἐξόδου λόγου κατὰ τὸν προφήτην τοῦ οἰκοδομηθῆναι Ἱερουσαλήμ, τουτέστιν ἀπὸ Νεεμίου υἱοῦ Ἀχελῆ, τοῦ ἀρχιοινοχόου Ἀρταξέρξου, ὃς ἀξιώσας καὶ ἐπιτραπεὶς ἄνεισιν οἰκοδομήσων τὰ Ἱεροσόλυμα, εὑρήσει τὰς ὁ' συμπεραιουμένας ἑβδομάδας, τουτέστι τετρακόσια ἐνενήκοντα ἐπὶ τὸν καιρὸν ἐκεῖνον, ὅτε παλαιοῦται τὸ παράπτωμα καὶ συντελεῖται ἡ ἁμαρτία καὶ σφραγίζεται ὅραμα καὶ προφητεύει καὶ χρίεται ἅγια ἁγίων, τουτέστιν ἐπὶ τὴν τοῦ Χριστοῦ παρουσίαν καὶ τὴν λοιπὴν πραγματείαν.

Κῦρος ὁ Πέρσης καταλύσας τὴν Μήδων καὶ Ἀσσυρίων δυναστείαν, κρατήσας τε τῆς Ἀσίας ἁπάσης, ἐβασίλευσεν ἔτη λα'. τούτου τῷ πρώτῳ ἐνιαυτῷ ἑβδομηκονταετὴς χρόνος τῆς μετοικεσίας συμπληροῦται. ἐν δὲ τῷ ἐρχομένῳ ἔτει συγχωρεῖ τοὺς δυναμένους τῶν Ἑβραίων οἰκίζειν ἀνελθόντας τὰ Ἱεροσόλυμα, καὶ τὸν ναὸν ἀνοικοδομηθῆναι προσέταξε. τῆς δὲ ἐπανόδου ἡγεῖτο Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ μέγας ἱερεὺς καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιήλ, καὶ προεφήτευον Ἀγγαῖος καὶ

17. τούτῳ C

hic Darius Asueri filius qui nominabatur Astyages, regnavit 17 annos. sub eo Daniel in foveam leonum coniectus est, a quibus nihil perpessus septimo die a rege sursum tractus est. atque hebdomadum mysterium ei revelatum est; et si quis diligenter rationem hebdomadum computare velit et tempora numerare, incipiens ab exitu, quo secundum prophetam aedificata sunt Hierosolyma i. e. a Neemia, Achele filio, Artaxerxis primo pocillatore, qui sua sponte et cum permissu regis profectus est, ad aedificanda Hierosolyma; is inveniet 70 hebdomadas omnes peractas, i. e. 490 annos usque ad illud tempus, quo deletur peccatum, et vitium finitur, visumque probatur, quo prophetat et ungitur sanctus sanctorum, i. e. usque ad Christi praesentiam et reliqua facta.

Cyrus Persa everso Medorum et Assyriorum imperio tota Asia potitus annos 31 regnavit. huius primo anno tempus 70 annorum captivitatis completum est. procedente anno iis Hebraeorum qui possent, permisit abire, et Hierosolyma incolere et templum restituere eos iussit. duxit Israelitas redeuntes Iesus, Josedek filius, magnus sacerdos et Zorobabel, Salathiel filius et prophetarunt Angaeus et Zacharias, Addo filius. quum vero ii, qui cum Iesu profecti erant templi fun-

Ζαχαρίας ὁ τοῦ Ἀδδώ. καταθέμενοι δὲ οἱ περὶ τὸν Ἰησοῦν τοῦ ναοῦ τὴν ἕδραν, ἐφ' ὅλα μβ' ἔτη τὸ ἔργον ἐκωλύοντο συμπεραιῶσαι, μέχρις οὗ Δαρεῖος ὁ υἱὸς Ὑστάσπεω δευτέρῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας τοὺς ἐμποδίζοντας ἀναστείλας τελείαν ἐπιτρέπει τοῦ ναοῦ τὴν κατασκευήν, καὶ συμπληροῦται ἐν ἄλλοις τέτρασιν ἔτεσιν, ὥστε συντελεσθῆναι αὐτὸν ἐν ὅλοις ἔτεσι τεσσαρακονταέξ. φανερὰ δέ ἐστι τῶν ὑποκειμένων ἡ ἀπόδειξις. Καμβύσης ὁ καὶ Ἀρταξέρξης (ὁ αὐτὸς δέ ἐστιν ὁ καὶ ἐν τῷ Ἔσδρα λεγόμενος Ἀρθασασθὰ) τὸν Κῦρον ὁ υἱὸς διαδεξάμενος ἐβασίλευσεν ἔτη ὀκτώ. Σφενδάτις καὶ Κιμάρδιος ἀδελφοὶ Μάγοι, Μῆδοι τῷ γένει, ἐπιθέμενοι βασιλεύουσι μῆνας ἑπτά. Δαρεῖος ὁ Κύρου μὲν ἀπόγονος, Ὑστάσπου δὲ υἱός, τοῖς Μάγοις ἐπιθέμενος καὶ κρατήσας ἐβασίλευσε μέχρι συμπληρώσεως Ἱερουσαλὴμ ἔτη ἓξ καὶ πρὸς τούτοις ἄλλα τριάκοντα, ὥστε βεβασιλευκέναι ἔτη λς'. κατὰ τούτους τοὺς χρόνους Πυθαγόρας ὁ φιλόσοφος ἐτελεύτησε καὶ Ἱπποκράτης ὁ ἰατρὸς ἐγνωρίζετο. Ξέρξης ὁ Δαρείου υἱὸς ἐβασίλευσεν ἔτη κ'. Ἀρτάβανος ἐβασίλευσε μῆνας ζ'. Ἀρταξέρξης ὁ Ξέρξου ὁ μακρόχειρ (καὶ οὗτος ἐν τῷ Ἔσδρα Ἀρπασασθὰ κέκληται) ἐβασίλευσεν ἔτη μά. ἐπὶ τούτου τὰ κατὰ Ἐσθὴρ καὶ Μαρδοχαῖον καὶ Ἀμμᾶν ἐπράχθη· καθ' ὃν καιρὸν καὶ Ἔσδρας προεφήτευε. συγχωρήσαντος Ἀρταξέρξου Ἔσδρας ὁ ἱερεὺς τοὺς ὑπολοίπους ἀναγαγὼν εἰς Ἰσραὴλ

7. ἡ om C

damentum iecissent, per totos 42 annos opus finire impediti sunt, donec Darius Hystaspis filius altero regni anno eos qui opus impediebant repulit et aedificationem templi ad finem perducendam curavit, quod finitum est 4 annis, ita ut aedificatum sit totis 46 annis. perspicua autem est harum rerum comprobatio. Cambyses, qui etiam Artaxerxes nominabatur (est autem ille idem, qui ab Esdra Arthasastha nominatur) Cyrum patrem secutus annos 8 regnavit. Sphendatis et Cimardius fratres Magi, genere Medi, regnum adepti, 7 menses administrarunt. Darius ex Cyri gente, Hystaspis filius Magos aggressus est iisque superatis regnavit 6 annos usque ad finitam Hierosolymorum aedificationem et praeterea 30 annos, ita ut omnino regnarit 36 annos. hisce temporibus Pythagoras philosophus mortuus est et Hippocrates medicus clarus fuit. Xerxes Darii filius annos 20 regnavit. Artabanus regnavit menses 7; Artaxerxes Xerxis filius longimanus (qui et ipse ab Esdra Arpasastha nominatur) 41 annos regnavit. sub hoc facta sunt illa quae de Esther et Mardochaeo et Amman narrantur; etiam Esdra illo tempore prophetavit. cum permissu Artaxerxis Esdra sacerdos reliquos in Israel reductos legem edocuit. Neemias

τὸν νόμον ἐξεπαίδευε. Νεεμίας τε ὁ ἀρχιοινοχόος Ἀρταξέρξου, ἀνὴρ ἐκ γένους ὢν ἱερατικοῦ, παρακαλέσας τὸν βασιλέα καὶ ἐπιτραπεὶς ἄνεισιν εἰς τὴν Ἰουδαίαν καὶ τὴν Ἰσραήλ. τειχίζει δὲ αὐτήν, τῶν ἐπιθεμένων ἕνεκα ὅπλοις τοὺς ἐνεργοῦντας περιτειχίσας, καὶ τὸν λαὸν σὺν τῷ Ἔσδρᾳ τῷ Μωϋσέως ἐξεπαίδευσε νόμῳ, πᾶσαν ἐξ αὐτῶν Ἑλληνικὴν ἀποκινήσας ἀγωγήν· καὶ ᾠκοδομήθη πλατεῖα καὶ περίτειχος ἡ πόλις. ὅθεν ἄρχονται ἀριθμεῖσθαι αἱ ο' ἑβδομάδες αἱ ἐν τῷ Δανιὴλ εἰκοστῷ ἔτει τῆς βασιλείας Ἀρταξέρξου. ἐντεῦθέν φασι τὰς ἑβδομάδας ἀριθμεῖσθαι τὰς ἑβδομήκοντα τὰς ἐν τῇ τοῦ Δανιὴλ ὀπτασίᾳ μέχρι τῆς τοῦ κυρίου παρουσίας καὶ τῶν ἐξῆς ἐπιβεβηκότων. φανερὸν δέ ἐστιν ὅτι αἱ ἑβδομάδες ποιοῦσιν ἔτη υζ'. κατὰ τούτους τοὺς χρόνους Σωκράτης ἐγένετο.

Ξέρξης ὁ Ἀρταξέρξου υἱὸς τὴν ἀρχὴν διαδεξάμενος βασιλεύει μῆνας δύο. Σογδιανὸς βασιλεύει μῆνας ἑπτά. Δαρεῖος ὁ Ξέρξου ὁ ἐπικληθεὶς Νόθος ἀνελὼν τὸν Σογδιανὸν ἐβασίλευσε Περσῶν ἔτη ιθ'. Ἀρταξέρξης ὁ Δαρείου καὶ Παρυσάτιδος τὸν πατέρα διαδεξάμενος ἐβασίλευσεν ἔτη μβ'. κατὰ τούτους τοὺς χρόνους Πλάτων ὁ φιλόσοφος καὶ Ἀριστοτέλης ἐγνωρίζετο. Ἀρταξέρξης ὁ ἐπικληθεὶς Ὦχος ἐβασίλευσεν ἔτη κβ'. Ναρσῆς τοῦτον διαδεξάμενος ἐβασίλευσεν ἔτη δ'. Δαρεῖος ὁ Ἀρσάμου ἐβασίλευσε μετὰ τὸν Ναρσῆν ἔτη ς'. Ἀλεξάνδρου δὲ τοῦ Μακεδόνος Πέρσαις ἐπικειμέ-

11. τῆς om C

quoque primus pocillator Artaxerxis, vir ex genere sacerdotali, exorato rege huic rei praefectus, in Iudaeam et Israel profectus est. atque communivit eam operas propter lacessentes hostes armis defendens. idem cum Esdra populum Mosis legibus erudivit, omnem graecum cultum expellens. exstructa autem est urbs ampla et moenibus cincta. hinc numerantur 70 hebdomades, de quibus est apud Danielem, anno 20 regni Artaxerxis. inde dicunt numerari hebdomades 70, quas vidit Daniel usque ad domini praesentiam et reliquas, quae deinceps secutae sunt. est autem perspicuum efficere hebdomades annos 407. illis temporibus Socrates vixit.

Xerxes, Artaxerxis filius, imperio accepto duos menses regnavit. Sugdianus 7 menses regnavit. Darius Xerxis filius cognomine Nothus interfecto Sugdiano 19 annos in Persis regnavit. Artaxerxes, Darii et Parysatidis filius, patrem secutus 42 annos regnavit. hisce temporibus Plato philosophus et Aristoteles innotuerunt. Artaxerxes cognomine Ochus 22 annos regnavit. hunc secutus est Narses qui 4 annos regnavit. Darius Arsami filius regnavit

νου, Δαρεῖον οἱ περὶ τὸν Βῆσον ἀναιροῦσιν ἐν Βάκτροις, καὶ καταλύεται. ἡ Περσῶν βασιλεία, ἐφ' ὅλοις παρατείνασα ἔτεσι τριακοσίοις, τὰ μὲν τῆς μετοικεσίας ὁ τὰ δὲ ἑξῆς σλ', καὶ μεταπίπτει εἰς Μακεδόνας ἡ βασιλεία. Ἀλέξανδρος δηλοῖ Ἰαδδοῦ τῷ ἀρχιερεῖ δοῦναι αὐτῷ συμμαχίαν κατὰ Δαρείου· τοῦ δὲ ἀπειπόντος Τύρον καὶ Γάζαν πόλεις πορθεῖ μετὰ κόπου· ἔνθα καὶ Σάτυρον βλέπει καθ' ὕπνους ἐν τῇ πορθήσει Τύρου, φήσαντος αὐτὸν τοῦ ὀνειροκρίτου "σὰ Τύρος Ἀλέξανδρε." εἶθ' οὕτως ἀνῆλθεν εἰς Ἰσραήλ, καὶ ὑποτάξας αὐτὴν καὶ παρὰ τοῦ ἀρχιερέως λαβὼν συμμαχίαν, καὶ ὡς θεὸν τιμήσας καὶ προσκυνήσας, ὑπεχώρησε πρὸς Πέρσας.

Ἀλέξανδρος ὁ Μακεδὼν τὴν Περσῶν καταλύσας ἀρχὴν περιῆγεν εἰς Μακεδονίαν. οὗτος ἑβδόμῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας χειρωσάμενος Πέρσας ἔτι πρὸς τούτοις ἑπτὰ ἔτεσι βασιλεύει καὶ Περσῶν μετὰ τὸν Δαρεῖον ἔτη ἓξ καὶ μῆνας ἓξ. τούτου τελευτήσαντος ἐν Βαβυλῶνι διαδέχονται τὴν ἀρχὴν ἐπὶ τῆς Μακεδονίας Φίλιππος ὁ ἀδελφὸς αὐτοῦ, Ἀντίγονος δὲ τὴν ἐπὶ τῆς Ἀσίας, Πτολεμαῖος δὲ ὁ Λάγου καὶ Ἀρσινόης τῆς Μελεάγρου θυγατρὸς τὴν ἐπ' Αἰγύπτου, καὶ τὴν ἐπὶ Συρίας Σέλευκος ὁ Νικάτωρ.

Πτολεμαῖος τοίνυν ὁ Λάγου ἐβασίλευσεν Αἰγύπτου ἔτη μ'. κατὰ τούτους τοὺς χρόνους Ἐπίκουρος ὁ φιλόσοφος ἐγνωρίζετο. Πτολεμαῖος ὁ φιλάδελφος ἐβασίλευσεν ἔτη λη'. οὗτος

4. Ἰαδδοῦ Cramerus: codex *αἰδοῦς*. 8. *σοὶ* C

post Narsen annos 6. Alexandro autem Macedone Persas fugante Bessi comites Darium Bactris trucidarunt. ac dissolutum est Persarum imperium postquam floruit annos 300, (exilii 70 et deinceps 230) cessitque regnum in Macedones. Alexander renunciavit Iaddu summo sacerdoti, ut societatem secum iniret contra Darium. hoc negante Tyrum et Gazan urbes delevit; ibi Satyrum somnians vidit; dixitque ei somni interpres: "tibi Tyrus Alexander." deinde in Israel profectus eam sibi subiecit, et accepto a summo sacerdote auxilio, illum ut deum honoravit et veneratus est, tum contra Persas profectus est.

Alexander Macedo ademtum Persis imperium Macedonibus tradidit. hic victis 7 regni anno Persis regnavit praeterea 7 annos Persisque post Darium 6 annos et 6 menses imperavit. qui cum Babylone mortuus esset Macedoniae imperium accepit Philippus, frater eius; Asiae regnum Antigonus; Aegypti Ptolemaeus, Lagi et Arsinoes, Meleagri filiae filius, Syriam denique Seleucus Nicator accepit.

Ptolemaeus Lagi regnavit in Aegypto annos 40. illis temporibus Epicurus philosophus innotuit. Ptolemaeus philadelphus annos 38

Ἑβραίους καταδουλωσάμενος εἰς τὴν Ἑλληνίδα μεταβάλλει φωνὴν ἐκ τῆς Ἑβραΐδος τὰς θείας γραφάς, καὶ ποιοῦνται τὴν ἑρμηνείαν ἄνδρες ἑβδομήκοντα ἐν σοφίᾳ παρὰ τοῖς Ἑβραίοις ἐπαινούμενοι. τῆς θείας οὖν γραφῆς ἑρμηνευθείσης καὶ ἀναγνωσθείσης ἐκπλαγῆναί τε τὸν βασιλέα ἐπὶ τῷ κάλλει τῶν θείων λογίων καὶ πάντας τοὺς ἐν τέλει. παρόντος οὖν Μενεδήμου φιλοσόφου καὶ Δημητρίου Φαληρέως, καὶ θαυμαζόντων τὴν δύναμιν τῶν λόγων, ἠρώτησεν ὁ βασιλεὺς ὅτι τοιούτων τῶν θείων λόγων, πῶς οὐδεὶς ἱστορικῶν ἢ ποιητῶν ἐμνήσθη αὐτῶν; καὶ ἀπεκρίθη Δημήτριος ὅτι οὐδείς ποτε ἐτόλμησε τούτων ἅψασθαι διὰ τὸ καὶ Θεόπομπον θελήσαντα περὶ αὐτῶν παραφροσύνῃ κρατηθῆναι, καὶ ὄναρ ἰδεῖν ὅτι τοῦτο αὐτῷ συμβέβηκε περιεργασαμένῳ τὰ θεῖα, καὶ Θεόδεκτον τὸν τραγῳδιῶν ποιητὴν ἐν ἑνὶ δράματι μνησθέντα τῶν ἱερῶν τούτων βιβλίων τυφλωθῆναι· ἑκατέρους δὲ ἀποιχομένους τοῦ τολμήματος καὶ τὸ θεῖον ἐξευμενισαμένους ὑγιεῖς γενέσθαι.

Πτολεμαῖος δὲ ὁ εὐεργέτης, ὁ τοῦ φιλαδέλφου καὶ Εὐρυδίκης καὶ Ἀρσινόης, ἐβασίλευσεν ἔτη κϛ'. κατὰ τούτους τοὺς χρόνους Ἰησοῦς ὁ τοῦ Σιράχ, ὁ τὴν Σοφίαν συγγράψας, παρ' Ἑβραίοις ἐγνωρίζετο. Πτολεμαῖος ὁ φιλοπάτωρ ὁ τοῦ εὐεργέτου υἱός, ἐβασίλευσεν ἔτη ιζ'. ἐπὶ τούτου ὁ λαὸς τῶν

9. τῶν] ὄντων τῶν? 11. θεόπεμπον cod 14. τῶν C
15. ἀποσχομένους? 19. καὶ] τῆς?

regnavit. hic subactis Hebraeis in graecam linguam ex Hebraico divina scripta transtulit; interpretationem fecerunt viri 70 sapientia apud Hebraeos insignes. translata igitur divina scripta cum praelegerentur perculsum esse aiunt divinarum sententiarum pulchritudine regem omnesque magistratus. praesentibus autem Menedemo philosopho et Demetrio Phalereo, et admirantibus verborum vim, interrogavit rex, quare divinorum horum verborum nullus historicorum vel poetarum mentionem fecerit. respondit Demetrius neminem unquam ausum esse ea attingere, quod hoc conatus Theopompus insania esset punitus, et somnium vidisset, accidisse sibi illa, quia divina curasset; tum quod Theodectus tragoedus, facta in dramate quodam sacrorum horum librorum mentione excaecatus esset; sed utrumque relicto tentamine quum re divina abstinuissent, sanatos esse.

Ptolemaeus euergetes, filius philadelphi et Eurydices Arsinoes filiae, 26 annos regnavit. his temporibus Iesus, Sirach filius, qui Sapientiam conscripsit apud Hebraeos innotuit. Ptolemaeus philopator, euergetis filius 17 annos regnavit. sub hoc Hebraeorum populus captivus in Aegyptum abductus, hanc fortunam expertus est. iussit

Ἑβραίων αἰχμάλωτος ἐν Αἰγύπτῳ ἀπαχθεὶς τοιοῦτόν τι ἔπαθεν. οὗτος γὰρ προσέταξε τοῖς ἑαυτοῦ ὑπασπισταῖς ἐλέφαντας πεντακοσίους, οὓς εἶχε, ποτίσαι οἶνον λιβανωτόν, ὅπως ἅπαντας τοὺς Ἰουδαίους δι' αὐτῶν ἀπολέσῃ· εὐξαμένων δὲ ἐκείνων οἱ ἐλέφαντες εἰς τοὺς ἰδίους στρατιώτας τε καὶ δήμους ἐμπηδήσαντες πολὺν αὐτῶν ὄχλον ἐν τῇ περιεχούσῃ μανίᾳ κατέσφαξαν· καὶ οὕτως σωθέντες μετὰ εὐχαριστίας ἀπελύθησαν εἰς τὰ ἴδια. Πτολεμαῖος ὁ ἐπιφανής, ὁ τοῦ φιλοπάτορος υἱός, ἐβασίλευσεν ἔτη δ'. Πτολεμαῖος ὁ φιλομήτωρ, ὁ τοῦ ἐπιφανοῦς υἱός, ἐβασίλευσεν ἔτη λε'. ἐπὶ τούτου Ἀντίοχος ὁ ἐπιφανὴς τοὺς Μακκαβαίους μὴ βουλομένους μιαροφαγεῖν ἐκόλαζεν.

Ἐπὶ Πτολεμαίου τοῦ φιλομήτορος ἱεράτευον Ἰουδαίοις Ὑρκανὸς καὶ Ἀριστόβουλος, καὶ Ὑρκανῷ μὲν συνεμάχει τὸ δημοτικόν, Ἀριστοβούλῳ δὲ οἱ ἱερεῖς. ἦν δέ τις Ὀνίας ὀνόματι εὐσεβὴς καὶ δίκαιος ἐκ τῶν ἱερέων, ὃς καὶ ἀνομβρίαν ἔλυσεν εὐξάμενος. τοῦτον ἠνάγκασεν εὔξασθαι περὶ νίκης· ὁ δὲ ηὔξατο λέγων "Θεὲ δέσποτα, μήτε τῷ δήμῳ κατὰ τῶν ἱερέων σου μήτε τοῖς ἱερεῦσι κατὰ τοῦ δήμου σου βοηθήσῃς." τοῦτον δὲ εὐθέως ἐλίθασαν. καὶ παρευθὺ ἡ θεία δίκη τούτους μετελθοῦσα ἐπήγαγε κατ' αὐτῶν Πομπήϊον Ῥωμαίων στρατηγὸν ὃς καὶ τὴν πόλιν ἐπόρθησε, καὶ εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων δι' εὐσέβειαν οὐδενὸς τῶν ἱερῶν σκευῶν

17. τούτῳ C

ille cetratos suos 500 quos habebat elephantis vinum ture mistum dare, ut omnes Iudaeos per illos interimeret. precantibus autem illis, elephantes in ipsius milites se converterunt magnamque eorum copiam vesanos interfecerunt. sic illi servati cum gratia in suam terram restituti sunt. Ptolemaeus epiphanes, philopatoris filius 4 annos regnavit. Ptolemaeus philometor, epiphanis filius 35 annos regnavit. eodem tempore Antiochus epiphanes Maccabaeos, impuris cibis vesci nolentes, supplicio affecit.

Sub Ptolemaeo philometore sacerdotium Iudaeorum administrarunt Hyrcanus et Aristobulus; et a Hyrcani quidem parte plebs stabat, ab Aristobuli sacerdotes. erat autem sacerdos quidam, nomine Onias, vir pius et iustus, qui orando siccitatem averterat; hunc coëgerunt victoriam orare. ille autem haec precatus est: deus domine; neque plebi contra sacerdotes tuos, neque sacerdotibus contra plebem tuam fer auxilium. hunc statim lapidavere. et illico eos divina poena persecuta est, adduxitque contra eos Pompeium Romanorum ducem, qui urbem delevit et ingressus in sancta sanctorum pietate adductus

ἥψατο, καίπερ πολλῶν χρημάτων ὄντων, ἀλλὰ καθῆραι τὸ ἱερὸν καὶ τὰς θυσίας ἐπιτελεῖν προσέταξεν. ἔπεμψε δὲ Ἀριστόβουλος δῶρον Πομπηΐῳ ἄμπελον χρυσῆν διακοσίων ταλάντων ἐγχειρισθεὶς τὴν ἱερατείαν καὶ ἐπικράτειαν τῶν Ἰουδαίων.

Πτολεμαῖος ὁ τοῦ φιλομήτορος ἀδελφός, ὁ δεύτερος εὐεργέτης, βασιλεύει ἔτη κθ'. Πτολεμαῖος ὁ Φούσκων ἐβασίλευσεν ἔτη ιζ', μῆνας ς'. Πτολεμαῖος ὁ ἐπικληθεὶς Ἀλεξᾶς ἐβασίλευσεν ἔτη ι'. Πτολεμαῖος ὁ δεύτερος σωτήρ, ὁ υἱὸς τοῦ δευτέρου εὐεργέτου καὶ Κλεοπάτρας τῆς εὐεργέτιδος, ἐβασίλευσεν ἔτη κ'. Πτολεμαῖος ὁ ἐπικληθεὶς νέος Διόνυσος ἐβασίλευσεν ἔτη λ'. Κλεοπάτρα ἡ τοῦ νέου Διονύσου θυγάτηρ τελευτήσαντα διαδέχεται τὸν πατέρα, καὶ συμβασιλεύει αὐτῇ Πτολεμαῖος ὁ ἀδελφός. τοῦτον διενεχθέντα πρὸς αὐτὴν ἀνελοῦσα μόνη κατέσχε τὴν ἀρχήν, καὶ βασιλεύει ἔτη κβ'. ὅτι ἐν τῷ ἀριθμῷ τῶν χρόνων τετάρτῳ μόνῳ ἔτει τῆς βασιλείας Κλεοπάτρας δεῖ ἀριθμεῖν.

Ἰούλιος Καῖσαρ κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας Κλεοπάτρας ὑπὸ τῶν Ῥωμαίων ἀναρρηθεὶς ὕπατος, εἰς τὴν ἀνατολὴν σὺν πολλῇ κατελθὼν δυνάμει, καὶ πολλοὺς τῶν αὐτόθι τροπωσάμενος καὶ ὑποφόρους καταστήσας, ἰδίους τῶν τόπων καθίστησιν ἐπιμελητάς. Ἀντίπατρον μὲν οὖν τὸν Ἀσκαλωνίτην τῆς Παλαιστίνης κατέστησε διοικητήν· υἱὸς δὲ ἦν

11. Διονύσιος C 12. Διονυσίου C

ne unum quidem sacrorum vasorum tetigit, quamquam multae ibi erant divitiae; immo purgari templum et sacrificia fieri iussit. Aristobulus autem donum Pompeio misit, vitem auream ducentorum talentorum cum potitus esset sacerdotio et regno Iudaeorum.

Ptolemaeus philometoris frater, alter euergetes 29 annos regnavit. Ptolemaeus Phusco 17 annos et 6 menses; Ptolemaeus cognomine Alexas regnavit annos 10; Ptolemaeus alter soter, alterius euergetis filius et Cleopatrae, euergetidis filiae, 20 annos regnavit; Ptolemaeus cognomine iuvenis Dionysus 30 annos regnavit; Cleopatra, iuvenis Dionysi filia, post mortem patris regnum accepit, regnavitque una cum ea Ptolemaeus frater. hunc exorto inter ipsos odio Cleopatra interfecit et sola imperio potita est, quod 22 annos obtinuit; quapropter in enumerandis annis incipiendum est a quarto anno regni Cleopatrae.

Iulius Caesar quarto anno regni Cleopatrae a Romanis consul creatus in orientem profectus est magnis copiis, multisque ibi populis victis, terris illis curatores praefecit. atque Antipatrum Ascaloni-

Ἀντίπατρος Ἡρώδου τινὸς τῶν ἐν νεωκόροις ἀριθμουμένων καὶ τῶν αὐτόθι τοῦ Ἀπύλλωνος ἱεροδούλων. παῖδα δέ ὄντα ποτὲ τὸν Ἀντίπατρον λῃσταὶ ἀναρπάσαντες Ἰδουμαῖοι κατεῖχον, λύτρα ὑπὲρ αὐτοῦ κομιεῖσθαι ὑπειληφότες· τοῦ δὲ παιδὸς αὐτοῦ εἰς ἔσχατον πενίας ἐληλακότος ἔμεινε παρὰ τοῖς ἁρπάσασι δουλεύων καὶ τοῖς ἐκείνων ἔθεσι τρεφόμενος. ἀναιρεθέντος δὲ τοῦ Ἀντιπάτρου φαρμάκῳ βασκανίᾳ τῆς πολλῆς εὐδαιμονίας ὑπὸ Βαλλίχου τινὸς Ἰουδαίου, διαδέχονται οἱ παῖδες αὐτοῦ τὴν ἀρχήν, Ἡρώδης καὶ Φασαΐλος. καὶ ὁ μὲν τὴν Ἰδουμαίαν καὶ τὴν Ἱεροσόλυμον ἐκληρώσατο γῆν, ὁ δὲ τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν. γνοὺς δὲ ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεύσας τὸν τοῦ Δαβὶδ τάφον ἀνοίξας τρισχίλια ἔλαβε τάλαντα, ἤνοιξε καὶ αὐτός, καὶ χρήματα μὲν οὐχ εὗρε, κόσμον δὲ χρύσεον καὶ κειμήλια πολλὰ ἀνείλετο. πειραθέντος δὲ αὐτοῦ ἐνδοτέρω χωρεῖν, οὗ τὰ σώματα Δαβὶδ καὶ Σολομῶντος ἐτέθησαν, πῦρ ἐξελθὸν δύο τῶν δορυφόρων διέφθειρε. γενόμενος δὲ καὶ εἰς τὴν Αἴγυπτον Ἰούλιος τῆς Κλεοπάτρας κρατύνει τὴν ἀρχήν, τῶν ἐπιτιθεμένων ἀναστείλας τὰς ἐπιβουλάς, καὶ τὰ ἐπὶ τῆς ἀνατολῆς ἅπαντα διοικησάμενος ἐπανῆλθεν εἰς τὴν Ῥώμην.

Γάϊος Ἰούλιος Καῖσαρ.

Γάϊος Ἰούλιος Καῖσαρ ἐβασίλευσεν ἔτη δ' καὶ μῆνας ζ.

ten Palaestinae procuratorem fecit. filius autem erat Antipatrus Herodi cuiusdam, qui erat ex aedituis, et ex Apollinis in ea regione ministris. hunc Antipatrum cum puer adhuc esset praedones Idumaei rapuerant et retinuerant, pretium pro eo postulantes. redacto autem ad summam paupertatem patre, servus remansit apud raptores, et educatus est eorum moribus. iam cum Ballichas, Iudaeus quidam, ductus invidia magnae felicitatis, Antipatrum veneno occidisset, regnum accepere filii illius Herodes et Phasaïlos, quorum alter Idumaeam et circa Hierosolyma terram, alter Iudaeam et Galilaeam sortitus est. ubi cognovit Hyrcanum, qui ante eum regnaverat, in aperto Davidis sepulchro tria milia talentorum reperisse, ipse aperuit; atque pecuniam quidem nullam invenit, sed ornatum aureum multasque res pretiosas inde sumsit. quum vero ulterius penetrare tentaret, ubi Davidis et Solomontis corpora iacebant ignis prodiit militumque duos combussit. Iulius Caesar in Aegyptum quum venisset, Cleopatrae regnum firmavit, adversariorum insidias defendit, atque orientis rebus ita compositis Romam rediit.

CAIUS IULIUS CAESAR.

Caius Iulius Caesar 4 annos et 7 menses regnavit. cognominatus

Καῖσαρ δὲ ἐπεκλήθη, ὃ λέγεται ἀνατομή, ὅτι θανούσης τῆς μητρὸς αὐτοῦ ἐν τῷ ἐννάτῳ μηνὶ ταύτην ἀνατεμόντες ἐξήγαγον αὐτόν. οὗτος καὶ δικτάτωρ ἐκλήθη, ὅ ἐστι μονάρχης· δικτατωρία δέ ἐστιν ἀρχὴ ἀνυπεύθυνος. μετωνόμασται δὲ ὁ ἐπονομαζόμενος Κυιντίλιος μὴν Ἰούλιος διὰ Καίσαρα, ὡς ἐν τούτῳ αὐτοῦ μοναρχήσαντος. ὁ αὐτὸς Ἰούλιος μεγίστοις ἀγῶσι Γερμανοὺς καὶ Γάλλους καὶ Βρετανοὺς χειρωσάμενος, ὑποφόρους τοῖς Ῥωμαίοις πεντακοσίας πόλεις οἰκουμένας κατεστήσατο. τούτῳ ἐτέχθη ἵππος ἀντὶ ὁπλῆς χηλὰς ἔχων, καὶ μηδένα ἕτερον ἀναβάτην δεχόμενος ἢ αὐτόν, ὡς ὁ Βουκεφάλας τὸν Ἀλέξανδρον. τούτῳ μέλλοντί ποτε τὴν αὔλειον ἐξιέναι θύραν ἀπερχομένῳ ἐπὶ τὸ βουλευτήριον εἰκὼν αὐτοῦ πρὸ τῶν θυρῶν ἑστῶσα αὐτομάτως κατέπεσε, καὶ πρὸς τούτῳ χάρτην αὐτῷ τις ἐπέδωκεν ἔχοντα πᾶσαν τὴν κατ' αὐτοῦ μελετωμένην ἐπιβουλήν· καὶ νομίσας ἄλλο τι εἶναι, καὶ μὴ ἐντυχὼν ἀλλὰ δεδωκὼς ἑτέρῳ φυλάττειν, ἐσφάγη ὑπὸ Βρούτου καὶ Κασσίου ἐν τῷ βουλευτηρίῳ.

Ὀκτάβιος Αὔγουστος.

Ὀκτάβιος Αὔγουστος Καῖσαρ ἐβασίλευσεν ἔτη νϛ΄· ἀφ' οὗ Αὔγουστοι οἱ Ῥωμαίων βασιλεῖς καὶ ὁ μὴν Αὔγουστος ἐκλήθη, ὅ ἐστι Σεβαστός, Σέξτιλιος πρὶν ὀνομαζόμενος. τῇ

6. μέγιστος C

est Caesar i. e. dissectio, quia mortua matre eius nono mense, eam dissecantes eum protulerunt. dictus est idem dictator, h. e. monarchus; dictatura autem est summum imperium. nominatus est qui antea dicebatur Quintilis mensis, Iulius, Caesaris gratia, quoniam eo regnum adeptus est. idem Iulius maximis certaminibus Germanos Gallos et Britannos devicit, et 500 urbes Romanis tributarias fecit. huic natus est equus, qui pro solidis ungulis bifidas habebat, neque quemquam praeter ipsum equitem patiebatur sicuti Alexandri Bucephalus. exituro quondam Caesare ex vestibuli porta, et in senatum ituro, simulacrum eius, quod ante ostium stabat, concidit; quo facto homo quidam chartam ei dedit, qua omnes contra eum inita consilia continebantur; Caesar ratus aliud quid esse, non inspexit chartam, sed dedit cuidam asservandam, et a Bruto et Cassio in senatu necatus est.

Octavius Augustus.

Octavius Augustus Caesar 56 annos regnavit, a quo Augusti dicti sunt Romanorum reges, et mensis Augustus i. e. venerandus, qui an-

δὲ νυκτὶ ᾗ ἐγεννήθη, εἶδεν ὁ πατὴρ αὐτοῦ καθ' ὕπνους ἐκ τῶν κόλπων τῆς γυναικὸς αὐτοῦ τὸν ἥλιον ἀνατέλλοντα. Ἀντώνιος δὲ στρατηγὸς καὶ ὕπατος Ῥωμαίων, ἀνελὼν Κάσσιον καὶ Βροῦτον τοὺς φονεύσαντας Ἰούλιον Καίσαρα, ἦλθεν ἐν Συρίᾳ ἔρωτι κρατηθεὶς Κλεοπάτρας· ὅθεν ἐπανελθεῖν εἰς Ῥώμην οὐκ ἐγνώκει ὡς λόγον ἀποδώσων. ὁ γοῦν Αὔγουστος τὴν ἐξ Ἰταλίας συναθροίσας δύναμιν κάτεισιν ἐπὶ Ἀντώνιον, καὶ γενομένης συμβολῆς ἡττᾶται Ἀντώνιος καὶ φεύγει μετὰ τῆς Κλεοπάτρας εἰς Αἴγυπτον. καὶ ὁ μὲν Ἀντώνιος ἑαυτὸν διαχειρίζει, ἡ δὲ Κλεοπάτρα εὐλαβουμένη τὸν ἐν τῇ Ῥώμῃ θρίαμβον καὶ συσχεθεῖσα, ἀσπίδα τὸ θηρίον ἑαυτῇ προσενεγκαμένη τελευτᾷ. Ἥλιος καὶ Σελήνη τὰ ταύτης τέκνα συσχεθέντα προήχθη ἐν τῷ θριάμβῳ Ῥώμης. ἐπὶ Αὐγούστου ἀρχὴν ἡ τετάρτη λαμβάνει βασιλεία, ἣν ὁ Δανιὴλ ἐν τῇ τῶν τεσσάρων θηρίων ὀπτασίᾳ τέταρτον θηρίον φοβερὸν ὀνομάζει. τότε πρῶτον ἐπὶ τῆς τετάρτης βασιλείας ἐμονάρχησεν Αὔγουστος, ὅτε καὶ ὁ τῶν πρώτων τεσσάρων στοιχείων δημιουργός, τὸν τετραπέρατον κόσμον ἐν τούτοις συνδήσας, Ἰησοῦς Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς τὴν ἐκ γυναικὸς ἀειπαρθένου γέννησιν δι' ἡμᾶς κατεδέξατο, ᾧ ἡ ἐπουράνιος ἀνάκειται βασιλεία.

Ἠγαπᾶτο δὲ ὑπὸ Αὐγούστου Μαικήνας ἀνήρ τις σοφός, ὃς ποτε δικάζοντος τοῦ Καίσαρος καὶ πολλῶν θάνατον κατα-

23. θανάτου C

tea Sextilis vocabatur. nocte autem, qua natus est, pater eius in somnio ex uxoris sinu solem vidit orientem. Antonius dux atque consul Romanorum occisis Cassio et Bruto, Iulii Caesaris interfectoribus, in Syriam profectus amore Cleopatrae devinctus tenebatur. unde recusavit Romam reverti ad rationem reddendam. sed Augustus copiis in Italia collectis contra Antonium profectus est et armis congressus eum devicit, qui cum Cleopatra in Aegyptum confugit. Antonius mortem sibi conscivit; Cleopatra autem metuens, ne Romam in triumpho duceretur et terrore percussa aspide sibi admota mortem obiit. Helius et Selene, eius liberi crudeliter Romam in triumpho ducti sunt. sub Augusto quartum imperium initium cepit, quod Daniel in visione quattuor animalium, quartum et terribile animal dixit. tum primum quartum regnum obtinuit Augustus quum etiam is qui prima quattuor elementa creavit universum mundum in illis involvens Iesus Christus, dei filius, ex muliere semper virgine nostra gratia natus est cui est coeleste imperium.

Amabatur ab Augusto Maecenas, vir sapiens qui iudicante quon-

ψηφισαμένου, μὴ δυνάμενος διὰ τὸ πλῆθος τοῦ λαοῦ ἐντυχεῖν αὐτῷ, ἔγραψεν "ἀνάστηθι δήμιε," καὶ σφραγίσας ἔρριψεν ἐν τῷ κόλπῳ αὐτοῦ· ὅπερ ἀναγνοὺς ὁ Καῖσαρ ἀνέστη, κελεύσας ἀργῆσαι τὰ κριθέντα ὑπ' αὐτοῦ. πάλιν δέ τις τῶν στρατιωτῶν φιλούμενος παρ' αὐτῷ ἐδεήθη τῆς εἰς τὸ βουλευτήριον αὐτοῦ παρουσίας, εἰπόντος δὲ αὐτὸν μὲν ἀσχολεῖσθαι, ἐπιτρέψαι δέ τινι τῶν φίλων παραγενέσθαι καὶ τὴν χρείαν πληρῶσαι, ὀργισθεὶς ἔφη. "ἐγὼ μέντοι, ὁσάκις ἂν τῆς ἐμῆς ἐπικουρίας ἐδεήθης, οὐκ ἄλλον ἀντ' ἐμοῦ ἔπεμψα." ἐρυθριάσας οὖν ὁ Καῖσαρ συναπῆλθε καὶ συνέπραξεν. εἶχε δὲ καὶ Ἀθηνόδωρον τὸν Ἀλεξανδρέα σοφώτατον πάνυ, ὃς ἐν τοῖς αἰσχίστοις ἔργοις τοῦ Καίσαρος ἐλέγχων αὐτὸν ἐπηνώρθου. ὁ δὲ Καῖσαρ πολλάκις ἐν τῇ συγκλήτῳ τὸν Ἀθηνόδωρον ἐπαινῶν προσετίθει ὡς καὶ αὐτὸς ἐκεῖνος ὑπὸ Ἀθηνοδώρου διώρθωται, κακὸν βίον πρότερον ἐσχηκώς. ὁ γοῦν Ἀθηνόδωρος καταγηράσας ᾔτησεν εἰς τὴν ἰδίαν πεμφθῆναι πατρίδα· ἔλεγε γὰρ ὡς τέλειος εἴη ὁ Καῖσαρ κατὰ πᾶσαν φιλοσοφίαν καὶ πρᾶξιν. ὡς δὲ μέλλων ἀπαίρειν ἠσπάζετο αὐτόν, καὶ ἐπικύψας πρὸς τὸ οὖς παρεκάλει ἵνα, ὁσάκις ὀργισθῇ, μὴ πρότερον κελεύσῃ τί πρακτέον, πρὶν ἂν καθ' ἑαυτὸν ἀριθμήσῃ τὰ εἰκοσιτέσσαρα στοιχεῖα· ᾔδει γὰρ αὐτὸν ὀξύθυμον καὶ εὐμετάβλητον ὄντα. ὁ δὲ Καῖσαρ αἰσθόμενος ἔφη "εὖ γε ὑπέμνησάς με ὡς ἀτελὴς εἰμι· διὰ τοῦτο οὐ συγχωρήσω σοι τῆς

dam Caesare, multosque capitis condemnante, quum per multitudinem populi non posset eum adire, scripsit: "surge carnifex" atque hoc obsignatum ei in sinum iniecit. quod cum Caesar legisset surrexit et iudicia sua differri iussit. quondam miles quidam ei carus quum petiisset, ut in senatu praesens adesset, negante Caesare otium sibi esse, et amicorum cuidam imperante ut adesset et negotium conficeret, miles iratus, "ego, inquit, quoties meo auxilio egebas non alterum pro me misi." erubuit tum Caesar et una cum illo ivit et rem confecit. habuit etiam Athenodorum Alexandrinum, hominem sapientissimum qui in impiis facinoribus eum vituperans correxit. et saepe Caesar in consilio suo laudans Athenodorum dixit, sese ab Athenodoro meliorem redditum esse, quum antea improbe vixisset. hic Athenodorus quum consenuisset, petiit ab Augusto, ut in patriam suam remitteretur, dixit enim Caesarem omni philosophia et omni re perfectum esse. quum vero profecturus esset eum amplexus est et in aurem dixit, ne quid iratus prius fieri iuberet, quam secum 24 litteras pronunciasset; sciebat enim eum iracundum et placabilem esse. his auditis Caesar, "bene, inquit, admones, nondum perfectum



ἐνεγκαμένης ἐπιβῆναι." οὗτος ὁ Αὔγουστος ἀπελθὼν ἐν Δελφοῖς ἠρώτησε τίς μετ' αὐτὸν βασιλεύσει· τοῦ Πυθίου δὲ μηδὲν ἀποκριναμένου, καὶ τοῦ Αὐγούστου πάλιν ἐρωτήσαντος διὰ τί σιγᾷ τὸ μαντεῖον, ἔφη ἡ Πυθία ταῦτα "παῖς Ἑβραῖος κέλεταί με, θεὸς μακάρεσσιν ἀνάσσων, τόνδε δόμον προλιπεῖν καὶ ὁδὸν αὖθις ἱκέσθαι. ἄπιθι τοίνυν λοιπὸν ἐκ δόμων ἡμετέρων."

Τῷ δὲ ἑφ' ἔτει ἀπὸ κτίσεως κόσμου καὶ τεσσαρακοστῷ δευτέρῳ ἔτει Αὐγούστου ἐξῆλθε δόγμα παρ' αὐτοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, ἐν ᾧ ἔτει καὶ ὁ κύριος ἡμῶν ἐγεννήθη, Ἡρώδου βασιλεύοντος τῆς Ἰουδαίας, ὃν ὁ Καῖσαρ Αὔγουστος προεχειρίσατο. ἐν δὲ τῷ μέλλειν αὐτὸν ἀποβιῶναι κεραυνὸς εἰς τὴν εἰκόνα αὐτοῦ ἐμπεσὼν τὸ πρῶτον γράμμα τοῦ ὀνόματος αὐτοῦ ἠφάνισε. συγκαλεσάμενος οὖν τοὺς ὑπάτους καὶ βουλευτὰς εἶπεν ὅτι τὴν Ῥώμην πηλίνην παραλαβὼν λιθίνην ὑμῖν καταλείπω, ἐμφαίνων τὸ στερρὸν τῆς δυνάμεως. παρηγγύησε δὲ τοῖς ἐν τέλει πᾶσιν ἐν τῇ τελευτῇ αὐτοῦ χεῖρας κροτῆσαι καὶ γελάσαι ὡς ἐπὶ μίμου τελευτῆς. τοῦτο δὲ ποιῆσαι διωρίσατο ἀποσκώπτων εἰς τὸν ἀνθρώπινον βίον ὡς γέλωτος ἄξιον.

Ἡρώδης οὐ μόνον διὰ τοὺς ἐν Βηθλεὲμ ἀναιρεθέντας ἐπὶ τῇ κατὰ τοῦ Χριστοῦ μανίᾳ παιδοκτόνος ὀνομάζεται, ἀλλὰ καὶ διὰ τοὺς ἰδίους υἱούς. τρεῖς μὲν ἀποκτείνας τῶν

22. κατὰ om C. cf. Cedren. 1 p. 321 11.

me esse, quapropter non concedam tibi, in patriam reverti." hic Augustus Delphos profectus, interrogavit, quis post eum sit regnaturus. Pythia vero nihil respondente iterum rogavit, cur taceret oraculum. tum haec Pythia: "puer hebraeus, deus beatis imperans, iubet me hanc domum derelinquere et revertere; dehinc igitur abi ex sedibus nostris."

Anno 5500 post mundi creationem et 42 Augusti, iussit, omne regnum censeri; atque eo anno natus est dominus noster, regnante in Iudaea Herode, quem Caesar Augustus creaverat. quumque mors eius appropinquaret, fulgur in simulacrum eius incidit primamque nominis literam delevit; tum convocatis consulibus et senatoribus latericiam, inquit, accepi Romam marmoream vobis relinquo, ostendens potentiae suae robur. mandavit omnibus magistratibus se mortuo plaudere et ridere ut post actum mimum, respiciens nimirum in vitam humanam, risu dignam.

Herodes non solum propter infantes quos Bethleem furore in Christum incitatus trucidarat, paedoctonos est appellatus, sed etiam propter suos liberos. nam quum tres e liberis suis et matrem insuper

ἑαυτοῦ παίδων, καὶ τὴν μητέρα τούτοις ἐπικατασφάξας καὶ τὸν τῆς γυναικὸς ἀδελφόν, ἑτέρους τε πολλοὺς τῶν οἰκείων ἀποκτείνει, καὶ πλῆθος οὐκ ὀλίγον Ἰουδαίων διαφθείρει ἐν τῇ αὐτοῦ τελευτῇ. ἰστέον ὅτι τρεῖς ἔσχεν Ἡρῴδης ὁ μέγας υἱούς, Ἡρῴδην τὸν καὶ Ἀντίπαν, τὸν καὶ ἀποτεμόντα τὸν πρόδρομον, ἐφ' οὗ καὶ ὁ κύριος ἐσταυρώθη ἐπὶ Τιβερίου Καίσαρος· καὶ Ἡρῴδην τὸν καὶ Φίλιππον, ᾧ πρῶτον Ἡρωδιὰς ἐγαμήθη, καὶ ἔσχε θυγατέρα Σαλώμην τὴν ὀρχησαμένην· καὶ Ἡρῴδην τὸν καὶ Ἀγρίππαν, τὸν ἀνελόντα τὸν Ζεβεδαίου Ἰάκωβον, ὃς καὶ ἀδελφὸς μὲν ἦν Ἡρωδιάδος πατὴρ δὲ Ἀγρίππα καὶ Βερενίκης, ἐφ' ὧν ὁ Παῦλος ἀπελογήσατο κρινόμενος.

Τιβέριος.

ἐφμὶ β τῆς ρπή Τιβέριος ἐβασίλευσεν ἔτη κβ' μῆνας ζ'. οὗτος ἔσχε Γάϊον ἀδελφιδοῦν, ἀστρολόγου δὲ τοῦ Θρασύλου γέγονε φοιτητής, ὃς τοσοῦτος ἦν τὴν τέχνην ὡς ἀγανακτήσαντά ποτε τὸν Τιβέριον κατ' αὐτοῦ, καὶ βουληθέντα διὰ τοῦ τείχους αἴφνης αὐτὸν ὠθῆσαι ἐσκυθρώπασεν, ἐρωτήσαντος δὲ Τιβερίου τὴν αἰτίαν ἀπεκρίνατο αἰσθάνεσθαι κλιμακτῆρα ἐγγὺς αὐτοῦ, καὶ τὸν Τιβέριον θαυμάσαντα ἐᾶσαι αὐτόν. οὗτος ἀκούσας τὰ περὶ τοῦ Χριστοῦ διὰ βασιλικοῦ τύπου ἠβουλήθη ἀναγορεῦσαι θεόν. ἀλλὰ τοῦτο μὲν ἀντεπράχθη παρὰ τῆς συγκλήτου· Πιλάτῳ δὲ παραστάσιμος εἰς Ῥώμην ἦχθη, καὶ εἰς τοσαύτην

necasset et uxoris suae fratrem, alios multos cognatorum interfecit et numerum Iudaeorum non parvum morte sua perdidit. sciendum autem est, tres filios Herodi magno fuisse, Herodem qui etiam Antipas nominatur, percussorem antecursoris, sub quo dominus cruci affixus est imperatore Tiberio; alterum Herodem qui etiam Philippus nominatur et primus Herodiam duxerat filiamque habebat Salomen saltatricem, tertium Herodem Agrippam, qui Iacobum Zebedaei filium interfecit et frater fuit Herodiadis, paterque Agrippae et Berenices, sub quibus Paulus in iudicio se defendit.

Tiberius.

Tiberius imperavit 22 annos et 7 menses; hic Caium nepotem habuit et Thrasyli astrologi auditor fuit; qui quidem ita arte valebat, ut iratum quondam sibi Tiberium et parieti se volentem affigere severe aspiceret et Tiberio, causam roganti responderet videre se appropinquare periculum; tum admiratus Tiberius ab eo sese abstinuit. hic quum facta Christi audiisset, pro regia quadam voluntate deum praedicari voluit. sed hoc a senatu irritum factum est. Pilatus



πέπτωκε περίστασιν ὑπὸ Τιβερίου διὰ τὸ σταυρῶσαι τὸν Χριστὸν ὥστε αὐτὸν φονεῦσαι. τὸν δὲ Τιβέριον ὁ Γάϊος ἐν τῇ νόσῳ αὐτοῦ ἱμάτια πολλὰ ἐπιθείς ἀπέπνιξε. περὶ δὲ Τιβερίου φασὶν ὅτι βραδέως τοὺς ἄρχοντας διεδέχετο φειδοῖ τῶν ὑπηκόων, καὶ ὅτι ἐρωτηθείς διὰ τί οὕτως ποιεῖ, εἶπε τὴν παροιμίαν τῶν ἐπικαθημένων μυιῶν τῷ τραύματι καὶ τοῦ θελήσαντος ἀποσοβῆσαι ταύτας καὶ κωλυθέντος ὑπὸ τοῦ τραυματίου εἰπόντος, ἵνα μὴ ἄλλαι πεινῶσαι αἵματος ἐπέλθοιεν.

Ἐπὶ Τιβερίου ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ πεντεκαιδεκάτῳ ἔτει αὐτοῦ βαπτίζεται, ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τὸ σωτήριον ὑπέστη πάθος, ἐν ἔτει ͵ϛφλγ'. γράφει δὲ καὶ Ἰώσηπος περὶ τοῦ κυρίου ἡμῶν "ἔτι κατὰ τοῦτον τὸν καιρὸν ἦν Ἰησοῦς σοφὸς ἀνήρ, εἴ γε αὐτὸν ἄνδρα λέγειν χρή· ἦν γὰρ παραδόξων ἔργων ποιητὴς καὶ διδάσκαλος ἀνθρώπων τῶν ἐν ἡδονῇ τὰ ἀληθῆ δεχομένων." πολλοὺς γὰρ καὶ ἀπὸ Ἑλλήνων ἠγάγετο. ὁ Χριστὸς οὗτος ἦν ὃν Πιλάτος σταυρώσας οὐκ ἐξεπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες· ἐφάνη γὰρ αὐτοῖς τῇ τρίτῃ ἡμέρᾳ πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια εἰρηκότων. ἐπὶ Τιβερίου, μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν, ἐκλέγονται ὑπὸ τῶν ἀποστόλων Ματθίας ἀντὶ τοῦ προδότου καὶ Ἰάκωβος ἀδελφὸς τοῦ κυρίου

2. *Τιβέριος τῷ τρόπῳ καὶ τῇ γνώμῃ ἦν ἀπηνὴς καὶ οἴνου ἐλάττων· διὸ καὶ Ῥωμαῖοι Τιβέριον (Βιβέριον?) αὐτὸν ἐκάλουν, ὃ σημαίνει παρ' αὐτοῖς τὸν οἰνοπότην.* margo cod. 16. *ὡς φησιν Εὐσέβιος.* margo.

ad tantam calamitatem redactus est per Tiberium propterea quod cruci Christum affixerat, ut sese interficeret. Caius Tiberium aegrotantem multis iniectis vestimentis suffocavit. narrant Tiberium graviter tractasse nobiles, pepercisse humilibus, et interrogatum, cur hoc faceret, proverbium de insedentibus vulneri muscis commemorasse quum qui eas pellere vellet, a vulnere arceretur, ne aliae esurientes advenirent.

Sub Tiberio dominus noster Iesus Christus anno eius decimo quinto baptizatus est, et 18 anno salutiferam passionem tulit, anno 5533. scripsit etiam Iosephus de domino nostro: "erat etiam illo tempore Iesus, homo sapiens, si quidem homo nominandus est, facinora enim edidit admirabilia, docuitque homines, qui libenter veritatem accipiebant." multos enim etiam ex Graecis sibi conciliavit. hic erat Christus quem a Pilato crucifixum non reliquerunt, qui primo eum adamarant. apparuit enim iis rursus vivus tertio die, quod praeter alia innumera miracula sancti prophetae de eo praedixerant. sub Tiberio post discessum domini, servatoris nostri, electi sunt ab

πρῶτος ἐπίσκοπος Ἱεροσολύμων, καὶ διάκονοι τὸν ἀριθμὸν ἑπτά, Στέφανος ὁ πρωτόμαρτυς καὶ οἱ σὺν αὐτῷ. Φίλιππος δὲ ὁ ἐξ αὐτῶν εἷς ποιῶν ἐν Σαμαρείᾳ τεράστια, ἀρθεὶς ὑπὸ πνεύματος ἐπέστη Κανδάκῃ. οὗτος πρῶτος ἐβαπτίσθη ὑπὸ Φιλίππου ἐξ ἐθνῶν, τῆς προφητείας πληρωθείσης ἔργῳ. "Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ." ἀλλὰ καὶ Μάγοι Χριστὸν προσκυνήσαντες πρότερον τὴν τῶν ἐθνῶν κλῆσιν ᾐνίξαντο, καὶ Κορνήλιος πρῶτος ἐξ ἐθνῶν Πέτρῳ διὰ πίστεως προσῆλθεν. ἐπὶ τούτοις Παῦλος τὸ τῆς ἐκλογῆς σκεῦος δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ ἀπόστολος δείκνυται.

Γάϊος.

ἐφμὴ κατὰ τὴν σϛ' Γάϊος ἐβασίλευσεν ἔτη τρία καὶ μῆνας θ'. ἦν δὲ μοιχικώτατος πάνυ. οὗτός ποτε προϊὼν κατὰ τὴν ἀγοράν, καὶ πηλὸν ἐν τῇ ὁδῷ ἰδών, ἤγαγε Φλάβιον Οὐεσπασιανὸν τότε ἀγορανόμον ὄντα, καὶ ὡς ἀμελήσαντος τὸν πηλὸν ἐς τὴν ἐσθῆτα αὐτοῦ βληθῆναι ἐκέλευσεν· ὅπερ ἐσήμαινε τὰ κοινὰ τεταραγμένα αὐτὸν ὑπολήψεσθαι. οὗτος ἐσφάγη ὑπὸ Κλαυδίου. ἐπὶ Γαΐου Ἀγρίππας βασιλεύει τῆς Ἰουδαίας, καὶ Σίμων ὁ Μάγος παρὰ Φιλίππου βαπτίζεται, ἑνὸς τῶν ζ' διακόνων.

apostolis Matthias in locum proditoris et Iacobus, domini frater, primus episcopus Hierosolymorum, praeterea diaconi numero 7, Stephanus, primus martyr eiusque collegae. e quibus unus, Philippus, miracula faciens in Samaria a spiritu incitatus obviam factus est Candacae. hic primus paganorum a Philippo baptizatus est, atque ita expleta est facto prophetia: Aethiopia prima manus suas deo protendet. sed etiam magi qui Christum venerati erant, antea significarant, invitatos esse paganos; atque Cornelius primus ex paganis Petro cum fide obviam ivit. post haec Paulus electionis apparatus apocalypsi Iesu Christi apostolus est declaratus.

Caius.

Caius annos 3 et 9 menses regnavit, homo adulterrimus. hic quum aliquando per forum incederet, et lutum in via videret, reum fecit Flavium Vespasianum, qui tum aedilis erat, et propter incuriam, luto vestem eius adspergi iussit, quae res significavit, illum rem publicam turbatam accepturum. interfectus hic est a Claudio. sub Caio Agrippa in Iudaea regnavit et Simo Magus a Philippo, uno e septem diaconis, baptizatus est.

Κλαύδιος.

Κλαύδιος ἐβασίλευσεν ἔτη ιγ΄ μῆνας ε΄. οὗτος δειλὸς ἐφξῆ
ὢν πάντας τοὺς προσιόντας αὐτῷ ἐποίησεν ἐρευνᾶσθαι, μή τι κατὰ τὴν
ξιφίδιον ἔχουσι, καὶ ἐν τοῖς συμποσίοις ὡπλισμένοι εἰς φυ- σέ
λακὴν παρειστήκεισαν αὐτῷ· ἐξ οὗ καὶ εἰς τοὺς λοιποὺς εἴ-
θιστο γίνεσθαι. καὶ τοὺς κατηγορήσαντας τῶν ἰδίων δεσπο-
τῶν δούλους καὶ ἀπελευθέρους μονομαχεῖν ἠνάγκαζε καὶ δια-
φέρεσθαι, τινὰς δὲ καὶ τοῖς οἰκείοις παραδέδωκε δεσπόταις.
μύκητα δὲ πεφαρμαγμένον φαγὼν ἐτελεύτησεν. ἐπὶ Κλαυ-
δίου Ἀγρίππας, ὁ καὶ Ἡρώδης, ἀνεῖλεν Ἰάκωβον τὸν ἀδελ-
φὸν Ἰωάννου μαχαίρᾳ, καὶ Πέτρον ἔθετο ἐν φυλακῇ ὡς
ἀναιρήσων αὐτόν. Σίμων δὲ ὁ Μάγος τὸν χριστιανισμὸν
ἀποβαλόμενος καὶ Μάγοις προσομιλήσας, ἐν Ῥώμῃ κατελθὼν
ὡς θεὸς ἐτιμᾶτό τε καὶ ἐσέβετο διὰ τὰς ὑπ' αὐτοῦ γοητείας.
Πέτρου δὲ διὰ ταῦτα ἐπιδημήσαντος τῇ Ῥώμῃ ἡ μὲν τοῦ
Σίμωνος ἀπέβη καὶ παραχρῆμα σὺν τῷ ἀνδρὶ καταλέλυτο δύ-
ναμις· παρακλήσει δὲ πάντων Μάρκον προετρέψατο Πέτρος
ἐκ τῆς διὰ λόγου αὐτοῦ διδαχῆς Ῥωμαίοις τὸ εὐαγγέλιον
γράψαι. ὁ δὴ Μάρκος καὶ ἐν τῇ Αἰγύπτῳ στείλας πρῶτος
ἐπίσκοπος καὶ κῆρυξ Ἀλεξανδρείας καθίσταται. Ἀγρίππας δὲ
λαμπρὰν καὶ χρυσοϋφῆ ἐσθῆτα περιβαλόμενος ἐδημηγόρησεν
Ἰουδαίοις· τῶν δὲ φησάντων "Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώ-

8. *πεφαρμαγμένον* Cramerus, *πεφραγμένον* cod. 15. *ἀπέσβη*?

CLAUDIUS.

Claudius annos 13 et 5 menses regnavit. hic ita timidus erat, ut omnes qui ad se accederent, inquiri iuberet, num cultrum secum haberent et in conviviis armatos custodes collocaret; unde etiam reliqui morem acceperunt. idem servos libertosque, suorum dominorum accusatores concertare et ita rem probare coegit. nonnullos etiam suis dominis tradidit. mortuus est comeso fungo venenato. sub Claudio Agrippa, qui etiam Herodes nominatur, Iacobum, Iohannis fratrem gladio interfecit et Petrum in vincula coniecit ut eum interficeret. Simo autem magus, repudiata fide Christiana sectatus magos Romam quum esset profectus, ut deus colebatur et honorabatur malis suis artibus. Petro autem eodem tempore Romae commorante Simonis vis statim cum ipso periit. omnium hortatu Petrus Marco, suis sermonibus edocto mandavit, Romanis evangelium scribere. Marcus etiam in Aegyptum profectus primus episcopus et praedicator Alexandriae factus est. Agrippa, veste candida et aurata indutus concionem ha-

στάντος ξιφιδίῳ ἑαυτὸν διεχειρίσατο, εἰπὼν "τί γάρ με ἔδει μακροῖς αὐλοῖς αὐλεῖν;" Γάλβας καὶ Ὄθων καὶ Βιτάλιος ἐν πολέμοις ὄντες ὑπὸ στρατιωτῶν ἀνῃρέθησαν. Οὐεσπασιανὸν δὲ τὰ Ἱεροσόλυμα ἐκπορθοῦντα ὡς ἐχέφρονα καὶ ἀνδρεῖον ἡ τῶν Ῥωμαίων σύγκλητος ἀνηγόρευσε βασιλέα.

Βιτάλιος.

Βιτάλιος ἐβασίλευσεν ἔτος ἕν, γένους ἐπιφανοῦς ὤν. οὗτος ἀστρολόγους καὶ ἀστρονόμους καὶ γόητας ἐντὸς ῥητῆς ἡμέρας πάντας ἐκ χωρῆσαι τῆς Ἰταλίας προσέταξεν· ᾧ καὶ πρόγραμμα ἔρριψαν προαγγέλλοντες ἐντὸς ἡμέρας ῥητῆς ἀπαλλαγήσεσθαι αὐτὸν τοῦ βίου, ὃ δὴ καὶ γέγονεν. ἐσφάγη δὲ ὑπὸ στρατιωτῶν.

Οὐεσπασιανός.

ἐφπς' τξς σιβ' Οὐεσπασιανὸς ἐβασίλευσεν ἔτη δέκα ἡμέρας ὀκτώ, ἦν δὲ γονέων ἀσήμων. αὐτοκράτωρ δὲ γέγονεν ἐν Παλαιστίνῃ, ἔτι τὰς πόλεις τῶν Ἰουδαίων πολιορκῶν· ὅστις καὶ Ἰώσηπον τὸν συγγραφέα ὑποχείριον ἐποιήσατο. ἀνήχθη δὲ ἐν Ῥώμῃ ἀναγορευθεὶς ὑπὸ τοῦ στρατοῦ βασιλεύς, καταλιπὼν Τίτον τὸν υἱὸν αὐτοῦ τὴν Παλαιστίνην πολιορκεῖν. οὗτος τελευτᾷ νόσῳ. περὶ τῆς Οὐεπασιανοῦ ἁλώσεως τῆς Ἱερουσαλὴμ καὶ Τίτου υἱοῦ αὐτοῦ Ἰώσηπος θαυμαστῶς ἱστορεῖ.

dio se interfecit dicens: "cur enim me oportuit magnis tibiis canere?" Galba, Otho et Vitellius bello a militibus trucidati sunt; Vespasianum autem Hierosolyma oppugnantem, utpote sapientem virum et fortem senatus regem creavit.

VITELLIUS.

Vitellius unum annum regnavit, genere ortus illustri. hic astrologos, astronomos magosque ante certam diem omnes Italia cedere iussit; ei submonitionem dederunt praedicentes ante certam diem eum ex vita excessurum. id ita factum est; trucidatus enim est a militibus.

VESPASIANUS.

Vespasianus annos 10 diesque 8 regnavit. parentibus natus obscuris imperator factus est in Palaestina, Iudaeorum urbes oppugnans, ubi etiam Iosephum historicum cepit. ab exercitu rex declaratus. Romam profectus est, relicto in Palaestina Tito filio. Periit morbo. de expugnatione Hierosolymorum Iosephus admirabiliter scripsit.

Τῖτος υἱὸς Οὐεσπασιανοῦ.

Τῖτος ἐβασίλευσεν ἔτη δύο μῆνας γ'. οὗτος πολιορκεῖ ἐφπ' ὃ τὰ Ἱεροσόλυμα. ἀνῃρέθη δὲ ὑπὸ Δομετιανοῦ ἀδελφοῦ, ὃς τῆς σιδ νοσήσαντα ἔβαλεν αὐτὸν εἰς λάρνακα ξυλίνην χιόνος γέμουσαν ὡς ὀῆθεν θεραπεύσων, καὶ ἀπέκτεινε. Τῖτος ἀπειλαῖς οὐ τιμωρίαις ἐφόβει μόνον. βασιλεύοντος οὖν αὐτοῦ οὐ παρῆλθεν ἡμέρα ἐν ᾗ τι δῶρόν τινι ἢ εὐεργεσίαν οὐ παρέσχε· βασιλέως γάρ ἐστι τὸ εὐεργετεῖν καὶ ἀληθεύειν. ἔλεγε δὲ ὅτι τὸν βλέποντα βασιλέα οὐ δεῖ ἐξέρχεσθαι λυπούμενον.

Δομετιανός.

Δομετιανὸς ἐβασίλευσεν ἔτη ιέ μῆνας ιά. οὗτος τὰς ἐκά τῆς γενέσεις τῶν πρώτων τῆς Ῥώμης ἐρευνῶν, καὶ οὐκ ὀλίγους σιέ εὑρίσκων ἐν δυνάμει ἔσεσθαι, ἀνῄρει διὰ προφάσεως, ἀνοσιουργὸς ὢν καὶ ἀνδρομανίας ἀνάμεστος· ἐφ' οὗ Τιμόθεος ὁ ἀπόστολος ἐμαρτύρησε, καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς ὡς ὑπεύθυνος ἐν Πάτμῳ τῇ νήσῳ ἐξώριστο. ὁ δέ γε Ἀπολλώνιος ὁ Τυανεὺς τῷ τότε καιρῷ ἀκμάζων, ἐν Βυζαντίῳ ἐλθὼν καὶ παρακληθεὶς ὑπό τινων ἐστοιχείωσεν ὄφεις μὲν καὶ σκορπίους μὴ πλήσσειν, κώνωπας μὴ παρεῖναι, ἵππους μὴ κατοφρυοῦσθαι μήτε μὴν ἀγριαίνεσθαι ἢ κατά τινος ἢ κατ' ἀλλή-

TITUS VESPASIANI FILIUS.

Titus duos annos mensesque tres regnavit. Hierosolyma expugnavit. interfectus est a Domitiano fratre, qui aegrotantem eum in cistam ligneam nive refertam trusit, scilicet ut eum curaret, itaque interfecit. Titus minando tantum, non puniendo homines terrebat, neque donec imperabat ullum diem intermisit, quin donum vel beneficium cuidam exhibuerit; regis enim est, beneficia et veritatem exercere. dicebat autem non decere, qui regem vidisset moestum exire.

DOMITIANUS.

Domitianus 15 annos regnavit mensesque 11. hic in familias primorum Romanorum inquirens quum invenisset non paucos opibus valere, causas simulans eos interfecit, homo impurus et moechus. sub eo Timotheus apostolus martyr fuit et Ioannes evangelista ut nocens in Patmum insulam est relegatus. Apollonius Tyaneus illo tempore florens Byzantium venit et a quibusdam provocatus angues et scorpiones docuit non vulnerare, culices non pungere, equos non irasci neque contra hominem neque contra alios equos furere. Domitianus

λων. οὗτος ὁ Δομετιανὸς Νερούαν ἐκέλευσεν ζῶντα βληθῆναι εἰς πῦρ, τῶν ἀστρονόμων εἰπόντων ὑπὸ κυνῶν τοῦτον ἀναλωθήσεσθαι· ὑετὸς δὲ κατενεχθεὶς πολὺς τὴν πυρὰν κατέσβεσε, καὶ δεδεμένου ἔτι τῷ χεῖρε κύνες ἀφεθέντες κατέφαγον. Λάρπος δὲ ἀστρονόμος εἶπεν εἰς ὕψιν τῷ Δομετιανῷ τεθνήξεσθαι ἡμέρᾳ τῇδε. ὁ δὲ ἐκέλευσεν αὐτὸν τηρηθῆναι ἐν δεσμῷ, ὡς ἂν τῆς ἡμέρας διελθούσης τῇ ἐπαύριον ἀναιρήσων. ἀλλὰ θανόντος Δομετιανοῦ ἀπελύθη ἀβλαβής. Δομετιανὸς τοὺς ἀπὸ γένους Δαυὶδ καὶ Χριστοῦ ἀναιρεῖσθαι προσέταξεν· ἐδεδίει γὰρ τὴν παρουσίαν τοῦ κυρίου, ὡς καὶ Ἡρώδης, τοῦ κηρύγματος ἤδη δύναμιν λαμβάνοντος. ἤγαγον οὖν συγγενεῖς τοῦ κυρίου πρὸς Δομετιανόν, καὶ ἐπηρώτησεν εἰ ἐκ Δαυὶδ καὶ Χριστοῦ εἰσί, καὶ ὡμολόγησαν. "καὶ πόσων" ἔφη "χρημάτων κυριεύετε;" "ἐννέα" φησὶ "δηναρίων οἱ πάντες καὶ πλέθρων γῆς ὀλίγων, ἐξ ὧν καὶ τοὺς φόρους ἀναφέρομεν." καὶ τὰς χεῖρας σκληρὰς ἐκ τῆς ἐργασίας ἐδείκνυον. ὁ δὲ καὶ ὁποία τίς ἐστιν ἡ τοῦ Χριστοῦ βασιλεία, καὶ πότε φανησομένη, αὖθις ἠρώτησεν. οἱ δὲ ἔφασαν ὡς οὐ κοσμικὴ μὲν οὐδὲ ἐπίγειος, ἐπουράνιος δὲ καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων, ὅταν ἔλθῃ ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς· ἐφ' οἷς αὐτῶν καταφρονήσαντα ἐλευθέρους μὲν αὐτοὺς ἀφεῖναι κελεῦσαι, τὸν δὲ τῆς ἐκκλησίας διωγμὸν καταπαῦσαι.

7. *ἀναιρήσειν* C 15. *φόρτους* C 21. *κελεύσας* C

Neruam vivum in ignem coniici iussit, quum dixissent astronomi, canibus illum laceratum iri. sed imber flammam exstinxit, illumque manibus vinctum canes devorarunt. Larpus astronomus Domitiano dixit, eodem die eum esse moriturum. ille eum in vincula coniici iussit, ut postridie eum interficeret; mortuo autem Domitiano liberatus est. Domitianus eos, qui Davidis et Christi generis essent interfici iussit; timebat enim domini praesentiam, ut Herodes praedicatione iam vim adepta. ducti igitur sunt ad Domitianum Christi cognati, quos interrogavit ille, essentne ex Davide et Christo. affirmantibus illis "quantas," inquit, "opes habetis?" "novem," inquiunt, "denarios et pauca iugera, unde vectigalia pendimus," simul manus labore maceras monstrarunt. tum ille interrogavit, quale Christi regnum et quando appariturum esset. responderunt illi, non esse in hoc mundo nec in hac terra sed in coelo et finitis aeonibus, quando venturus esset cum gloria iudicatum vivos mortuosque. quae cum Domitianus audisset, dimitti eos et persecutionem ecclesiae intermitti iussit.

Νέρβας ὁ καὶ Μάρκος.

Νέρβας ἐβασίλευσεν ἔτος ἓν μῆνας δ', σώφρων ὢν καὶ ἐπιεικής. οὗτος ἀνεκαλέσατο τῆς ἐξορίας, ἀποστείλας αὐτὸν ἐν Ἐφέσῳ, ἔνθα καὶ τελευτᾷ. ἐκ Παιονίας δὲ ἀγγελία ἐπινικίων ἐλθοῦσα παρὰ Τραϊανοῦ ἀνελθὼν ἐν τῷ Καπετωλίῳ καὶ λιβανωτὸν ἐπιθύσας στάς τε ἐπὶ βήματος καὶ μεγάλα βοῶν, τῆς τε βουλῆς καὶ τοῦ δήμου τῶν Ῥωμαίων παρόντων, ἔφη "ἀγαθῇ τύχῃ Μάρκος Νέρβας Τραϊανὸν υἱοποιοῦμαι." οὗτος ἀπηγόρευσε τοῦ ἐκτέμνειν τινῶν τὰ αἰδοῖα ἐν Ῥώμῃ· καὶ νόσῳ τελευτᾷ. ἐ... τῆς σιδ'

Τραϊανός.

Τραϊανὸς ἐβασίλευσεν ἔτη ιθ' μῆνας ς'. ὃς ἦν μισοπόνηρος καὶ φιλοδίκαιος· γυμνώσας γάρ ποτε ξίφος ἐνώπιον τῶν ἐν τέλει πάντων ἐπέδωκε τῷ ἐπάρχῳ λέγων "δέξαι τοῦτο, καὶ εἰ μὲν καλῶς ἄρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ μή, κατ' ἐμοῦ αὐτῷ χρῆσαι." προεχειρίσθη δὲ ὑπὸ Νέρβα διὰ τὴν ἀρετὴν αὐτοῦ ὡς πολεμικώτατος καὶ πολλὰ κατορθώματα ἐν Ῥώμῃ καὶ πανταχοῦ πεποιηκώς. φίλου δέ τινος αὐτῷ ποτὲ διαβληθέντος ὡς ἐπιβούλου, καὶ τούς τε ὀφθαλμοὺς ἐκκεντηθέντος καὶ τὸ γένειον ἀποκειραμένου, ἐπεὶ τυφλὸς πρὸς Τραϊανὸν σιδ'

3. οὗτος] οὗτος Ἰωάννην τὸν εὐαγγελιστὴν?

NERVA SIVE MARCUS.

Nerva unum annum mensesque 4 regnavit vir sapiens et honestus. hic Ioannem ex exilio revocavit, et Ephesum misit ubi mortuus est. ex Paeonia cum victoria Traiani nunciaretur, in Capitolium ascendit libavitque et clara voce praesente senatu populoque Romano "quod felix faustumque sit, inquit, Marcus Nerva Traianum filium adopto." idem vetuit cuiquam Romae pudenda amputari. obiit morbo.

TRAIANUS.

Traianus 19 annos et 6 menses regnavit, homo optimus et iustissimus; qui quondam coram omnibus magistratibus gladium nudavit et primo eorum tradidit his verbis "accipe hoc, et si bene imperabo pro me, sin minus, contra me eo utere." electus autem est a Nerva propter virtutem quod esset fortissimus et Romae et ubique splendidissima facinora edidisset. cum quondam amicum eius calumniati essent, tanquam insidias pararet, et ille effossis oculis barbaque tonsa

εἰσήχθη, πολλὰ λυπηθεὶς ἐπὶ τούτῳ πόλιν τε κτίσας ἐπὶ τῷ ὀνόματι αὐτοῦ τὴν νῦν Τραϊανούπολιν ὀνομαζομένην, καὶ τοῦτον κατοικτείρας, ὡς δεσπότην τῆς πόλεως ἐκεῖσε ἀπέστειλεν ἕως τῆς αὐτοῦ τελευτῆς. θνήσκει δὲ Ἀδριανὸν προχειρισάμενος εἰς βασιλέα. ἐπὶ τούτου ἐμαρτύρησεν ὁ ἅγιος Ἰγνάτιος ὁ θεοφόρος καὶ Συμεὼν ὁ τοῦ Κλεόπα. Τραϊνὸς προσέταξε τὸ Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μέν, ἐμπεσὸν δὲ κολάζεσθαι. ἐπὶ αὐτοῦ Σίμωνα τὸν Μάγον Μένανδρος διεδέξατο, γόης καὶ ἀπατεών, Σαμαρεὺς τὸ γένος, ἑαυτὸν Χριστὸν ὀνομάζων. ἦν δὲ καὶ Κήρινθος αἱρεσιάρχης τότε, καὶ Νικόλαος εἷς τῶν ἑπτὰ διακόνων.

Ἀδριανὸς Αἴλιος.

ἐχμὲ κατὰ τὴν σκδ' Ἀδριανὸς Αἴλιος ἐβασίλευσεν ἔτη κ' μῆνας ια'. ἦν δὲ φιλολόγος ἐπιτήδειος ἔν τε τῷ πεζῷ λόγῳ καὶ τῷ ἐμμέτρῳ, συγγενὴς καὶ υἱοπεποιημένος τῷ Τραϊανῷ. οὗτος ἐν Μυσίᾳ ἔνθα ἐθήρασεν, ᾠκοδόμησε πόλιν, καὶ ἐκάλεσεν αὐτὴν Ἀδριανοῦ θήρας ἐν τοῖς μιτάτοις, καὶ ἑτέραν πόλιν ἐν τῇ Θρᾴκῃ ἐπ' ὀνόματι αὐτοῦ. οὗτος καὶ τὴν Ἰουδαίων πόλιν κατέστρεψε διὰ τὸ βουληθῆναι τοὺς Ἰουδαίους ἀνοικοδομῆσαι τὸν ἐν Ἱεροσολύμοις ναόν, καὶ ἐν μιᾷ ἡμέρᾳ πεντήκοντα ὀκτὼ μυριάδας ἀνεῖλε. σημεῖον δὲ γέγονε τῆς ἀναλώσεως αὐτῶν ὡς τὸ τοῦ Σολομῶντος μνημεῖον αὐτομάτως διαλυθῆναι. τὰ

caecatus ad Traianum duceretur, magno ea re moerore afflictus urbem condidit, quam de suo nomine Traianopolin nominavit, et amicum deplorans praefectum eum eius urbis fecit. mortuus est Adriano imperatore designato. martyr sub eo fuit sanctus Ignatius et Symeon Cleopae filius. iussit Traianus Christianos non inquiri, palam autem factos puniri. sub eo Simonem Magum Menander excepit magus et praestigiator, genere Samareus, qui Christum se nominavit. erat etiam tum temporis Cerinthus haereticorum princeps et Nicolaus, unus e septem diaconis.

Adrianus Aelius.

Adrianus Aelius 20 annos regnavit mensesque 11. fuit autem philologus satis doctus quum pedestri oratione tum poetica, Traiano cognatus et ab eo adoptatus. hic in Mysia, ubi venatus erat, urbem aedificavit, quam Adriani venationem nominavit; aliam urbem in Thracia de se nominavit. idem Iudaeorum urbem delevit, quoniam conati erant Iudaei templum Hierosolymis aedificare, unoque die 580000

δὲ παλαιὰ λείψανα τῆς πόλεως ἐρειπίσας καὶ ἐρημώσας, κτίζει ἐπὶ τῷ ἰδίῳ ὀνόματι τὴν πόλιν, Αἰλίαν αὐτὴν ἐπονομάσας. ἐν δὲ τῷ ναῷ τὸν αὐτοῦ ἀνδριάντα ἀνεστήλωσε διὰ τὸ εἶναι αὐτὸν λωβόν, ὅπως εὕρῃ ἴασιν. Σίμιλον δέ τινα ἔν τε φρονήσει καὶ ἐπιεικείᾳ καὶ ἀρεταῖς πολλαῖς κεκοσμημένον πάνυ ἐτίμα, καὶ ἐν μεγάλῃ ἀρχῇ ἐτίμησεν αὐτόν· ἀλλ' ἐπ' ὀλίγον τῆς ἀρχῆς κρατήσας δεηθεὶς ἐξέστη αὐτῆς, καὶ ἐν ἀγρῷ ἐπτὰ ἔτη διατρίψας ἐτελεύτησεν, ἐπιγραφῆναι προστάξας ἐν τῷ μνήματι αὐτοῦ οὕτως "Σίμιλος ἐνταῦθα κατάκειται, βιώσας μὲν ἔτη τόσα, ζήσας δὲ ἑπτά." θνήσκει δὲ Ἀδριανὸς Ἀντωνῖνον προχειρισάμενος. ἀπέθανε δὲ βίᾳ τῆς νόσου, κράζων "ὦ Ζεῦ, πόσον κακόν ἐστιν ἐπιθυμοῦντά τινα ἀποθανεῖν καὶ μὴ τυγχάνειν." ἐπὶ Ἀδριανοῦ ὑπῆρχον αἱρεσιῶται, ἐχθροὶ τῆς τῶν Χριστιανῶν πίστεως Σατορνῖνος καὶ Βασιλείδης καὶ Καρποκράτης.

Ἀντωνῖνος ὁ εὐσεβής.

Ἀντωνῖνος ὁ εὐσεβὴς ἐβασίλευσεν ἔτη κδ', υἱοποιηθεὶς τῷ Ἀδριανῷ, καὶ πρῶτος τῶν αὐτοκρατόρων εὐσεβὴς ἐπεκλήθη· πᾶσαν γὰρ ἀρετὴν ἐπεκτήσατο. θνήσκει δὲ προβαλόμε-

1. λείψαντα C 17. Ἀντωνῖνος ὁ εὐσεβὴς καὶ Οὖιρος ἐχξὴ τῆς σκθ' ἐπὶ αὐτοῦ ἐγνωρίζοντο Οὐαλεντιανὸς καὶ Κέρδων καὶ Βλαρκίων αἱρεσιάρχαι ἐν Ῥώμῃ margo.

eorum interfecit. signum huius calamitatis fuit quod Solomontis sepulchrum sua sponte apertum est. antiquis urbis ruinis deletis et disiectis, urbem condidit et de suo nomine Aeliam dixit. in templo autem simulacrum sui collocavit, eo consilio ut lepra liberaretur. Similum quendam, ratione, aequitate multisque virtutibus ornatum admodum honoravit et magnam praefecturam ei tribuit. sed is quum per aliquod tempus praefecturam administrasset, inde recessit et otiosus 7 annos quum degisset mortuus est, hac sepulchrali inscriptione relicta: "Similus hic iacet, tot annos vixit, vita fruitus est 7 annos." mortuus est Adrianus Antonino designato imperatore. morbo exstinctus est clamans: o Iupiter, quanta miseria est, mori volentem non posse." sub Adriano fuerunt haeretici, Christianae fidei inimici, Saturninus, Basilides et Carpocrates.

Antoninus Pius.

Antoninus Pius annos 24 regnavit, adoptatus ab Adriano primusque imperatorum pius est cognominatus, omnem enim virtutem possidebat. mortuus est imperatore designato Marco Antonino genere

Ἰουλιανὸς Δίδιος.

Ἰουλιανὸς Δίδιος ἐβασίλευσεν ἡμέρας ξς', φαυλότατος τοῖς τρόποις, καὶ τοῖς ἔργοις ἀνοσιουργὸς καὶ χρημάτων ἁρπαστής. οὗτος διὰ ταῦτα ἐσφάγη ψήφῳ τῆς βουλῆς, μεγάλα ἐπιβοώμενος "τί γὰρ δεινὸν ἐποίησα;"

Σευῆρος.

εψ....β τῆς σμγ' *Σευῆρος ἐβασίλευσεν ἔτη ιζ μῆνας η'. οὗτος τὸ Βυζάντιον παραλαβὼν τὰ τείχη αὐτοῦ καθεῖλεν. εἶχε δὲ πύργους ἑπτά, ἐκ τῶν Θρᾳκικῶν πυλῶν ἀρχομένους καὶ ἐπὶ τὴν ἀρκτῳάν θάλασσαν καθήκοντας· καὶ τούτων εἴ τις ἐν ἑτέρῳ πύργῳ προσῆλθεν, οὐδεμία αἴσθησις τοῖς ἄλλοις ἐγίνετο· εἰ δὲ ἐν τῷ πρώτῳ πύργῳ ἀνεβόησεν ἢ καὶ λίθον ἐσάλευσεν, αὐτός τε ἤχει καὶ τῷ δευτέρῳ καὶ τοῖς λοιποῖς πᾶσιν ἐφεξῆς μετεδίδου τῆς ἠχῆς. οὗτος καὶ τὸ Ζεύξιππον λοετρὸν ἔκτισε Βυζαντίοις, καὶ τὸ πρῶτον κτίσμα τῷ ἱπποδρομίῳ παρέδωκε, καὶ κυνήγιον καὶ θέατρον αὐτοῖς κατεσκεύασεν. ἐπὶ τούτου ἤκμαζε καὶ Ὠριγένης, ὃς ἐνέσπειρεν ἐπὶ τῆς γῆς πονηρὰ ζιζάνια καὶ πᾶσαν ἀκαθαρσίαν ἐπεδείξατο. ἐμαρτύρησε δὲ καὶ Λεωνίδης ὁ πατὴρ Ὠριγένους. νοσηλευθεὶς δὲ ὁ βασιλεὺς ἐτελεύτησεν ἐν πολέμῳ. οὗτος τὸν ἐν Βρεττανίᾳ νικήσας πό-*

9. ἐν] μὲν C 16. ὁ Ὠριγένης αἱρεσιάρχης ὢν μετεμψύχωσιν ἐδόξαζεν ἀπ' ἄλλου εἰς ἄλλον μεταβαίνου m.

IULIANUS DIDIUS.

Iulianus Didius 66 dies regnavit, homo pessimis moribus, improbus et avarus; quapropter quum ex senatusconsulto interficeretur, exclamavit: "quid tandem mali feci?"

SEVERUS.

Severus 17 annos mensesque 8 regnavit. hic expugnato Byzantio moenia evertit, erant autem 7 turres inde a Thracio porto usque ad mare septentrionale. ad harum unam quum quis accedit, ex reliquis nihil audiri potest; sed quum in prima turri clamatur, vel lapis percutitur et ipsa resonat et alteri reliquisque deinceps omnibus sonum communicat. hic etiam Zeuxippum balneum construxit, hippodromi fundamentum iecit et venationem et theatrum Byzantiis exhibuit. sub hoc Origenes floruit, qui mala zizania in terra dispersit omnemque impuritatem docuit. martyr fuit Leonides, Origenis pater. Aegrotavit rex et in bello mortuus est. hic feliciter in Britan-

λεμον ἀπὸ θαλάσσης εἰς θάλασσαν περιετείχισε τὴν νῆσον σταδίοις χιλίοις.

Ἀντωνῖνος υἱὸς Σευήρου ὁ Καράκαλος.

Ἀντωνῖνος υἱὸς Σευήρου ἐβασίλευσεν ἔτη ς' μῆνας β'. ἔψκε'
οὗτος τὸν ἴδιον ἀδελφὸν ἐν τῷ κόλπῳ τῆς μητρὸς ἀπέσφαξε. τῆς σμζ
Σαραπίων δέ τις μαθηματικὸς ἔλεγεν ὡς τεθνήξεται Ἀντωνῖνος καὶ Μακρῖνος αὐτὸν διαδέξεται καὶ ἔδειξεν αὐτῷ τῷ δακτύλῳ παρεστῶτα μετὰ τῆς συγκλήτου. ὁ δὲ ὑπὸ θυμοῦ, μᾶλλον δὲ ὑπὸ τῆς τύχης οὐ συνῆκε τῷ προσώπῳ Μακρίνου, ἀλλ' ἕτερον τὸν πλησίον ἐκέλευσεν ἀποκτανθῆναι. ὁ δὲ Μακρῖνος ἐσπούδαζε τὸν Ἀντωνῖνον προκαταλαβεῖν, καὶ τοῦ Ἀντωνίνου ἀπὸ τοῦ ἵππου κατελθόντος ἐν κυνηγίῳ εἰς ἀπόπατον ἑκατόνταρχον ἀποστείλας τοῦτον τῷ ξίφει ἀνεῖλεν, εἰπὼν πρὸς αὐτὸν "ὡς σὺ τὸν ἀδελφὸν ἀπέσφαξας, οὕτω κἀγώ σέ." ἐπὶ Ἀντωνίνου Ὠριγένης διάφορα συγγράμματα κατελέλοιπε μετὰ καὶ τῆς τῶν Ἑβραίων σημειώσεως, τὰ λεγόμενα ἑξαπλᾶ.

Μακρῖνος.

Μακρῖνος ἐβασίλευσεν ἔτος ἓν μῆνας δύο. Εὐτυχιανὸς ἔψκς' β'
δέ τις παραλαβὼν τὸν Ἄβιτον ὡς Ἀντωνίνου υἱὸν μοίχειον τῆς
περιτέθεικε διάδημα καὶ αὐτοκράτορα ἀνηγόρευσε, καὶ δοὺς

nia gesto bello murum aedificavit a mari usque ad mare per 1000 stadia.

ANTONINUS CARACALLA SEVERI FILIUS.

Antoninus Severi filius 6 annos duosque menses regnavit. hic germanum fratrem ad matris sinum necavit. Sarapio quidam, mathematicus, quum praedixisset moriturum Antoninum et Macrinum eum secuturum esse huncque in senatu praesentem digito monstrasset, Antoninus prae ira vel potius fato impeditus Macrinum non agnovit, sed alium quendam prope stantem interfici iussit. Macrinus autem Antonino antevertere properavit eumque in venatione equo descendentem misso in foricam centurione gladio obtruncavit haec dicens: "quomodo tu fratrem occidisti, ita ego te occido." sub Antonino Origenes varia scripta reliquit cum Hebraeorum explicatione, quae dicuntur sextupla.

MACRINUS.

Macrinus unum annum mensesque duos regnavit. Eutychianus quidam declarato Avito Antonini filio spurio diademate eum ornavit

χρυσίον τοῖς στρατιώταις συνέβαλε πόλεμον μετὰ Μακρίνου, καὶ ἡττηθεὶς Μακρῖνος ἔφυγε καὶ ἀπεσφάγη μετὰ τῶν υἱῶν αὐτοῦ.

Ἄβιτος.

Ἄβιτος ἐβασίλευσεν ἔτη τρία μῆνας ἐννέα. οὗτος γυναικώδης ἦν, ὥστε καὶ Ἱεροκλέα ἔννομον αὐτοῦ ἄνδρα ποιῆσαι. ἐσφάγη δὲ διὰ τὰς ἀκαθαρσίας αὐτοῦ, κακῶς τὸ ζῆν ἀπορρήξας, καὶ ἐβασίλευσεν Ἀλέξανδρος ἐξάδελφος αὐτοῦ. Ἄβιτος τὸν ἰατρὸν ἠντιβόλει διφυῆ αὐτὸν διὰ τομῆς ἐμπροσθίου τῇ τέχνῃ ποιεῖσθαι.

Ἀλέξανδρος.

ἀψμέ β τῆς σν Ἀλέξανδρος ὁ Μαμαίας ἐβασίλευσεν ἔτη ιγ' μῆνας η'. ἐπὶ αὐτοῦ γέγονε λιμὸς ἐν Ῥώμῃ, ὥστε καὶ κρεῶν αὐτοὺς ἀνθρωπίνων ἅψασθαι. οὗτος ἐκστρατεύσας κατὰ Περσῶν, προεβάλοντο οἱ στρατιῶται Μαξιμῖνον. Μαμαία ἡ Ἀλεξάνδρου μήτηρ θεοσεβὴς ἐτύγχανε, καὶ τὸν Ὠριγένην ἐν Ἀντιοχείᾳ διετρίβοντα μετεπέμψατο πρὸς αὐτὴν τοῦ διδαχθῆναι τὸ κατὰ Χριστὸν μυστήριον.

5. Ἄβιτος Ἀντώνιος· Βασιὰν δὲ καὶ Ἡλιογάβαλος m. 8. ὡς φησι Δίων.

regemque appellavit, pecunia deinde corruptis militibus Macrinum vicit, qui in fuga cum filiis suis interfectus est.

Avitus.

Avitus tres annos et 9 menses regnavit. feminae hic similis erat ita ut Hieroclem legitimum sibi maritum faceret. trucidatus est propter impuritatem et turpiter vitam finivit. regnavit post eum Alexander, frater eius. Avitus medicum oravit ut arte sibi utrumque sexum tribueret rima adversa facta.

Alexander.

Alexander, Mammaeae filius annos 13 mensesque 8 regnavit. fuit sub eo Romae annonae caritas tanta, ut vel humana carne vescerentur. qui cum contra Persas bellum gereret, milites Maximinum elegerunt. Mamaea, Alexandri mater, pia fuit et Origenem Antiochiae degentem ad se arcessivit ut Christi mysterium se doceret.

Μαξιμῖνος.

Μαξιμῖνος ἐβασίλευσεν ἔτη ς'. οὗτος ποιμὴν ὢν καὶ μετὰ ταῦτα στρατιώτης γεγονώς, εἶθ' οὕτως στρατηγὸς Ἀλεξανδρείας, ὑπὸ τοῦ δήμου καὶ τῆς βουλῆς προεβλήθη βασιλεὺς δι' ἀνδρείαν καὶ φρόνησιν, μετὰ δὲ ταῦτα ἀπεσφάγη δολίως παρὰ Μαξίμου καὶ Βαλβίνου, ἄξιον τῆς ἑαυτοῦ ἀνοσιουργοῦ γνώμης εὑρὼν τὸ τέλος. Μαξιμῖνος ἔχθει τῷ πρὸς Ἀλέξανδρον πολλοὺς Χριστιανοὺς ἔχοντα καὶ τιμῶντα διωγμὸν ἤγειρε μέγαν κατὰ Χριστιανῶν.

Μάξιμος καὶ Βαλβῖνος.

Μάξιμος καὶ Βαλβῖνος ἐβασίλευσαν ἡμέρας κβ'· τῷ αὐτῷ δὲ τρόπῳ ἀπεσφάγησαν καὶ οὗτοι ὑπὸ τῶν στρατιωτῶν. ὁμοίως καὶ Γορδιανὸς ὁ προγεγονὼς Καῖσαρ παρὰ Μαξίμου καὶ αὐτὸς βασιλεύσας ἀνῃρέθη, ὡς κωλύσαντος Φιλίππου τοῦ ἐπάρχου τὸν σῖτον διακομισθῆναι τῷ στρατῷ. οὗτος δὲ ὁ Φίλιππος ἦν πατὴρ τῆς ἁγίας μάρτυρος Εὐγενίας. ἐπὶ Μαξίμου καὶ Γορδιανοῦ Ἀφρικανὸς ὁ συγγραφεὺς ἐγνωρίζετο.

Γορδιανός.

Γορδιανὸς Καῖσαρ περὶ ἔτη παν γεγονὼς ιγ' αὐτοκράτωρ ἐψηφ' β τῆς συγ'

8. *Ἀλεξάνδρειαν — ἔχοντι καὶ τιμῶν* C. corr Cedrenus.

MAXIMINUS.

Maximinus 6 annos regnavit. qui quum antea pastor fuisset, miles factus Alexandriae praefectus est et a senatu populoque propter virtutem et sapientiam imperator est declaratus. postea vero dolo interfectus est a Maximo et Balbino, dignam impio animo mortem expertus. Maximinus odio ductus Alexandri, qui multos Christianos circa se habebat honorabatque, magnam Christianorum persecutionem excitavit.

MAXIMUS ET BALBINUS.

Maximus et Balbinus 22 dies regnarunt. hi quoque eodem modo a militibus trucidati sunt. item Gordianus Maximum praecedentem imperatorem interfecit ipseque est interfectus prohibente Philippo praefecto, quominus commeatus ad exercitum portaretur. hic Philippus pater fuit sanctae Eugeniae martyris. sub Maximo et Gordiano Africanus historicus floruit.

GORDIANUS.

Gordianus 13 annos Caesar fuit; imperator declaratus 6 annos

τε ἀνεδείχθη ἔτη ς', καὶ τὴν Ῥωμαίων ἀρχὴν ἀνεδέξατο, εἶτα ὑπὸ Φιλίππου ἐπάρχου ἐπιβουλευθεὶς ἐτελεύτησε.

Φίλιππος.

ἐψνς' β τῆς σνε' Φίλιππος ἐβασίλευσεν ἔτη πέντε, ὃς ὑπῆρχε μὲν τῆς τῶν Χριστιανῶν πίστεως σπουδαστής, συνέσει καὶ ἐπιεικείᾳ κεκοσμημένος, ὥρμᾶτο δὲ ἀπὸ Βόστρας, ἔνθα καὶ πόλιν ᾠκοδόμησεν ὀνομάσας αὐτὴν Φιλιππούπολιν. οὗτος σπονδὰς εἰρηνικὰς ἐποίησε μετὰ Σαβώρου βασιλέως Περσῶν, ὃς ἐθαυμάζετο ἐπὶ μεγέθει σώματος· μέχρι γὰρ ἐκείνου τοῦ χρόνου τηλικοῦτος ἄνθρωπος οὐκ ὤφθη. ἀνῃρέθη δὲ ὁ Φίλιππος ἅμα τῷ υἱῷ ἀγωνιζόμενος ὑπὲρ Χριστιανῶν ὑπὸ Δεκίου.

Δέκιος.

ἐψνή β τῆς σξ Δέκιος ἐβασίλευσεν ἔτη δύο, ὃς πολλοὺς ἁγίους ἐτιμωρήσατο καὶ θανάτῳ παρέδωκεν· ἀνῃρέθη δὲ ὑπὸ Σκυθῶν ὑποθήκαις Γάλλου καὶ Βολουσιανοῦ ἐν τέλματι ἀποπνιγεὶς μετὰ τοῦ ἰδίου υἱοῦ, ἀξίαν τιμωρίαν τῆς ἰδίας αὐτῶν θηριωδίας ἐπιτυχόντες, ὡς μηδὲ τὰ σώματα αὐτῶν εὑρεθῆναι ἤ τι μέρος ἐξ αὐτῶν. ἐπὶ τούτου ἦν Κλήμης ὁ στρωματεὺς καὶ Ἀφρικανὸς

4. Φίλιππος· τῷ δὲ δ' ἔτει Φιλίππου χιλιοστὸν ἔτος πληρωθὲν ἀπὸ Ῥωμύλου καὶ κτίσεως Ῥώμης· ἐωρτα . . . Ῥωμαῖοι μεγιστ . . . θε . . . . παρασκευήν m. 14. πάλματι C.

Romanorum regnum obtinuit. deinde a Philippo praefecto insidiis circumventus obiit.

PHILIPPUS.

Θεοδόσιος ὁ μέγας ἐβασίλευσεν ἔτη ις'. οὗτος ἦν τὴν μὲν ἀναδρομὴν τοῦ σώματος σύμμετρος, ἄμεμπτος, ὑπέρυθρος τῷ προσώπῳ, ξανθὴν ἔχων τὴν τρίχα, τὴν ῥῖνα λεπτὴν καὶ ἐπίγρυπον, χαρίεις τὴν ὁμιλίαν, τὸν τρόπον δὲ χαριέστερος, καὶ εὐγενὴς ἐξ Ἰβήρων τῶν καὶ Ἱσπανῶν, ἔχων γυναῖκα ὀνόματι Πλακίλλαν, ἐξ ἧς ἔσχεν Ἀρκάδιον καὶ Ὀνώριον. τελευτησάσης Γάλλαν ἀδελφὴν Γρατιανοῦ ἔγημε, καὶ κατὰ τῶν Σκυθῶν χωρήσας πάντας ἀνεῖλε· τοὺς δὲ τοὺς συγγενεῖς Γρατιανοῦ ἀνελόντας τυράννους ἐν Ῥώμῃ, καὶ Ἀνδραγάθιον τὸν αὐτὸν διαχειρισάμενον, πάντας θανάτῳ παρέδωκεν. [ἐπὶ δευτέρῳ δὲ] τῷ δευτέρῳ ἔτει αὐτοῦ γέγονεν ἡ δευτέρα σύνοδος ἐν Κωνσταντινουπόλει ὑπὸ πατέρων ρν', κατὰ Μακεδονίου τοῦ πνευματομάχου· ὑπῆρχον δὲ Τιμόθεος Ἀλεξανδρείας, Μελέτιος Ἀντιοχείας, Κύριλλος Ἱεροσολύμων, Γρηγόριος ὁ θεολόγος. ἀνεθεμάτισαν Μακεδόνιον περὶ τοῦ ἁγίου πνεύματος βλασφημοῦντα, καὶ σὺν αὐτῷ Σαβέλλιον καὶ Ἀπολινάριον. ἀπέχει οὖν ἡ δευτέρα σύνοδος ἀπὸ τῆς πρώτης ἔτη ἑξήκοντα· ὅτε καὶ Γρηγόριος ὁ θεολόγος τῆς ἐκκλησίας ἐξεβλήθη. ἦχθη δὲ ἐπὶ αὐτοῦ ἐν Κωνσταντινουπόλει ἡ κεφαλὴ Ἰωάννου τοῦ βαπτιστοῦ καὶ τὰ λείψανα τῶν ἁγίων μαρτύρων Τερεντίου καὶ Ἀφρικάνου, καὶ ἀπετέθησαν εἰς τὴν ἁγίαν

6. τελ.] ἧς τελ.? 19. ἐν] ἐπὶ C

Theodosius magnus.

Theodosius magnus 16 annos regnavit; decenti erat statura, non reprehendendus, facie subrubra, coma flava, parvo et aduncо naso, consuetudine gratus, gratior moribus; natus erat nobili apud Hispanos loco uxoremque habuit Placillam, ex qua sustulit Arcadium et Honorium. ea mortua Gallam, Gratiani sororem, duxit. contra Scythas profectus omnes devicit; eos vero tyrannos, qui Gratiani cognatos Romae necaverant, et ipsum Andragathium interfectorem, supplicio tradidit. altero eius anno factum est alterum Cpoli concilium patrum 150 contra Macedonium, sancti spiritus impugnatorem; aderant autem Timotheus Alexandrinus, Meletius Antiochenus, Cyrillus Hierosolymitanus, Gregorius theologus. excommunicaverunt Macedonium, qui sancto spiritui insultaverat, et cum illo Sabellium et Apollinarium. interiecti igitur inter hoc alterum primumque concilium 60 anni; tum etiam Gregorius theologus ex ecclesia pulsus est. sub eo allatum est Cpolim caput Ioannis baptistae et Terentii et Africani martyrum reliquiae, et depositae sunt in sanctae Euphemiae ecclesia

ἄπιων εἴργετο τῆς ἐκκλησίας παρὰ Ἀμβροσίου ἐπὶ πολύ· μετὰ πολλῆς οὖν ἱκεσίας καὶ μετανοίας μόλις δεχθείς, ὡς ἔθος τὰ ὅπλα προσενεγκών, τοῦ θυσιαστηρίου τοῦτον ἐκστῆναι ἐκέλευσεν Ἀμβρόσιος, διδάξας ἱερέων καὶ βασιλέων τόπον· ὃς ἐν Κωνσταντινουπόλει ἐλθὼν ἐτύπωσε τοῦτο, τῶν βασιλέων πρὸ τούτου ἔνδοθεν τοῦ θυσιαστηρίου ἱσταμένων.

Ἐν Ἀντιοχείᾳ ἡ τῆς γυναικὸς αὐτοῦ Πλακίλλης εἰκὼν φόρων ἕνεκα πλείστων ἐπιθέσεως· δι' ἣν ὀργισθεὶς ὁ βασιλεὺς ὄλεθρον ἄρδην ἠπείλησε τῇ πόλει· ἐκεκώλυτο δὲ διὰ τὸν τοῦ θυμοῦ νόμον, ὃν ὁ Ἀμβρόσιος γράψαι τοῦτον πεποίηκε. τότε καὶ Ἰωάννης ὁ Χρυσόστομος πρεσβύτερος ἐν Ἀντιοχείᾳ ὢν τοὺς ἀνδριάντας ἔγραψε.

Θεοδοσίου ἐν Μεδιολάνῳ τελευτήσαντος, τὸ σῶμα αὐτοῦ Ἀρκάδιος ἐν τῇ πόλει ἀποκομίσας κατατίθησιν ἐν τῷ ἡρῴῳ, ὅπερ ὁ ἐν ἁγίοις Κωνσταντῖνος κατεσκεύασεν εἰς ταφήν. τὴν δὲ τῆς ἀρχιερωσύνης καθέδραν κατεῖχεν Νεκτάριος.

Ἀρκάδιος.

Ἀρκάδιος ἐλθὼν ἀπὸ Ῥώμης ἐβασίλευσεν ἔτη κβ', ἐώσας ἐν τῇ Ῥώμῃ Ὀνώριον. οὗτος ἐποίησεν ἴδιον ἀριθμόν, οὓς Ἀρκαδιακοὺς ἐκάλεσεν· ἔστησε δὲ καὶ τὸν κίονα τοῦ Ξηρολόφου,

4. τύπον C 8. post ἐπιθέσεως adde κατηνέχθη.

fecto filioque suo Mediolanum Theodosius profectus ab Ambrosio ecclesia exclusus est; post multam tandem supplicationem et mutationem animi vix intromissus quum secundum consuetudinem munera offerret, iussit eum Ambrosius extra sacrarium adstare, sacerdotibus et regibus locum assignans. hoc Theodosius Cpolim reversus sancivit, ut scilicet reges extra sacrarium adstarent.

Antiochiae Placillae, uxoris eius, simulacrum quum tributorum causa violatum esset, iratus rex interitum urbi minatus est, impeditus autem est iracundiae lege, quam ut ferret Ambrosius auctor fuerat. tum temporis Ioannes Chrysostomus, presbyter Antiochenus signa scripsit.

Theodosio Mediolani mortuo Arcadius corpus eius in urbem afferri et in heroo sepeliri iussit, quod sepulchrum sanctus Constantinus aedificarat. episcopatum tenuit Nectarius.

Arcadius.

Arcadius Roma reversus 22 annos regnavit, regnante Romae Honorio. is peculiarem numerum instituit, quos Arcadianos appellavit; in Xerolopho columnam erexit, in qua simulacrum suum collocavit;

ἱδρύσας ἐν αὐτῷ τὸν ἑαυτοῦ ἀνδριάντα, καὶ πόλιν ἐν τῇ Θρᾴκῃ κτίσας ἐκάλεσεν Ἀρκαδίου πόλιν. ἐπὶ τούτου ἐξωρίσθη Ἰωάννης ὁ Χρυσόστομος συσκευῆς γεγονυίας ὑπ' Εὐδοξίας Αὐγούστης καὶ Θεοφίλου πάπα Ἀλεξανδρείας· ἐπέμφθη ἐν Κουκουσῷ. ἀσπασαμένου δὲ αὐτοῦ Ὀλυμπιάδα θυγατέρα Σελεύκου ἀπὸ ἐπάρχων καὶ ἑτέρας σεμνὰς γυναῖκας, ἐξῆλθε τῆς ἐκκλησίας, καὶ παρευθὺ πῦρ ἐξελθὸν ἐκ τοῦ θυσιαστηρίου κατέκαυσε πάντα. τῷ αὐτῷ δὲ χρόνῳ ἀντῆραν οἱ Ἴσαυροι πραιδεύοντες μέχρι Καππαδοκίας. ἐπὶ τοῦ αὐτοῦ Ἀρκαδίου εἰσῆλθε καὶ τὰ λείψανα τοῦ ἁγίου Σαμουὴλ τοῦ προφήτου, καὶ ἀπετέθησαν ἐν τῷ ναῷ αὐτοῦ πλησίον τοῦ ἑβδόμου. ἀρρωστήσας δὲ ὁ αὐτὸς βασιλεὺς τελευτᾷ, καταλιπὼν Θεοδόσιον τὸν υἱὸν αὐτοῦ, πάντας τοὺς ὑπ' αὐτὸν ὄντας ἀρίστους προαποκτείνας διὰ τὸ μεῖζον εἶναι τὸ ἐκείνου φρόνημα· ἐν οἷς ἦν καὶ Ῥουφῖνος ὁ παρ' αὐτῷ μέγα δυνάμενος. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, ἐν τῇ μεσεμβρινῇ στοᾷ, ἔνθα καὶ ἡ γυνὴ αὐτοῦ Εὐδοξία προαπετέθη ἐν λάρνακι Ῥωμαίῳ. Νεκταρίου τελευτήσαντος Ἀρκάδιος Ἰωάννην ἀπὸ Ἀντιοχείας ἀγαγὼν ποιεῖ πατριάρχην· τῶν εὐγενῶν δὲ ἦν ὁ Ἰωάννης καὶ ἐλλόγιμος, ᾧ καὶ Λιβάνιος ἐμαρτύρησε· πυθομένων γὰρ τῶν αὐτοῦ φοιτητῶν τίνα ἀντ' αὐτοῦ προΐστησι τῷ διδασκαλείῳ, "Ἰωάννην" ἔφη "εἰ μὴ ἐσυλήθη ὑπὸ τῶν Γαλιλαίων." μεταξὺ Ἰωάννου καὶ

20. ὧν C 21. γὰρ] δὲ γὰρ C

urbem in Thracia conditam Arcadiupolim nominavit. sub hoc Ioannes Chrysostomus in exilium est missus, initis consiliis ab Eudoxia Augusta et Theophilo, Alexandriae papa; missus est Cucusum. appetens Arcadius Olympiadem, Seleuci praefecti filiam aliasque mulieres nobiles, ex ecclesia cessit, et statim ignis ex ara proveniens eum combussit totum. eodem tempore Isauri defecerunt et praedantes usque ad Cappadociam venerunt. sub Arcadio etiam Samuelis prophetae reliquiae allatae sunt et depositae in templo eius prope septimum. morbo rex mortuus est relicto Theodosio filio, quum principes sibi subiectos omnes antea trucidasset, quod maiora adspirabat; in his fuit etiam Rufinus qui multum apud eum valebat; corpus eius sepultum est in sanctorum apostolorum ecclesia, ubi iam humata erat Eudoxia uxor arca Romana. mortuo Nectario Arcadius Ioannem Antiochia arcessitum patriarcham fecit. fuit Ioannes nobilis et illustris, cuius rei Libanius testis; interrogantibus enim discipulis, quemnam suo loco scholae praeficeret, "Ioannem, inquit, nisi eum Galilaei surripuissent." inter Ioannem et Epiphanium, Cypri episcopum, per Eu-

Ἐπιφανίου τῆς Κύπρου γογγυσμὸς . . . . Εὐδοξίαν γέγονεν· ἐδήλωσε δὲ Ἰωάννης Ἐπιφανίῳ τὴν ἐν τῷ πλοίῳ αὐτοῦ τελευτήν, ὡσαύτως καὶ Ἐπιφάνιος τὴν ἐπ' ἐξορίας αὐτοῦ τελευτήν. μέλλων δὲ ἀποπλεῖν Ἐπιφάνιος ἐπὶ Κύπρον τοῖς παραπέμπουσι φίλοις ἔφη "σπεύδω ἐγώ, σπεύδω, ἀφίημι δὲ ὑμῖν τὰ βασίλεια, τὴν πόλιν καὶ τὴν ὑπόκρισιν." τελευτήσαντος Ἰωάννου ἐν τῇ ἐξορίᾳ χειροτονεῖται Ἀρσάκιος πατριάρχης.

Γαινᾶς Ἀρκαδίῳ ἀντάρας πολλὰ δεινὰ κατὰ τῆς πόλεως εἰργάσατο, πολέμου δὲ συρραγέντος κατά τε γῆν καὶ θάλασσαν αὐτὸς καὶ οἱ σὺν αὐτῷ ἀπώλοντο.

Θεοδόσιος ὁ νέος υἱὸς Ἀρκαδίου.

ἐγνδ κατὰ τὴν σις

Θεοδόσιος ὁ νέος υἱὸς Ἀρκαδίου ἐβασίλευσεν ἔτη λγ'. οὗτος ἔγημε βουλῇ Πουλχερίας τῆς ἰδίας ἀδελφῆς καὶ Παυλίνου φιλουμένου παρ' αὐτοῦ Εὐδοκίαν Ἀθηναίαν ὡραιοτάτην πάνυ, θυγατέρα οὖσαν Λεοντίου τοῦ φιλοσόφου. ἐν τῇ μεγάλῃ δὲ ἐκκλησίᾳ ἀπιόντος αὐτοῦ, προσήγαγεν αὐτῷ πένης μῆλον μέγα καὶ ὑπερφυές· ὅπερ ἰδὼν ὁ βασιλεὺς καὶ ἡ σύγκλητος ἐξεπλάγησαν, καὶ δεδωκὼς τῷ πένητι νομίσματα ἑκατὸν ἀπέστειλε τῇ Αὐγούστῃ. αὐτὴ δὲ νοσοῦντι τῷ Παυλίνῳ τῷ συμπράξαντι τοῖς γάμοις αὐτῆς ἀπέστειλε· πάλιν δὲ ὁ Παυλῖνος εἰσερχομένῳ τῷ βασιλεῖ ἐν τῷ παλατίῳ

1. . . . .] δι'?

doxiam simultas intercessit; significavit Epiphanio Ioannes, in navi eum periturum esse, itemque Epiphanius Ioannem exulantem obiturum. Epiphanius Cyprum navigaturus comitantibus amicis dixit: "festino equidem, vobis regiam, urbem et simulationem relinquens." mortuo in exilio Ioanne Arsacius patriarcha creatus est.

Gainas ab Arcadio deficiens multa mala urbi intulit, sed terra marique commissis pugnis cum suis periit.

Theodosius minor.

Theodosius minor Arcadii filius 33 annos regnavit. hic consilio Pulcheriae sororis et Paulini, quem amabat, duxit Eudociam Atheniensem pulcherrimam, Leontii philosophi filiam. quum in magnam ecclesiam iret pauper quidam homo malum ei attulit pergrande, quo viso rex et senatus mirati sunt; pauperi 100 nummos dedit et pomum Augustae misit; ea aegrotanti Paulino nuptiarum suarum effectori, misit; iterum Paulinus regi in palatium revertenti dedit. ille re perspecta ce-

ἀγνοῶν ἀπέστειλεν. ὁ δὲ γνωρίσας ἀπέκρυψε, καὶ εἰσελθὼν ἠρώτησε τὴν Εὐγούστην περὶ τοῦ μήλου. ἡ δὲ εἶπε φαγεῖν αὐτό· ὁ δὲ ὤρκωσεν αὐτὴν εἰς τὴν σωτηρίαν αὐτοῦ, μή τινι τοῦτο πέπομφεν· ἡ δὲ εἶπε φαγεῖν αὐτό· καὶ τοῦ μήλου ἐνεχθέντος γέγονεν ἔκτοτε μεταξὺ αὐτῶν λύπη καὶ ἀπομερισμός. τὸν δὲ Παυλῖνον ἀποστείλας ἀνεῖλεν ὁ βασιλεὺς νυκτί. καὶ γνοῦσα τοῦτο ἡ Εὐγούστα ὡς ὑβρισθεῖσα ἐξώρμησεν εἰς τοὺς ἁγίους τόπους, κἀκεῖ τελευτᾷ ἐν Ἱεροσολύμοις· ἐν δὲ τῷ μέλλειν τελευτᾶν ἀπωμόσατο μὴ συνειδέναι τῇ κατηγορίᾳ τῇ κατ' αὐτῆς ἔνεκε Παυλίνου.

Οὗτος δὲ ὁ Θεοδόσιος ἦν τὸ σῶμα μέσος, ὄμματα ἐς κύκλον τῶν βλεφάρων μείζονα ἔχων, μέλανά τε καὶ ὀξὺ βλέποντα, ῥὶς λεπτὴ καὶ ὀρθία, μελίθριξ· πάσης παιδείας μετασχὼν καὶ ἀστρονομίας, ἱππεύειν τε καὶ τοξεύειν ἀσκηθεὶς τοῦ μετρίου πέρα, μειλίχιος ὢν τὸν τρόπον, καὶ ἐς ἄγραν ἐπιτήδειος· ὥστε διὰ τοῦ καὶ πολλὰ τῶν κοινῶν διαπεσεῖν τῇ πρὸς τοὺς εὐνούχους κρατηθέντα αἰδῷ, οἵτινες ἦσαν Εὐτρόπιος Λαῦσος καὶ Καλοπόδιος, καὶ πρὸς τούτοις Χρυσάφιος αὐτὸν κατεδουλώσατο. ὁ δὲ αὐτὸς βασιλεὺς Θεοδόσιος πέμψας εἰσήγαγε τὸ λείψανον Ἰωάννου τοῦ Χρυσοστόμου καὶ ἀπέθετο ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων ἀποστόλων. ἐπὶ αὐτοῦ δὲ ἀπετέθη καὶ τὰ λείψανα τῶν ἁγίων Στεφάνου καὶ Λαυρεντίου.

Ἐν δὲ τῷ τρισκαιδεκάτῳ αὐτοῦ ἔτει γέγονε καὶ ἡ τρίτη

16. διαπεσεῖς C

lavit et Augustam de malo interrogavit; illa sese edisse aiebat. tum rex eam per salutem iurare coegit nemini se misisse; et regina se edisse confirmavit. malo vero allato orta est inter eos moestitia et discordia. Paulinum rex noctu interfici iussit. quod quum Augusta comperisset, ut offensa in sacra loca profecta est et Hierosolymis obiit; moribunda vero quum esset, iureiurando contendit, innocentem sese Paulini causa accusatam esse.

Hic Theodosius corpore fuit mediocri, oculi palpebris erant maiores, nigri et acuti, nasus tenuis et rectus, crinis flavus; omni doctrina et astronomia erat institutus, equitandi et iaculandi supra modum peritus, moribus mitissimus et venationis peritissimus, ita ut multa in re publica eunuchorum verecundia negligerentur; ii erant Eutropius Lausus et Calopodius, et praeter eos Chrysaphius eum sibi subegerat. Theodosius rex misit, qui Chrysostomi reliquias referrent, quas in sunctorum apostolorum ara consecravit. sub eodem Stephani et Laurentii reliquiae consecratae sunt.

Anno eius 13 Ephesi tertia synodus fuit 200 patrum, in quibus

σύνοδος ἡ ἐν Ἐφέσῳ ὑπὸ διακοσίων πατέρων, ἐξ ὧν Κύριλλος Ἀλεξανδρείας, Κελεστῖνος πάπας Ῥώμης, Ἰουβεναλίος Ἱεροσολύμων, κατὰ Νεστορίου ἐπισκόπου Κωνσταντινουπόλεως καὶ Ἀλεξάνδρου Ἱεραπόλεως, λέγοντος μὴ εἶναι θεοτόκον ἀλλὰ Χριστοτόκον. καὶ τοῦτον ἀναθεματίσαντες, ἐκήρυξαν θεοτόκον κυρίως καὶ ἀληθῶς τὴν ἁγίαν παρθένον Μαρίαν. ἀπέχει δὲ τῆς δευτέρας ἡ τρίτη ἔτη ὀκτώ· ὅτε καὶ οἱ ἑπτὰ παῖδες ἀνέστησαν οἱ κοιμηθέντες ἐπὶ Δεκίου.

Ἐξῆλθε δὲ ὁ βασιλεὺς Περσῶν κατὰ Ῥωμαίων, ἀπέστειλε δὲ ὁ βασιλεὺς Προκόπιον στρατηλάτην κατ' αὐτῶν. ὁ δὲ Περσῶν βασιλεὺς δηλοποιεῖ Προκοπίῳ ὡς ὅτι ποιῶ πάκτα εἰρήνης μετὰ Ῥωμαίων ἐπὶ πεντήκοντα ἔτη, ἐὰν ἡττηθῇ ὃν προβάλλομαι Πέρσην εἰς τὸ μονομαχῆσαι· εἰ δὲ ἡττηθῇ παρ' αὐτοῦ ὁ ἐξ ὑμῶν μέλλων μονομαχεῖν, αὐτὸν λαμβάνειν με κεντηνάρια πεντήκοντα καὶ τὰ ἔξ ἔθους δῶρα πάντα. τοῦτο δοξάντων ἐξῆλθε ὁ Πέρσης, ὁ δὲ στρατηλάτης προεβάλετο Ἀρεόβινδον κόμητα φοιδεράτων. καὶ ἐξελθόντες ἔνοπλοι καὶ ἔφιπποι, τοῦ Ἀρεοβίνδου σώκιστρον κατέχοντος, καὶ πρώτου Πέρσου ὁρμήσαντος κατ' αὐτοῦ, ὑποπλαγίασας ὁ Ἀρεόβινδος ἐσώκισεν αὐτὸν τῷ σωκίστρῳ ᾧ ἐπεφέρετο, καὶ κατενεγκὼν ἐκ τοῦ ἵππου ἔσφαξε· καὶ ἐποίησε πάκτα εἰρήνης ὁ βασιλεὺς Περσῶν. εἰσελθὼν δὲ ἐν τῇ πόλει Ἀρεόβινδος, καὶ μεγάλως παρὰ τοῦ βασιλέως ἀποδεχθείς, προήχθη ὕπατος. ὁ δὲ αὐτὸς βασιλεὺς καταλύσας τὸ χερσαῖον τεῖχος τῆς πόλεως, καὶ προσ-

15. τούτων?

Cyrillus Alexandrinus, Celestinus papa Romanus, Iuvenalis Hierosolymitanus contra Nestorium Cpolis episcopum et Alexandrum Hierapolitanum, qui dicebant, non esse genitricem dei, sed Christi. hoc excommunicato docuerunt, esse re vera dei genitricem sanctam virginem Mariam. abest haec tertia a secunda 8 annos. tum temporis 7 liberi surrexerunt, qui sub Decio dormitum procubuerant.

Persarum rege contra Romanos profecto, rex Procopium ducem contra eos misit. ei Persarum rex nunciavit, pacem se cum Romanis 50 annorum pacisci velle, si vinceretur Persa, quem certamini propositurus esset; contra si vinceretur Romanus, poscere se 50 centenaria et cetera dona usitata. quae cum viderentur, Persa processit; dux vero Areobindum, foederatorum comitem elegit. qui cum armati et equis insidentes abissent Areobindus adortum sese Persam laqueo irretivit, et ab equo detractum occidit. tum Persarum rex pacem iniit. Areobindus in urbem reversus benigne a rege exceptus et consul creatus est. rex dirutis a parte continentis terrae moenibus

θεὶς ἄλλα διαστήματα δύο, ᾠκοδόμησεν ἕτερον τεῖχος διὰ Κύρου ἐπάρχου σοφωτάτου καὶ ἱκανοῦ, δι' ἡμερῶν ἑξήκοντα.

Μετὰ δέ τινα χρόνον ἐξῆλθεν ὁ βασιλεὺς ἱππασθῆναι, καὶ συμπεσόντος αὐτῷ τοῦ ἵππου πληγεὶς εἰσῆλθεν ἐν λεκτικίῳ, καὶ καλέσας τὴν ἀδελφὴν Πουλχερίαν εἶπεν αὐτῇ διὰ Μαρκιανὸν τὸν μετ' αὐτὸν βασιλεύσαντα. "τοῦτο γάρ μοι" φησὶν "ὁ Θεολόγος Ἰωάννης ἀπεκάλυψεν ἐν Ἐφέσῳ μοι ὄντι." καὶ μεταστειλάμενος Μαρκιανὸν εἶπεν αὐτῷ "ἐπὶ Ἄσπαρος καὶ τῆς συγκλήτου ἐδείχθη μοι ὅτι σὲ δεῖ γενέσθαι βασιλέα μετ' ἐμέ." καὶ μεθ' ἡμέρας δύο ἐτελεύτησε.

Πουλχερία ἡ βασιλίς, καίπερ νέα οὖσα, ἄριστα τὴν βασίλειαν ἐδιώκει διὰ τὸ τὸν ἀδελφὸν αὐτῆς καὶ βασιλέα Θεοδόσιον πάνυ μικρὸν εἶναι· ἐπαίδευσε δὲ καὶ τὸν ἀδελφὸν σωφρόνως βιοῦν, καὶ αὐτὴ τὴν ἰδίαν παρθενίαν θεῷ προσανέθηκε, καὶ τὰς ἀδελφὰς Ἀρκαδίαν καὶ Μαρίναν τὰ ὅμοια πράττειν ἐδίδαξεν. Ἀρσακίου τελευτήσαντος Ἀττικὸς ὁ ἐν ἁγίοις χειροτονεῖται πατριάρχης. ἐπὶ Θεοδοσίου Ἄσπαρ καὶ Ἀρδαβούριος προχειρίζονται δομέστικοι ἀνατολῆς τε καὶ δύσεως. Ἀττικοῦ τελευτήσαντος Σισίνιος προχειρίζεται· τούτου τελευτήσαντος Νεστόριος γέγονε πατριάρχης· τούτου καθαιρεθέντος Πρόκλος ἀντ' αὐτοῦ χειροτονεῖται, ὅτε καὶ τὸ λείψανον τοῦ Χρυσοστόμου ἐν τῇ πόλει μετετέθη ὑπὸ Θεοδοσίου παρακλήσει Πρόκλου πατριάρχου. ἐπὶ αὐτοῦ ἐν τῇ

interiecto spatio 60 diebus nova exstruxit per Cyrum praefectum prudentissimum et idoneum.

Paulo post rex equitatum egressus collapso equo afflictus in lectica reversus est et arcessita Pulcheria sorore, dixit factum esse ob Marcianum post se regnaturum. "illud enim, inquit, Ioannes theologus Ephesi mihi declaravit." tum arcessito Marciano dixit "ab Aspare et senatu dictum mihi est, "post me te esse regnaturum." duobus diebus post obiit.

Pulcheria regina quamquam iuvenis optime civitatem administravit donec frater eius, Theodosius rex puer erat; fratrem ad modestam vitam educavit suamque virginitatem deo consecravit, quod etiam Arcadiae et Marinae sororibus persuasit. mortuo Arsacio Atticus sanctus patriarcha electus est. sub Theodosio Aspar et Ardaburius protectores creati sunt orientis et occidentis. Attico mortuo Sisinius electus est, et hoc mortuo Nestorius patriarcha factus est; eo occiso in eius locum suffectus est Proclus, quo hortatore Theodosius Chrysostomi reliquias afferri iusserat. sub hoc in supplicatione puer e

λιτῇ τοῦ κάμπου ἤρθη παιδίον μετέωρον ἐπὶ ὥρας πολλάς, ὃ καὶ ἐπήκουσε θείας φωνῆς, μὴ προστιθέναι ἐν τῷ τρισαγίῳ "ὁ σταυρωθεὶς δι' ἡμᾶς," ὃ καὶ μέχρι τοῦ νῦν ᾄδεται.

Θεοδόσιος ὁ βασιλεὺς εὐμετάγωγος ἦν σφόδρα, πειθόμενος τοῖς ὑποβάλλουσιν αὐτῷ οἰκείοις, ὥστε καὶ χάρτας ἀπαραγνώστως ὑπέγραφεν· ὅπερ γνοῦσα Πουλχερία ἡ αὐτοῦ ἀδελφὴ σοφῶς ὑπῆλθεν αὐτόν, δωρεὰν ὑποβάλλουσα Θεοδοσίῳ ἐκχωροῦσαν πρὸς δουλείαν Εὐδοκίαν τὴν γαμετὴν αὐτοῦ, ἣν καὶ ὑπέγραψε, καὶ δεινῶς ὑπὸ τῆς Πουλχερίας ὠνειδίσθη. Πρόκλου τελευτήσαντος Φλαβιανὸς ἀνὴρ ἱερώτατος τῆς ἐκκλησίας προέστη.

Ἐκ τῶν Γότθων ἔθνη γέγονε τέσσαρα, Γότθοι Ὑπόγοτθοι Γήπεδες καὶ Οὐάνδιλοι, ἐξ ὧν Ἄβαρις ἤρξατο διαπερᾶν ἐν τῇ Ῥωμαίων γῇ. Χρυσάμφιον εὐνοῦχον πολλὰ δυνάμενον παρὰ τῷ βασιλεῖ Θεοδοσίῳ ὡς καὶ Νεστορίῳ προσκείμενον, μετὰ θάνατον Θεοδοσίου Πουλχερία ἀνεῖλε. Κῦρος ἔπαρχος τῆς πόλεως, ἀνὴρ σοφώτατος καὶ ἱκανός ἔκτισε τὰ τείχη τῆς πόλεως, ὅπερ ἐξέπληξε τὸν δῆμον διὰ τὸ κάλλος καὶ τὸ τάχος τῆς τοῦ τείχους κτίσεως· καὶ ἐποίησεν ἐκβοῆσαι καθεζομένου τοῦ βασιλέως ἐν τῷ ἱππικῷ "Κωνσταντῖνος ἔκτισε, Κῦρος ἀνενέωσε." φθονηθεὶς οὖν διαβάλλεται ὡς ἑλληνόφρων· δεσμευθεὶς οὖν καὶ ἀποκαρεὶς χειροτονεῖται ἐν Σμύρνῃ ἐπίσκοπος. ἐπὶ τούτου τὰ τέλη γέγονεν ἐν

7. σοφὸν C 8. ἐκχωροῦσα C

campo in aerem sublatus est et multas horas sublimis mansit; is divinam vocem audivit, ne in tersancto "qui crucifixus est pro nobis" adderetur; idque nunc etiam ita canitur.

Theodosius rex admodum infirma erat voluntate, familiaribus suis consulentibus obsequens, ita ut etiam non perlectas litteras subscriberet. quod quum Pulcheria soror comperisset callide eum lusit; petiit a Theodosio, ut Eudociam uxorem sibi in servitutem traderet; quod quum ille subscripsisset, magnopere a Pulcheria vituperatus est. mortuo Proclo Flabianus, vir sanctissimus, ecclesiae praeerat.

Gothi in 4 gentes se diviserunt, in Gothos, Hypogothos, Gepidas et Vandalos, e quibus Abaris in Romanorum imperium invadere coepit. Chrysamphium eunuchum, qui multum apud Theodosium valuerat, et Nestorium sectabatur post Theodosii mortem Pulcheria trucidavit. Cyrus, urbi praefectus, homo sapientissimus et idoneus, moenia urbis aedificavit et pulchritudine muri et celeritate operis populi admirationem movit; quo effecit ut praesente in circo rege exclamaret: "Constantinus condidit, Cyrus renovavit." ob hoc invisus accusatus est ut Graecorum studiosus et vinctus tonsusque Smyrnam

Κωνσταντινουπόλει σεισμὸς μέγας, ὥστε πολὺ μέρος τῆς πόλεως καταπεσεῖν.

Μαρκιανὸς ὁ γαμβρὸς Θεοδοσίου.

Μαρκιανὸς ἐβασίλευσεν ἔτη ἓξ καὶ μῆνας πέντε, στεφθεὶς ἐξ' ὑπὸ Ἀνατολίου πατριάρχου. οὗτος ὁ Μαρκιανὸς ἦν πρεσβύτης τὴν ἡλικίαν, αἰδέσιμος, ἱεροπρεπὴς τῇ καταστάσει, ἐρύθημα ἐπὶ τοῦ προσώπου φέρων κεκερασμένον χάριτι, μεγαλόψυχος, φιλαργυρίας ὑπέρτερος, σώφρων καὶ περὶ τὰ θεῖα εὐλαβής, πρὸς τοὺς ἁμαρτάνοντας συμπαθής, ἄπειρος δὲ παιδείας τῆς ἔξωθεν. ἔγημε δὲ ὁ αὐτὸς θειότατος Μαρκιανὸς Πουλχερίαν τὴν ἀδελφὴν Θεοδοσίου τοῦ βασιλέως, οὖσαν πεντήκοντα τεσσάρων ἐτῶν παρθένον καὶ μὴ διαφθαρεῖσαν.

Ἐπὶ τούτου γέγονεν ἡ τετάρτη σύνοδος ἐν Καλχηδόνι ὑπὸ πατέρων χλ', κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου καὶ Νεστορίου τῶν ματαίων, λεγόντων μὴ εἶναι τὴν σάρκωσιν τοῦ κυρίου ὁμοούσιον ἡμῖν, ἀλλ' ἐκ δύο φύσεων τὴν ἕνωσιν λέγεσθαι, μίαν δὲ ἀποτελεσθῆναι μετὰ τὴν ἕνωσιν, καὶ ὡς ἐν φαντασίᾳ φορέσαι τὴν σάρκα τὸν κύριον καθομολογούντων, καὶ θεότητι πάθος ἀπονεμόντων. ἦγοῦντο δὲ Λεόντιος Ῥώμης, Ἀνατόλιος Κωνσταντινουπόλεως, Ἰουβενάλιος Ἱεροσολύμων. εἰσῆλθον δὲ καὶ τὰ λείψανα τοῦ ἁγίου προφήτου Ἡσαΐου ἐνεχθέντα ἀπὸ Νεάδος, καὶ κατετέθησαν εἰς τὸν ἅγιον Λαυρέντιον. τῷ δὲ

episcopus est missus. sub finem imperii Theodosii Cpoli terra percussa est, et magna urbis pars concidit.

MARCIANUS.

Marcianus 6 annos et 5 menses regnavit, coronatus ab Anatolio patriarcha. hic aetate erat provectior, venerabilis, optimis moribus, in facie ruborem gratia temperatum habens, magnanimus, avaritiae expers, moderatus et religiosus, misericors in peccatores, ceterum disciplinarum rudis. duxit hic divinissimus Marcianus Pulcheriam, 54 annorum virginem incorruptam.

Sub hoc Chalcedone quarta synodus fuit 630 patrum contra Eutychetem, Dioscurum et Nestorium, homines vanos, qui dicebant, non esse carnem domini nobis similem, sed duas naturas iunctas esse et unam factam, et dominum tantem speciem carnis circumtulisse, divinitatem passam esse aiebant. principes in concilio fuerunt Leontius Romanus, Anatolius Cpolitanus, Iuvenalis Hierosolymitanus. apportatae sunt etiam Neade Iesaiae prophetae reliquiae, quae in sanctuario

τρίτῳ ἔτει αὐτου ἐκοιμήθη Πουλχερία, ἥτις κτίζει τὸν ναὸν τῆς ὑπεραγίας θεοτόκου τὸν ἐν τοῖς Χαλκοπρατείοις καὶ τὸν ἐν Βλαχέρναις, καὶ τοὺς αὐτῶν ὀρόφους χρυσῷ ἐποίκιλέ τε καὶ ἐκαλλώπισε.

Τυφθεὶς δὲ τοὺς πόδας αὐτοῦ Μαρκιανὸς ἔτι ἐν στρατείᾳ ὢν καὶ νοσήσας ὑπελείφθη ἐν πόλει Σύδιμα· ἀναρρωσθεὶς οὖν ᾠκειώθη δυσὶν εὐπόροις ἀδελφοῖς, ἅμα δὲ αὐτοῖς ἐπὶ θήραν ἐξιών, ὡς μεσημβρίας πάντες ἀναπαυσάμενοι ὕπνωσαν. ἔξυπνοι δὲ γενόμενοι οἱ αὐτάδελφοι ὁρῶσιν ὑπνοῦντα ἐν ἡλίῳ Μαρκιανόν, ὑπὸ ἀετοῦ δὲ περισκεπόμενον· ἐκπλαγέντες οὖν διυπνισθέντι λέγουσιν αὐτῷ "εἰ βασιλεύσεις, τί ἡμῖν χαρίσῃ;" ὁ δὲ διαπιστῶν ὅμως ἔφη "ἀντὶ πατρὸς ἔχειν ὑμᾶς." δόντες οὖν αὐτῷ νομίσματα διακόσια ἀπέστειλαν ἐν τῇ πόλει, "μέμνησο ἡμῶν ὁπόταν εὐτυχῇς" φήσαντες. ὁ δὲ εἰσελθὼν προσεκολλήθη τῷ Ἄσπαρ καὶ Ἀρδαβουρίῳ. εἶθ' οὕτω μετὰ Ἄσπαρος εἰς Ἀφρικὴν ἐλθὼν ἐζωγρήθη· ὑπνοῦντος δὲ ἐν τῇ αὐλῇ ἐξ οἴκου ἀετὸς αὖθις κατελθὼν ἐπέσκεπεν αὐτόν· ὁραθεὶς δὲ παρὰ Γιζερίχου, τοῦτον ἀνελεῖν ᾠήθη ὡς βασιλεύσειν μέλλοντα Ῥωμαίων. λογισάμενος δὲ ὡς τὴν τούτων βουλὴν κωλῦσαι ἀδύνατον, σπονδὰς εἰρήνης μετ' αὐτοῦ ποιήσας ἐξαπέστειλε. Φλαβιανοῦ τελευτήσαντος ἐπὶ Μαρκιανοῦ Ἀνατόλιος προχειρίζεται. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ἡρώῳ.

20. τούτων] τοῦ θεοῦ?

Laurentii collocatae sunt. tertio eius anno obiit Pulcheria quae sanctissimae dei genetricis templum condidit Chalcopratiis et Blachernis; eadem tecta auro exornavit.

Marcianus, quum miles adhuc esset, pede vulneratus Sydimae urbe relictus est; refectis viribus apud duos fratres divites degit; cum iis venatum exiit, et meridie quiescentes quum procubuissent, fratres ex somno dormientem in sole viderunt Marcianum aquila obtectum, qua re stupefacti "si quando, inquiunt, rex eris, quomodo nobis gratificaberis?" ille non credens id fore tamen dixit "pro patre vos habebo;" tum fratres 200 nummos ei dederunt eumque in urbem miserunt dicentes "recordare nostri quum tibi bene erit." ille abiit et Aspari se adiunxit et Ardaburio. postea cum Aspare in Africam profectus captus est; dormiente eo in aula aquila descendit et eum operuit. quod quum Gisericus vidisset, eum ut regem Romanorum futurum trucidare voluit; sed quum reputasset, dei voluntatem irritam fieri non posse, pacis conditionibus cum eo initis eum dimisit. mortuo Flabiano sub Marciano Anatolius creatus est. corpus eius in apostolorum ecclesia sepultum est.

Λέων ὁ μέγας ὁ Μακέλλης.

Λέων ὁ μέγας ὁ Μακέλλης ἐβασίλευσεν ἔτη ιη', διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ διὰ τὸ εἶναι ὀρθόδοξος προβληθεὶς παρὰ Ἄσπαρ καὶ Ἀρδαβουρίου· τούτους γὰρ βουληθέντας τῆς βασιλείας κρατῆσαι οὐκ εἴασεν ἡ σύγκλητος, Ἀρειανοὺς ὄντας· οὓς ὁ βασιλεὺς Λέων βλέπων μὴ ὀρθὴν πίστιν πρὸς αὐτὸν ἔχοντας, ἀλλὰ πάντα τὰ πράγματα ὑπὸ τὴν διοίκησιν αὐτῶν βουλομένους εἶναι, ἀνεῖλεν αὐτούς, γράψας καὶ πρὸς Ἀνθέμιον βασιλέα Ῥώμης ἐπιστολήν τινα περιέχουσαν καὶ τοῦτο ὅτι ἐγὼ ἐφόνευσα Ἄσπαρα καὶ Ἀρδαβούριον, ἵνα μηδείς μοι ἐναντιοῦται κελεύοντι. μάκελ δὲ λέγεται Ῥωμαϊστὶ ὁ φονεύς. ἐξοή διπτιῶνος ζ

Οὗτος δὲ ὁ Λέων ἦν κάτισχνος μὲν τὸ σῶμα, ὑπόσπανος δὲ τὴν γενειάδα, καὶ τὰς ὄψεις ἄγαν ἐκτετηκώς, φρονήσει δὲ κεκοσμημένος, εἰ καὶ παιδείας καὶ μαθημάτων ἐκτός. Ἄσπαρ δὲ ἠτήσατο τὸν βασιλέα Λέοντα ἐγκαταστῆσαι τῇ πόλει ἔπαρχον τῆς ἑαυτοῦ γνώμης ὁμόφρονά τε καὶ ὁμόδοξον· ὃ κατένευσε μὲν ὁ βασιλεὺς ποιῆσαι, μὴ βουλομένου δέ, ἐννύχιον δεδήλωκεν ἐνὶ τῶν συγκλητικῶν τοῦ παραγενέσθαι ἔωθεν ἐν τῇ προελεύσει· τοῦ δὲ παραγενομένου, προσκαλεσάμενος αὐτὸν ὁ βασιλεὺς τῆς πόλεως ἔπαρχον προεβάλετο. Ἄσπαρ δὲ παρ' ἐλπίδας ἰδὼν καὶ ἐκπλαγεὶς ἐπὶ τούτῳ, εἰσελθὼν ἐκράτησε τοῦ ἱματίου τοῦ βασιλέως, καὶ φησὶ πρὸς αὐτὸν "βασιλεῦ, τὸν ταύτην τὴν ἁλουργίδα περιβεβλημένον

11. *σφαγεύς* m. 18. *Εὐνύχιον* C. cf. Cedrenus I p. 607 19.
22. τοῦτο C

Leo magnus Macelles.

Leo magnus Macelles 18 annos regnavit, propter virtutem et quod orthodoxus erat ab Aspare et Artaburio creatus. eos enim, quum ipsi imperio potiri vellent, senatus, quod Ariani erant, impedivit; quos quum Leo imperator videret non veram fidem habere, et cupere, ut omnia ipsi administrarent, eos interfecit, scriptis ad Anthemium Romae regem litteris, quae hoc quoque continebant, „Asparem et Ardaburium occidi, ne quem habeam iussis meis sese opponentem. macel autem latine est interfector.

Hic Leo corpore erat macerrimo, barba rara, oculis admodum siccis, prudentia ornatus, litteraurm et disciplinarum rudis. Aspar a Leonte postulavit, ut urbi praefectum crearet virum secum consentientem; quod quum rex annuisset se facturum sed invitus, noctu senatorum cuidam mandavit, mane adesse; eum rex praefectum fecit. Aspar vero, quum praeter spem accidere videret, et re stupefactus, regem pallio reprehendit et, "rex, inquit, hac purpura indutum men-

οὐ χρὴ διαψεύδεσθαι." "ἀλλὰ μὴν καὶ τοῦτο" φησὶν ὁ βασιλεὺς "προσήκει τῷ βασιλεῖ, τὸ μὴ ὑπείκειν τινὶ καὶ ὑποκεῖσθαι, μάλισθ' ὅταν τοῦ κοινοῦ σύμφορον ᾖ."

Ἐπὶ τούτου δὲ ἠνέχθη ἐσθὴς τῆς ὑπεραγίας θεοτόκου ἐξ Ἱεροσολύμων, εὑρεθεῖσα παρά τινι γυναικὶ εὐλαβεστάτῃ Ἑβραΐδι καὶ παρθένῳ, καὶ τὰ λείψανα τῆς ἁγίας Ἀναστασίας, καὶ κατετέθη ἐν τῷ μαρτυρίῳ αὐτῆς. ἐπὶ αὐτοῦ δὲ γέγονε καὶ ὁ μέγας ἐμπρησμὸς ἀπὸ τοῦ νεωρίου ἀρξάμενος καὶ μέχρι τοῦ ἁγίου Θωμᾶ κατελθών, ἀφ' οὗ καὶ κόνις ἐξ οὐρανοῦ κατηνέχθη, ὥστε κεῖσθαι εἰς τοὺς κεράμους ἕως σπιθαμῆς. ἐν δὲ ταῖς ἡμέραις αὐτοῦ ἦν καὶ ὁ ἅγιος Δανιὴλ ὁ στυλίτης ἐν τῷ Ἀνάπλῳ, εἰς ὃν καὶ πολλὴν πίστιν εἶχεν ὁ αὐτὸς βασιλεύς. νόσῳ δὲ τελευτᾷ.

Ἐπὶ Λέοντος, Ἀνατολίου τελευτήσαντος, Γεννάδης προχειρίζεται πατριάρχης· προεβάλετο δὲ Μαρκιανὸν οἰκονόμον τῆς τῶν καθαρῶν ὄντα θρησκείας, εἰς δὲ τὴν ἐκκλησίαν μετελθόντα. ὃς ἐν τῷ ἐμπρησμῷ εἰς τοὺς κεράμους ἀνελθὼν τῆς ἁγίας Ἀναστασίας, κατέχων τὸ εὐαγγέλιον, ἀβλαβῆ τὸν οἶκον διέσωσε, τοῦ πυρὸς καμαροειδῶς ὑπερβάντος ἄνωθεν αὐτῆς.

Ἐπὶ Γενναδίου ἡ χεὶρ τοῦ ζωγράφου ἐξηράνθη τοῦ ἐν σχήματι Διὸς τὸν σωτῆρα ζωγραφήσαντος, ὃν δι' εὐχῆς ἰάσατο ὁ Γεννάδιος. φασὶ δὲ ἄλλο σχῆμα τοῦ σωτῆρος τὸ οὖλον καὶ ὀλιγότριχον· ὑπάρχει δὲ τὸ ἀληθέστερον. ἐπὶ Λέον-

1. τῷ κοινῷ ἀσύμφορον?

tiri dedecet." "sed illud, rex inquit, regem decet, ne cui cedat vel obediat, praesertim, quum rei publicae prodest."

Sub hoc vestis sanctissimae dei matris Hierosolymis allata est inventa apud Hebraicam mulierem probissimam et virginem; etiam sanctae Anastasiae reliquiae inventae sunt et in marturio eius consecratae. sub eodem magnum incendium fuit a navalibus usque ad Thomae templum, quo pulvis de coelo deiecta tecta dodrantis altitudine operuit. fuit etiam illo tempore Anapli sanctus Daniel stylites, cui multum rex confidebat. mortuus est morbo.

Sub Leonte mortuo Anatolio Gennades patriarcha creatus est; elegit Marcianum Novatianorum cultus oeconomum, qui in ecclesiam rediit. is in incendio in sanctae Anastasiae tecta ascendit tenens evangelium et integram domum servavit igni tanquam arcu supra transeunte.

Sub Gennadio pictoris manus exaruit, qui ad Iovis figuram servatorem pinxerat; eum Gennadius precibus sanavit. dicunt autem, quod verius est, aliam fuisse servatoris figuram, crispis et raris cri-

τος Στούδιος δυνάστης ἔκτισε τὸν ναὸν τοῦ ἁγίου Ἰωάννου, καὶ μοναχοὺς ἐκ τῶν ἀκοιμήτων αὐτῷ ἐγκατέστησεν. ἐπὶ Λέοντος τὸ τοῦ προφήτου Ἐλισσαίου σῶμα μετετέθη ἐν Ἀλεξανδρείᾳ ἐν τῇ μονῇ Παύλου τοῦ λεπροῦ· λεπρὸν γὰρ ἰάσατο, καὶ λεπρὸν ἐποίησε, καὶ εἰς τὰ τοῦ λεπροῦ ἐτέθη. ἐπὶ αὐτοῦ Ἰσοκάσιος κοιαίστωρ, ὡς Ἕλλην διαβληθείς, εἰσήχθη πρὸς τὸν ἔπαρχον τῆς πόλεως δεδεμένος ὀπισθάγκωνα. ἔφη οὖν αὐτῷ Πασέως ὁ ἔπαρχος "ὁρᾷς ἑαυτόν, Ἰσοκάσιε, ἐν ποίῳ σχήματι καθέστηκας;" ὁ δὲ εἶπεν "ὁρῶ καὶ οὐ ξενίζομαι· ἄνθρωπος γὰρ ὢν ἀνθρωπίναις περιέπεσα συμφοραῖς. ἀλλὰ δίκασον ἐπ' ἐμοὶ ὡς ἐδίκαζες σὺν ἐμοί." ταῦτα μαθὼν ὁ βασιλεύς, καὶ σπλαγχνισθεὶς ἐπὶ τούτῳ, ἐλεύθερον εἴασεν.

Ἐπὶ Λέοντος μετὰ χίλια τριακόσια ἔτη τῆς τοῦ Ῥωμύλου βασιλείας, τοῦ τὴν Ῥώμην κτίσαντος, βασιλεύει Ῥωμύλος, καὶ κατέπαυσεν ἡ βασιλεία ἐπὶ Ῥωμύλου, ἀρξαμένη ἐπὶ Ῥωμύλου, Ὀδοάκρου Γότθου ῥηγὸς τὴν ἀρχὴν χειρωσαμένου. οὗτος δὲ ὁ Λέων Ζήνωνα στρατηλάτην προχειρισάμενος εἰσεποιήσατο γαμβρὸν εἰς Ἀριάδνην τὴν ἰδίαν θυγατέρα τὴν ἐκ Βερνίκης· νόσῳ δὲ ληφθεὶς ὁ αὐτὸς Λέων ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν λάρνακι πρασίνῃ ἐν τῷ τοῦ ἁγίου Κωνσταντίνου ἡρῴῳ. ἡ γυνὴ δὲ τούτου Βερνίκη ἀδελφὴ Βασιλίσκου.

7. ὀπισθάγκονα 8. Ποσαῖος Cedreno ὁ om C 16. χειρωσάμενος C

nibus. sub Leonte Studius sancti Ioannis templum condidit et monachos eo ex acoemetis duxit. Elissaei prophetae corpus Alexandriam delatum in monasterio Pauli leprosi depositum est; leprosum enim sanavit et leprosum fecit et apud leprosum depositus est. sub eo Isocasius quaestor accusatus tanquam Graecus manibus vinctus ad urbis praefectum ductus est; ei Paseos praefectus, "viden', inquit, in qua conditione verseris?" ad quod ille "video, inquit, neque miror, homo enim humanos casus subii; sed de me iudicium fer, ut una mecum ferebas." quae quum rex audiisset, misericordia ductus eum liberavit.

Sub Leonte 1300 annis post Romuli, urbis conditoris, regnum Romulus regnavit. atque cessit sub Romulo imperium, quod a Romulo inceperat, Odoacro Gothico rege, rerum potito. hic Leo Zenoni, quem ducem fecerat, Ariadnam filiam in matrimonium dedit. morbo Leo periit rege declarato Leonte nepote. corpus eius in prasia arca in Constantini heroo sepultum est. uxor eius fuerat Berenice, Basilisci soror.

Λέων ὁ μικρός.

Λέων ὁ μικρὸς ὁ ἔγγονος αὐτοῦ, ὁ ἀπὸ Ζήνωνος καὶ Ἀριάδνης, ἐβασίλευσεν ἔτος ἕν, καὶ στέψας τὸν ἴδιον πατέρα Ζήνωνα ἐτελεύτησε.

Ζήνων.

Ζήνων ἐβασίλευσεν ἔτη ἑπτὰ ἰνδικτιῶνος β'. ἐπὶ αὐτοῦ ἐκτίσθη τὸ Ἀμώριον. ἐστέφθη δὲ ὑπὸ Ἀκακίου πατριάρχου ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου, τὴν δὲ τῆς ἀρχιερωσύνης τιμὴν κατεῖχε Φραβίτας πρεσβύτερος τῆς ἁγίας Θέκλης, καὶ μετ' ἐκεῖνον Ἀκάκιος. τελευτήσαντος δὲ αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ἡρώῳ ἐν λάρνακι τεθέντος πρασίνῃ. ὁ δὲ Ζήνων διωχθεὶς μὲν τῆς βασιλείας ὑπὸ Βασιλίσκου· τοῦ γὰρ Ζήνωνος ἐν τῇ Θράκῃ διατρίβοντος, συνεργούσης Βερίνης τῷ αὐτῆς ἀδελφῷ Βασιλίσκῳ καὶ Ἀρμάτῳ ἀνεψιῷ, ἐστασίασαν κατὰ Ζήνωνος· οὓς φοβηθεὶς ὁ Ζήνων, ἐλθὼν ἐκ τῆς Θράκης σὺν Ἀριάδνῃ καὶ χρημάτων ἱκανῶν, φεύγει ἐν Ἰσαυρίᾳ εἴς τι φρούριον ὀχυρόν. μετὰ δέ τινας χρόνους τοῦ Βασιλίσκου κακῶς διοικοῦντος, καὶ διὰ τοῦτο ἄχθος τῆς συγκλήτου πρὸς αὐτὸν ἐχούσης, Ζήνων πάλιν σὺν τῇ Ἀριάδνῃ τὴν βασιλεύουσαν καταλαβὼν ἐδέχθη ὑπὸ τῆς συγκλήτου, ἀνελὼν Βασιλίσκον καὶ Ἀρμάτιον. ἐπὶ αὐτοῦ δὲ γέγονε σεισμὸς ὁ φοβερὸς ἐν Κωνσταντινουπόλει, καὶ ἔπεσον

Leo minor.

Leo minor, illius nepos Zenonis et Ariadnae filius unum annum regnavit et coronato Zenone patre mortuus est.

Zeno.

Zeno 7 annos regnavit. sub eo Amorium conditum est. coronatus est ab Acacio patriarcha in throno imperiali hippodromi. episcopatum tenuit Frabitas sanctae Theclae presbyter et post eum Acacius. mortuus sepultus est in sanctorum apostolorum heroo arcae impositus prasiae. Zeno a Basilisco imperio pulsus est; nam quum in Thracia esset conspirantes Berina cum Basilisco fratre et Armato avunculo a Zenone defecerunt. eos effugiens Zeno cum Ariadna multisque opibus in Isauriam fugit in castellum tutum. paulo post vero, Basilisco male regnante et propterea senatui peroso, Zeno cum Ariadna a senatu revocatus imperium recepit, Basilisco et Armatio occisis. sub eo

ἐκκλησίαι πολλαὶ οἰκίαι τε καὶ ἔμβολοι ἕως ἐδάφους, ἔπαθέ τε καὶ Νικομήδεια μητρόπολις.

Οὗτος δὲ ὁ Ζήνων ἦν τῆς κακίστης καὶ εἰδεχθοῦς γενεᾶς τῶν Ἰσαύρων· ἀπόγονοι γὰρ τοῦ προπάτορος αὐτῶν Ἡσαῦ ἐτυγχάνον. δασὺς καὶ αὐτὸς ὁ Ζήνων καὶ εἰδεχθέστατος, ὥσπερ Ἕλληνες ζωγραφοῦσι τὸν Πᾶνα τραγοσκέλην τε καὶ δασύκνημον, τὴν χροιὰν μέλας, τὴν ἡλικίαν ἀσύμβλητος, ὀργίλος, μνησίκακος καὶ φθόνου μεστός. Μαριανὸς δέ τις προεῖπεν αὐτῷ ὅτι καὶ τὴν βασιλείαν καὶ τὴν γυναῖκά σου διαδέχεταί τις ἀπὸ σελεντιαρίων. Πελάγιον δέ τινα ἀπὸ σελεντιαρίων ὄντα πατρίκιον, ἄνδρα σοφώτατον, ἐκέλευσε φυλάττεσθαι ἐν εἱρκτῇ· ὃν οἱ φυλάττοντες ἐν νυκτὶ ἀπέπνιξαν κατὰ κέλευσιν Ζήνωνος. μετὰ δὲ χρόνον ὀλίγον δυσεντερίᾳ ληφθεὶς ὁ Ζήνων ἐτελεύτησεν, τῶν ἀκεφάλων ὤν.

Ζήνων ἡδοναῖς ἀτόποις καὶ πράξεσιν ἀτόποις ἐσχόλαζεν· ἐφ' οὗ τὸ τοῦ ἀποστόλου Βαρνάβα λείψανον εὑρέθη ἐν Κύπρῳ ὑπὸ δένδρον κερατέαν, ἔχον ἐπὶ στήθους τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἰδιόγραφον τοῦ Βαρνάβα, ἐξ ἧς προφάσεως γέγονε μητρόπολις, καὶ μὴ τελεῖν ὑπὸ Ἀντιόχειαν ἀλλ' ὑπὸ Κωνσταντινούπολιν. τὸ δὲ τοιοῦτον εὐαγγέλιον Ζήνων ἀπέθετο εἰς τὸ παλάτιον ἐν τῷ ἁγίῳ Στεφάνῳ.

Ἐπὶ αὐτοῦ Περόζης ὁ Πέρσης ἡττηθεὶς ἐν πολέμῳ ὑπὸ Οὔννων τὸν μάργαρον, ὃν ἐφόρει λευκότατον καὶ μέγαν εἰς

16. ᾧ C 22. *Περίζες* C

terribilis terrae motus fuit Cpoli, qua multae ecclesiae, domus et porticus conciderunt, et Nicomedia metropolis aliquid passa est.

Natus fuit Zeno ex pessima et deformi gente Isaurorum, qui abnepotes erant Esavi, hirsutus et deformis, quemadmodum Graeci Panem pingunt caprípedem et villosis cruribus, niger, statura inconcinna, iracundus, iniuriarum memor et invidiosus. et Marianus quidam praedixit, regnum eius et uxorem e silentiariis quendam habiturum. Pelagium silentiarium patricium, virum sapientissimum in carcerem coniici iussit. eum custodes per noctem Zenonis iussu interfecerunt. Paulo post Zeno torminibus intestinorum mortuus est; fuerat autem ex Acephalorum haeresi.

Zeno malis libidinibus deditus erat et facinoribus. sub eo Barnabae apostoli reliquiae in Cypro inventae sunt sub arbore ceraso; in pectore iacebat evangelium Matthaei a Barnaba ipso descriptum; hanc ob causam metropolis facta est (Cyprus) neque sub Antiochia censebatur sed sub Cpoli; id evangelium Zeno in palatio reposuit in aede St. Stephani.

Sub eo Peroses, Persarum rex, bello ab Hunnis victus margari-

ὑπερβολήν, ὡς Προκόπιος ὁ Καισαρεὺς γράψει, ἐξ αὐτὸς τοῦ δεξιοῦ ἀφελόμενος ἔρριψεν, ὅπως μή τις αὐτὸν τῶν Περσῶν βασιλεὺς ὀπίσω αὐτοῦ φορέσῃ. ἐπὶ δὲ τοῦ γεγονότος σεισμοῦ ἔπεσε καὶ ἡ σφαῖρα τοῦ ἀνδριάντος τοῦ φόρου καὶ ἡ στήλη τοῦ μεγάλου Θεοδοσίου εἰς τὸν κίονα τοῦ Ταύρου.

Ὁ αὐτὸς τὴν ἰδίαν πενθερὰν Βερίναν ἐξώρισεν εἰς τὸ Παπυρίου καστέλλον, βουλῇ Ἴλλου μαγίστρου· ἡ δὲ Ἀριάδνη μηνιῶσα διὰ τὴν μητέρα παρεγγύησεν Οὐρβικίῳ ἀνελεῖν τὸν Ἴλλον. καὶ ἀνερχόμενος ὁ Ἴλλος ἐν τῷ ἱππικῷ εἰς τὸν μέγαν κοχλίαν, μετὰ ξίφους λαβὼν ἀπετμήθη τὸ δεξιὸν ὦς. ἐκ τούτου ἀνταρσίαν κατὰ Ζήνωνος ἐμελέτησε, προβληθεὶς καὶ δομέστικος τῆς ἀνατολῆς.

Ἀναστάσιος ὁ δίκορος.

Ἀναστάσιος ὁ δίκορος ἀπὸ σελεντιαρίων, ὁμοίως ἀκέφαλος ὤν, ἐβασίλευσεν ἔτη εἰκοσιεπτά. οὗτος καὶ τὸ σῶμα εὐμήκης τε, τὸν δὲ ὀφθαλμὸν χαροπός τε καὶ γλαυκὸς μετρίως, φαλακρὸς ἠρέμα καὶ πολιός. ἄγει δὲ αὐτὸν ἐπὶ μοναρχίαν Οὐρβίκιος ὃ τότε μεγίστην περὶ τὰ βασίλεια καὶ τοῖς εὐνούχοις ἔχων δύναμιν. ἐφ' οὗ Ἀναστασίου Βιταλιανὸς ὁ Θρᾷξ ἀντάρας, καὶ παραλαβὼν Θρᾷκας καὶ Σκύθας, ἦλθεν ἕως τοῦ Ἀνάπλου πραιδεύων· ἀλλὰ ναυμαχήσαντος αὐτῷ Μαριανοῦ τοῦ ἐπάρχου σοφωτάτου μετὰ τοῦ Μηδικοῦ πυρὸς καὶ θείου

16. τε] ἦν? 23. ἀπείρου cod

tam, quam portabat splendidissimam et supra modum albam, ut Procopius narrat, ex dextra auri sumpsit et abiecit, ne quis post eum Persarum rex ea se ornaret. facto sub eodem terrae motu sphaera statuae in foro decidit et magni Theodosii columna in Tauri statuam.

Idem Berinam socrum in exilium misit in Papyrium castellum Illi magistri consilio. Ariadne autem propter matrem irata hortata est Urbicium, ut Illum interficeret. atque Illo quum in circum per magnam cochleam ascenderet gladio dextra auris amputata est. ex eo tempore seditionem contra Zenonem machinatus est, factus etiam orientis domesticus.

Anastasius.

Anastasius e silentiariis quidam, acephalus, 27 annos regnavit. hic statura fuit procera, oculis trucibus et mediocriter caesiis, paululum calvus et canus. ad regnum eum evexerat Urbicius, qui tum in regia et eunuchis potestatem habebat. sub Anastasio Vitalianus Thrax defecit et iunctis sibi Thracibus et Scythis praedans usque ad Anaplum processit. sed Marianus praefectus prudentissimus Medici

ἀπύρου, οὗ κατεσκεύασε Πρόκλος ὁ φιλόσοφος, κατέφλεξε τὰς ναῦς τῶν βαρβάρων· ὁ δὲ Βιταλιανὸς ἔφυγε μετ' ὀλίγων διασωθείς.

Τοῦ δὲ βασιλέως βουληθέντος προσθεῖναι εἰς τὸν τρισάγιον τὸ "ἅγιος ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐλέησον ἡμᾶς," οἷα πειθομένου Σεβήρῳ τῷ ἀκεφάλῳ, τοῦ λογοθέτου δὲ καὶ τοῦ ἐπάρχου ἀνελθόντων ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας τοῦτο ἐκφωνῆσαι, γέγονε δημοτικὴ στάσις, ἐπιβοωμένων ἄλλον βασιλέα τῇ πόλει. ἐμπρήσαντες πολλοὺς οἴκους καὶ ταραχὰς ποιήσαντες, καὶ τὸν βασιλέα ὑβρίσαντες, ἦλθον ἕως τῆς κινστέρνης τῆς οὔσης πλησίον τοῦ ἁγίου Μωκίου, ἣν ὁ αὐτὸς βασιλεὺς ἔκτισε· καὶ τὸν ἡγούμενον τῆς μονῆς τοῦ ἁγίου Φιλίππου, ὃς ὑπὸ τοῦ βασιλέως ἠγαπᾶτο, φονεύσαντες, καὶ τὴν κεφαλὴν αὐτοῦ ἐπὶ δόρατος ἀναρτήσαντες, ἔκραζον "οὗτός ἐστιν ὁ φιλος τοῦ ἐχθροῦ τῆς ἁγίας τριάδος." ἀλλὰ καὶ γυναῖκα ἐγκλειστήν, εἰς ἣν ὁ βασιλεὺς εἶχε πίστιν, ἀνεῖλον, καὶ σύραντες ἀμφοτέρους ἔκαυσαν ἐν τῇ μονῇ τῶν Στουδίου. ὁ δὲ βασιλεὺς φοβηθεὶς πρὸς μικρὸν ἐπαύσατο τῆς αἱρέσεως.

Ἐπὶ τούτου Μούνδαρος ὁ τῶν Σαρακηνῶν φύλαρχος ἐβαπτίσθη ὑπὸ ὀρθοδόξων. Σευῆρος δὲ ἐπισκόπους ἔπεμψε πρὸς αὐτὸν δύο, θέλων αὐτῷ μεταδοῦναι τῆς οἰκείας αἱρέσεως· ὧν τοῦ δόγματος τὸ ἄτοπον αἰσθόμενος ἔφη μεθ' ὑποκρίσεως

17. Στουδίων C

ignis et sulphuris auxilio, quem Proclus philosophus confecerat naves barbarorum incendit. Vitalianus cum paucis fugit.

Rex quum ter sancto apponere vellet: "sanctus et crucifixus propter nos miserere nostri," qua in re obsequutus est Severo acephalo logotheta et praefectus, ut scilicet in ambone ecclesiae ita recitaretur, seditio facta est plebis et alium regem proclamaverunt. multis aedificiis incensis et tumultu facto regem laeserunt et usque ad cisternam ab ipso rege aedificatam, quae est prope Mocii aedem, processerunt; praefectum monasterii St. Philippi, qui a rege diligebatur, interfecerunt, eiusque caput hastae imposuerunt clamantes: "hic est amicus inimici sanctae trinitatis," sed etiam solitariam mulierem, cui rex fidem habebat, occiderunt et ambos protrahentes in Studii monasterio combusserunt. rex terrefactus aliquamdiu haeresi abstinuit.

Sub hoc Mundarus, Saracenorum princeps, baptizatus est ab orthodoxis. Severus ad eum duos episcopos misit participem eum facturus suae haeresis. quorum doctrinae pravitatem quum perspexisset, simulanter episcopis dixit: "literas hodie accepi mortuum esse

πρὸς τοὺς ἐπισκόπους "ἐδεξάμην γράμματα σήμερον ὅτι Μιχαὴλ ὁ ἀρχάγγελος ἀπέθανε·" τῶν δὲ εἰπόντων ἀδύναιον εἶναι τοῦτο, "καὶ πῶς" φησὶ "θεὸς γυμνὸς ἐσταυρώθη καθ' ὑμᾶς, εἰ μὴ ἐκ δύο φύσεων ὁ Χριστός, εἰ μηδὲ ἄγγελος ἀποθνήσκει, ὡς φατέ." ὅπερ ἀκούσαντες, καὶ σφόδρα ἐκπλαγέντες εἰς τὸ φυσικὸν φρόνημα τῆς προτάσεως αὐτοῦ, ἀνεχώρησαν μετ' αἰσχύνης.

Ἀναστάσιος εἶδε καθ' ὕπνους φοβερόν τινα τῇ χειρὶ κατέχοντα κώδικα γεγραμμένον καὶ λέγοντα αὐτῷ "ἰδοὺ διὰ τὴν ἀπιστίαν σου ἀπαλείφω τῆς σῆς ζωῆς ἔτη ιδ'." καὶ βροντῶν καὶ ἀστραπῶν περὶ τὸ παλάτιον εἱλουμένων, τοῦ βασιλέως μονωτάτου καταλειφθέντος καὶ φεύγοντος ἀπὸ τόπου εἰς τόπον, ἐν ἑνὶ τῶν κοιτωνίσκων τῷ λεγομένῳ ὠάτῳ κατέλαβεν αὐτὸν ἡ ὀργή, ὥστε αἰφνίδιον εὑρεθῆναι νεκρόν. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, ἐν λάρνακι λιθίνῃ Ἀκυντάνῃ, μετὰ Ἀριάδνης τῆς αὐτοῦ γυναικὸς προτελευτησάσης. οὗτος λέγεται καῦσαι καὶ τὰ βιβλία τοῦ χρυσοῦ καὶ ἀργύρου. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχέ τις Τιμόθεος. φασὶ δὲ αὐτὸν μετὰ τὸ ταφῆναι μεθ' ἡμέρας τινὰς βοᾶν "ἐλεήσατέ με καὶ ἀνοίξατε·" τῶν μνημοραλίων δὲ εἰπόντων "ἄλλος βασιλεύει," ἔφη "οὐδέν μοι μέλει· εἰς μοναστήριον ἀπαγάγετέ με." οἱ δὲ εἴασαν αὐτόν. λέγεται δὲ μετ' οὐ πολὺ τὸ μνῆμα ἀνοιγῆναι, καὶ εὑρεθῆναι αὐτὸν

4. εἰ δὲ μὴ C

Michael archangelum;" quod quum fieri posse illi negassent "qui vero, inquit, deus vester nudus crucifixus est, nisi duarum naturarum est Christus, si vel angelum mori negatis?" his auditis mirati sanam quaestionis rationem cum dedecore abierunt.

Anastasius in somnio terribilem hominem vidit codicem conscriptum manibus tenentem et dicentem: "ecce, propter malam fidem tuam de vita tua 14 annos deleo". tonitru et fulminibus ad regiam adactis rex solus relictus huc illuc fugiens in cubiculo, quod oatus dicitur, ira correptus est et statim mortuus inventus. sepultum est corpus eius in St. apostolorum ecclesia in cista lapidea Acyntana, iuxta Ariadnen uxorem antea mortuam. hic etiam aureos et argenteos libros combussisse dicitur. episcopatum tenuit Timotheus. hunc narrant postquam aliquot dies sepultus esset clamasse: "miseremini mei et aperite;" sepulchrorum custodes dixerunt: "alius regnat," ille vero, "nihil mea interest, in monasterium me abducite." illi vero eum reliquerunt. paulo post sepulchrum aperuerunt et invenerunt eum fame brachia et caligas adedisse. quia haereticus erat Anastasius Euthymius patriarcha a seditiosorum partibus



ὑπὸ πείνης φαγόντα τοὺς βραχίονας αὐτοῦ καὶ τὰ καλήγια ἃ ἐφόρει. διὰ τὸ εἶναι αἱρετικὸν Ἀνάστασιον Εὐθύμιος πατριάρχης προσέκειτο ταῖς ἀντάρασιν· ὅπερ γνοὺς Ἀναστάσιος ὁ βασιλεὺς μετὰ τὸ χειρώσασθαι αὐτοὺς ἐδήλωσεν Εὐθυμίῳ ἁγίῳ "αἱ εὐχαί σου αἱ μεγάλαι τοὺς φίλους σου ἠσβόλωσαν·" προεχειρίσατο δὲ ἀντ' αὐτοῦ Μακεδόνιον· εἰς ὅν, διὰ τὸ μὴ ὑπείκειν τῇ αἱρέσει αὐτοῦ, πολλὰ δεινὰ ἐνεδείξατο. φασὶ γὰρ τελευτήσαντος Μακεδονίου ἐν ἐξορίᾳ φοβερόν τι συμβῆναι· νεκρὸν γὰρ ὄντα καὶ ἐν κραββάτῳ τεθειμένον, βλεπόντων πάντων, σφραγίσασθαι ἑαυτὸν τῷ σταυρῷ. μέλλοντος δὲ ἐν Νεοκαισαρείᾳ γίνεσθαι σεισμοῦ στρατιώτης ὁδεύων δύο τινὰς εἶδεν ἐπὶ τὴν πόλιν βαδίζοντας, καὶ ὄπιθεν ἄλλον βοῶντα "φυλάξατε τὸν οἶκον ἐν ᾧ ἡ θήκη Γρηγορίου ἐστί." γενομένου δὲ τοῦ σεισμοῦ τὸ πλεῖστον μέρος τῆς πόλεως ἐπτοήθη, πλὴν τοῦ ἁγίου Γρηγορίου.

Ἀναστάσιος πολλὰ τῶν χαλκουργημάτων ζῶδα χωνεύσας ἐξ αὐτῶν στήλην ἰδίαν ἔστησεν εἰς τὸν κίονα Ταύρου. ἡ γὰρ πρώην ἑστῶσα Θεοδοσίου ἦν τοῦ μεγάλου· ἥτις ἀπὸ σεισμοῦ πεσοῦσα συνετρίβη. ἐφ' οὗ ἀνήρ τις ἐκ τῆς χείμης τεχνῶν εὐφυὴς ὢν ἐπεδείκνυεν ἀργυροπράταις τε καὶ ἑτέροις χεῖρας καὶ πόδας ἀνδριάντων καὶ ἕτερα εἴδη χρυσᾶ, λέγων θησαυροὺς εὑρηκέναι· καὶ διὰ τοῦτο πολλοὺς ἀπατῶν εἰς πένιαν

5. αἱ μεγάλαι] ὁμέσας C. cf. Cedrenus I p. 627 21. 11. στρατιώτης adde Cedrenus I p. 628 17. 19. ᾧ C 21. ἀργυροπράτας τε καὶ ἑτέρας C

stabat. quod quum Anastasius comperisset post victos eos Euthymio dixit: "magnae preces tuae amicos fuligine conspersérunt." constituit autem in eius locum Macedonium, quem non cedentem haeresi multimodis cruciavit. mortuo enim Macedonio in exsilio terribile aliquid accidisse fertur; mortuum enim et in lectulo iacentem videntibus omnibus narrant crucis signo se munivisse. imminente Neocaesareae terrae motu, miles quidam iter faciens duos conspexit ad urbem accedentes aliumque a tergo clamantem: "conservate domum, in qua Gregorii arca est;" facto motu maior urbis pars concidit, excepta St. Gregorii aede.

Anastasius conflatis multis aeneis signis inde suam statuam confecit et in Tauri columna collocavit; quae enim antea ibi collocata erat, Theodosii statua, terrae motu deiecta et fracta erat. sub eo vir quidam, qui chymicam artem profitebatur callidus argentariis aliisque manus et pedes statuarum aliaque aurea signa obtulit, dicens thesauros se invenisse; multos hac re deceptos ad paupertatem redegit. fama vulgata captus et ad Anastasium ductus attulit regi equi

ἤνεγκε. φήμης οὖν περὶ αὐτοῦ διαθεούσης κρατηθεὶς ἤχθη Ἀναστασίῳ. προσήνεγκε δὲ τῷ βασιλεῖ ἵππου ὁλόχρυσον χαλινὸν διὰ μαργαριτῶν· ὃν λαβὼν ὁ βασιλεὺς ἔφη αὐτῷ "ὄντως σὺ ἐμὲ οὐ κομπάγεις." ἐξώρισε δὲ αὐτὸν εἴς τι φρούριον, ἔνθα καὶ τελευτᾷ. ἐπὶ αὐτοῦ Δευτέριος ἐπίσκοπος Βυζαντίου Ἀρειανός, βάρβαρόν τινα βαπτίζων, ἐτόλμησε εἰπεῖν "βαπτίζεται ὁ δεῖνα εἰς ὄνομα πατρὸς δι' υἱοῦ ἐν ἁγίῳ πνεύματι·" καὶ εὐθέως ἐξηράνθη ἡ κολυμβήθρα. ὁ δὲ βάρβαρος ἔμφοβος γενόμενος γυμνὸς ἔφυγεν ἐν τῇ ἀμφόδῳ, ὡς ἐξ αὐτοῦ πᾶσι γνωσθῆναι τὸ θαῦμα. δύο ἐπισκόπων ἀμφισβητούντων ἐπὶ Ἀναστασίου, ὀρθοδόξου καὶ Ἀρειανοῦ, καὶ τοῦ μὲν Ἀρειανοῦ διαλεκτικοῦ ὄντος τοῦ δὲ ὀρθοδόξου θεοσεβοῦς καὶ πιστοῦ, ὁ ὀρθόδοξος προύτεινεν ὥστε ἀφεμένους τῶν λόγων εἰς πυρὰν εἰσελθεῖν καὶ οὕτως δειχθῆναι τὸν εὐσεβέστερον· τοῦ δὲ Ἀρειανοῦ τοῦτο παραιτησαμένου αὐτὸς εἰσελθὼν ἀπὸ τῆς πυρᾶς διελέγετο καὶ ἀπαθὴς ἐφυλάττετο.

Ἰουστῖνος ὁ Θρᾷξ ὁ μέγας.

Ἰουστῖνος ὁ Θρᾷξ, ὁ μέγας ἐν πολέμοις καὶ ζηλωτὴς ὢν τῆς ὀρθοδόξου πίστεως, ἦν καὶ τῷ σώματι μεσῆλιξ, εὐρὺς τοὺς ὤμους καὶ τὰ στέρνα, πολιὸς μετὰ οὐλότητος καὶ δασείας κόμης. ἐπήνθει δὲ τῷ προσώπῳ αὐτοῦ ἔρευθος, βλο-

4. οὐκ ἀπατήσεις Cedrenus I p. 629 16. 13. ἀφεμένων C
15. τοὺς εὐσεβεστέρους C

frenum aureum et margaritis consertum, quo accepto rex "profecto," inquit, "me non decipies." relegavit hominem in castellum ubi mortuus est. sub hoc Deuterius Byzantii episcopus Arianus barbarum quendam baptizans dicere ausus est: "baptizatus in nomen patris per filium in sanctum spiritum;" tum statim labrum baptisterii exsiccatum est; barbarus vero territus in plateam aufugit nudus, ita ut omnes ab eo miraculum cognoscerent. duobus episcopis sub Anastasio disputantibus, orthodoxo et Ariano, quum esset Arianus dialecticus, orthodoxus vero pius et fidelis, orthodoxus proposuit ut relicta disputatione in ignem inirent et ita pietatem probarent. quod quum Arianus recusasset, ipse iniit et ex medio igni verba fecit et incolumis servatus est.

Iustinus Thrax.

Iustinus Thrax magnus bello et acer orthodoxae fidei sectator; corporis statura erat mediocri, pectore et humeris latis, canis simulque villosis crinibus, faciei truci inerat rubor. Iustinus Vitalianum, de quo dictum est, familiarem sibi adiunxit et ducem eum fecit, con-

συρῷ ὄντι καὶ πλατεῖ. ὃς καὶ Βιταλιανὸν τὸν προρρηθέντα ᾠκειώσατο καὶ στρατηγὸν ἐτίμησε καὶ παρρησίαν ἔχειν πρὸς αὐτὸν ὑπὲρ τοὺς λοιποὺς ἐποίησεν. ἐδολοφονήθη δὲ ὁ Βιταλιανὸς παρὰ τῶν Βυζαντίων μηνιώντων αὐτὸν διὰ τὴν προειρημένην ἐπανάστασιν. Ἀμάντιον δὲ τὸν πραιπόσιτον, ὃς τὸν ναὸν τοῦ ἁγίου ἀποστόλου Θωμᾶ θαυμαστῶς ᾠκοδόμησε, λέγεται χρήματα δεδωκέναι Ἰουστίνῳ ὄντι κόμητι τῶν ἐξκουβιτόρων ἐπὶ Ἀναστασίου, ὅπως Θεόκτιτον τὸν ἀνεψιὸν αὐτοῦ ἀναγορεύσῃ εἰς βασιλέα· τοῦτον ἀνεῖλεν Ἰουστῖνος, καὶ τοὺς τὴν ἀνταρσίαν σὺν αὐτῷ μελετήσαντας, τὴν βασιλείαν αὐτὸς κατασχών.

Ἐπὶ αὐτοῦ τὰ κατὰ τὸν ἅγιον Ἀρέθαν καὶ τοὺς ἐν Νεγρᾷ τῇ πόλει ἐπράχθη, καὶ τὰ κατὰ τῶν Ὁμηριτῶν δι' Ἐλεσβαὰν τοῦ βασιλέως Αἰθιόπων. ἐτυπώθη δὲ ἐπὶ αὐτοῦ τοῦ ἑορτάζειν ἡμᾶς καὶ τὴν ἑορτὴν τῆς ὑπαπαντῆς, μέχρι τότε μὴ ἑορταζομένης. ἐφ' οὗ ἀστὴρ ἐφάνη ἐν τῷ οὐρανῷ ἐπάνω τῆς χαλκῆς πύλης ἐν τῷ παλατίῳ φαίνων ἐπὶ ἡμέρας καὶ νύκτας εἰκοσιεννέα· καὶ γέγονε σεισμὸς φοβερώτατος· καὶ ἡ μὲν Κωνσταντινουπόλις ἐν διαφόροις τόποις ἀπέλαβεν, ἡ δὲ μεγάλης Ἀντιοχείας πάθος ἔπαθεν ἀνεκδιήγητον, ὡς καταπτωθῆναι πᾶσαν σχεδὸν τὴν πόλιν καὶ τάφον γενέσθαι τῶν οἰκητόρων· τοσαύτη γὰρ ἡ ὀργὴ τοῦ Θεοῦ ἐπῆλθεν ὡς καὶ τοὺς ὑπολειφθέντας πῦρ ἐξελθεῖν ἀπὸ τῆς γῆς καὶ οἰκτρῶς καταφλέξαι. ἀλλὰ καὶ ἡ Πομπηϊούπολις τῆς Μυσίας διαρ-

7. ἐξ κουσάτρων C 16. ἀφ' C 21. κατατηωθῆναι C
πᾶς cod

cessitque ei, libere pro reliquis apud se loqui. Vitalianus dolo circumventus est a Byzantiis iratis ei propter seditionem supra commemoratam. Amantius praepositus, qui St. Thomae apostoli templum splendidum aedificavit et varie ornavit, argentum dedisse perhibetur Justino, quum hic esset sub Anastasio excubitorum comes, ut scilicet Theoctitum cognatum suum regem proclamaret. hunc Iustinus interfecit una cum iis, qui seditionem cum eo machinati erant, sibi imperium retinens.

Sub eo facta sunt quae de sancto Aretha et Negrae incolis narrantur, et de Homeritis per Elesbaan Aethiopum regem facta. constitutum etiam est obviationis festum celebrare, quod antea non factum erat. sub eo sidus in coelo apparuit supra aeneam portam palatii per 29 dies noctesque fulgens. fuit etiam terrae motus terribilis, quo Cpolis passim laesa est, sed Antiochia ineffabilem calamitatem perpessa est; nam tota fere urbs concidit et facta est incolarum sepulchrum; et tanta fuit dei ira, ut vel relicti igni e terra prorum-

ραγεῖσα μέσον κατεπόθη μετὰ τῶν οἰκητόρων· καὶ ἔκραζον ὑπὸ τὴν γῆν ὄντες οἱ ἄνθρωποι τὸ "ἐλεήσατε." καὶ γυνή δέ τις ἐπὶ αὐτοῦ ἀνεφάνη ἐκ Κιλικίας οὖσα γιγαντογενής, ὑπερέχουσα τῇ ἡλικίᾳ πάντα ἄνθρωπον πῆχυν ἕνα, καὶ πλατεῖα σφόδρα. ὡς ἐπὶ θαύματος δὲ οἱ ἀδόμενοι ὁρῶντες αὐτὴν ἐν τοῖς ἐργαστηρίοις καὶ οἴκοις ἐδίδον αὐτῇ ἀνὰ ὀβολοῦ.

Ὁ δὲ αὐτὸς βασιλεὺς πολλὰ ἐφιλοφρονήσατο τῇ τε πόλει Ἀντιοχείᾳ πρὸς ἀνοικοδομήν, καὶ τοὺς ἐν αὐτῇ ζῶντας ὑπολειφθέντας· τοσοῦτον δὲ ἐπ' αὐτῇ ἤλγησεν ὡς καὶ τὸ διάδημα ἀποθεῖναι καὶ τὴν πορφύραν, καὶ σάκκον καὶ σποδὸν περιβαλέσθαι, καὶ πενθεῖν ἐπὶ πολλὰς ἡμέρας. ἐτελεύτησε δὲ καταλιπὼν βασιλέα Ἰουστινιανὸν τὸν ἴδιον ἀνεψιόν· ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῇ μονῇ τῆς Αὐγούστης, ἐν λάρνακι πρασίνῳ, μετὰ δὲ τῆς γυναικὸς αὐτοῦ Εὐφημίας· ἐν ᾧ καὶ αἱ στολαὶ εὑρέθησαν. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον διέσπεν Ἰωάννης ὁ λεγόμενος Καππαδόκης.

Ἰουστῖνος ἀνεκαλέσατο πάντας ἱερεῖς καὶ ἄνδρας εὐσεβεῖς ὀρθοδόξους, οὓς Ἀναστάσιος ἀδίκως ἐξώρισεν. ἐπὶ αὐτοῦ Ἔδεσσα πόλις, τοῦ Σκιρτοῦ ποταμοῦ μέσον αὐτῆς διερχομένου καὶ πλοῦτον καὶ τέρψιν αὐτῇ παρεχομένου, πλημμυρήσαντος αὐτὴ σὺν τοῖς συνοίκοις ἐποντίσθη. μετὰ δὲ τὸ παύσασθαι τὰ ὕδατα πλὰξ λιθίνη ἀνέθη ἐν τῇ τοῦ ποταμοῦ ὄχθῃ, ἱερογλυφικοῖς γράμμασιν ἐγκεκολαμμένη περιέχουσαν οὕτως "Σκιρτὸς ποταμὸς σκιρτήσει κατὰ σκιρτήματα πολίταις."

21. αὐτῆς C 22. εὑρέθη Cedrenus I p. 640 1.

pente misere comburerentur. sed etiam in Mysia Pompeiopolis deleta concidit in incolas; et clamarunt qui terra conditi erant "miseremini." mulier sub eo exstitit Cilissa, corpore giganteo, alti viri staturam cubito superans et admodum lata, ita ut admirarentur qui videbant in officinis et domibus et obolum ei quisque daret.

Rex benevolentissimum se praestitit Antiochiae, ut restitueretur, et eis, qui vivi relicti erant. atque ita hanc calamitatem luxit, ut diadema et purpuram deponeret, saccum et cinerem iniiceret, multosque dies doleret. moriens regem reliquit Iustinianum affinem; sepultus est in monasterio Augustae in arca prasina iuxta Euphemiam uxorem, ubi etiam stolae inventae sunt. episcopatum tenuit Ioannes, qui Cappadoces dicebatur.

Iustinus omnes sacerdotes piosque orthodoxos revocavit, quos Anastasius iniuste relegaverat. sub eo Edessa, quam perfluit Scirtus fluvius divitias et oblectationes suppetans, inundatione facta cum incolis submersa est. postquam aqua recessit lapidea tabula inventa est in fluvii ripa cui hieroglyphicis literis haec inscripta erant: Scirtus fluvius malas saltationes civibus saltabit."

Εὐλαλίου τινὸς ἀπὸ πλουσίων πένητος τελευτήσαντος, καὶ γράψαντος Ἰουστῖνον βασιλέα κληρονόμον ἐν διαθήκαις, καὶ παρακαλεσαμένου ὥστε τὰς τρεῖς αὐτοῦ θυγατέρας μικρὰς καταλειφθείσας ἀναθρέψαι καὶ ἐκπροικίσαι, καὶ πάντα αὐτοῦ τὰ χρέα δοῦναι τοῖς δανεισταῖς, καὶ τὰ γραμματεῖα αὐτοῦ ἀναρρύσασθαι, πάντα βασιλικῶς Ἰουστῖνος ἔπλήρωσε, κατάπληξας ἐν τούτῳ πάντα ἀκούσαντα ἄνθρωπον.

Ἰουστινιανὸς ὁ μέγας.

Ἰουστινιανὸς ἐβασίλευσεν ἔτη λϑ', ἐτῶν ὢν μέ. οὗτος τὴν μὲν τοῦ σώματος ἀναδρομὴν βραχὺ μείζων τοῦ μέσου, ἐρυθρὸς τὴν χροιάν, χαροπὸν καὶ εὐπερίστροφον βλέπων, καὶ τὴν κεφαλὴν πρὸς κόμης κάλλος μικρὸν ἐψιλωμένην ἔχων, ὑπατεύσας ἐν μέσῃ τῇ πόλει καὶ δοὺς χρήματα πάμπολλα. οὗτος οὖν ἐποίησε καὶ τὰς νεαρὰς διατάξεις, ἐκφωνήσας καὶ τύπον περί τε ἐπισκόπων καὶ ξενοδόχων καὶ οἰκονόμων καὶ ὀρφανοτρόφων, ὥστε μὴ κληρονομεῖσθαι πλὴν ὧν πρὸ τοῦ γενέσθαι ἐκέκτητο. οὗτος διωγμὸν κατὰ Ἑλλήνων καὶ πάσης αἱρέσεως ἐκίνησεν· εὑρὼν δὲ πολλοὺς τῶν Ἑλλήνων ἐν τέλει τούτῳ νοσοῦντας, δεσμεύσας καὶ τιμωρησάμενος φόβον πολὺν εἰργάσατο, θεσπίσας μόνους ὀρθοδόξους πολιτεύεσθαι.

Ἐπλήρωσε δὲ καὶ τὸ δημόσιον λουτρὸν τὸ εἰς τὸν Διηγη-

19. *πολλοὺς τῶν ἐν τέλει οὕτω?* 22. *Δαγισθέως* Cedrenus I p. 644, *Διηγιστέως* p. 688.

Eulalius quidam e divitibus parentibus ortus quum pauper decessisset et scripsisset Iustinum regem esse lege constitutum eumque hortatus esset, ut tres suas filiolas educaret et dote donaret, et quae debebat solveret, et tabulas suas deleret; cuncta Iustinus ut regem decet, perfecit, admirantibus omnibus, qui audiebant.

IUSTINIANUS MAGNUS.

Iustinianus regnavit annos 39 rerum potitus anno aetatis 45. is corpore paulo maiore erat, quam ex modo vulgari, colore rubro, vultu truci et versuto, capite nonnihil glabro, reganvit autem in media urbe permulta dans dona. hic igitur nova instituta fecit, legem quoque promulgans de episcopis, hospitiis, dispensatoribus et orphanotrophis, ne quid legarent nisi quod ante susceptum munus possedissent. hic persecutionem movit Graecorum et omnis haeresis; inveniens autem multos e magistratibus hoc morbo laborantes, his vincitis et vindicta sumpta magnum terrorem iniecit, quum solos orthodoxos posse rempublicam capessere ediceret.

Perfecit etiam balneum publicum Dagisthei ab Anastasio inchoa-

στέα, ὃ ἤρξατο κτίζειν Ἀναστάσιος ὁ βασιλεύς. ἡ δὲ Ἀντιόχεια σειομένη οὐκ ἐπαύετο, μέχρι οὗ ἐφάνη θεοσεβεῖ ἀνθρώπῳ ἐπιγράψαι εἰς τὰ ὑπέρθυρα τῶν φλιῶν "Χριστὸς μεθ' ἡμῶν· στῆτε." καὶ τούτου γενομένου ἔστη ἡ ὀργὴ τοῦ θεοῦ, καὶ ἔκτοτε ἡ πόλις ὠνομάσθη Θεούπολις.

Ἐπὶ αὐτοῦ γέγονε δημοτικὴ ἀνταρσία, καὶ τήν τε ἁγίαν Σοφίαν καὶ τὸν τοῦ ὁσίου Σαμψὼ οἶκον μετὰ τῶν ἀρρώστων καὶ τὴν εἴσοδον τοῦ παλατίου τὴν χαλκόστεγον, τὴν ἔκτοτε καὶ νῦν χαλκῆν προσαγορευομένην διὰ τὸ ἐκ χαλκῶν κεράμων κεχρυσωμένων ἐστεγάσθαι αὐτήν, καὶ τοὺς δύο ἐμβόλους μέχρι τοῦ φόρου κατέκαυσαν, καὶ Ἰουστινιανὸν βασιλέα ἀναθεματίζοντες ἐφύβριζον, Ὑπάτιον δὲ πατρίκιον εὐφήμησαν ἐν τῷ καθίσματι στέψαντες· ἥτις ἀνταρσία ἐπαύθη διὰ Βελισαρίου καὶ Μούνδου καὶ Ναρσῆ, ἀνελόντων τριάκοντα πέντε χιλιάδας καὶ αὐτὸν Ὑπάτιον ἐν τῷ ἱπποδρόμῳ. ἀνεκαίνισε δὲ ἐκ θεμελίων ὁ Ἰουστινιανὸς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν.

Ἰστέον δὲ ὅτι τῷ ἑξακισχιλιοστῷ μ' ἔτει ἀπὸ κτίσεως κοσμοῦ, ἰνδικτιῶνος ιε', ὥρᾳ πρώτῃ τῆς ἡμέρας, τοῦ Φεβρουαρίου μηνὸς εἰκοστῇ γ', τὸν τῆς μεγίστης ἐκκλησίας ἀνοικισμὸν ἤρξατο ποιεῖν ὁ Ἰουστινιανὸς εἰς κάλλος καὶ μέγεθος ὑπὲρ τὸ πρότερον, παραδοὺς καὶ τροπάρια αὐτῇ ὑπ' αὐτοῦ μελισθέντα ψάλλεσθαι "ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ." ἀλλὰ

tum. Antiochiae autem terrae motus non prius cessavit, quam homini pio divinitus nunciatum est, ut scriberet super postes portae: "Christus nobiscum, consistite." quo facto ira dei consedit et inde ex eo tempore urbs nominata est Theopolis.

Eo regnante seditio populi orta est, et sanctam Sophiam et sancti Sampso domus cum infirmis et palatii aditum aere tectum, qui inde adhuc aheneus dicitur, utpote stratus tegulis aheneis inauratis et bina rostra usque ad forum combusserunt et Iustinianum regem excommunicatum male tractarunt, Hypatium patricium regem salutarunt coronis in solio ornantes. opressa est seditio a Belisario, Mundo et Narsete triginta quinque millibus hominum cum ipso Hypatio in circo interfectis. restituit ex fundamento Iustinianus magnam dei ecclesiam.

Scieadum est, anno 6040 a creato mundo, indictionis 15, prima hora diei d. 23 Februarii Iustinianum incepisse restitutionem maximae ecclesiae, ita ut pulchritudine et magnitudine priorem superaret; carmen quoque a se compositum tradidit cantandum "unigenitus

καὶ ἡ ὑπαπαντὴ ἔλαβε δῶρον ἑορτάζεσθαι, μὴ συναριθμουμένη πρότερον ταῖς δεσποτικαῖς ἑορταῖς.

Τῷ δὲ ιδ' ἔτει αὐτοῦ γέγονε καὶ ἡ πέμπτη σύνοδος ἡ κατὰ Σευήρου. τῷ δὲ δεκάτῳ αὐτοῦ ἔτει γέγονε τὰ πρῶτα ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας. γενομένης δὲ τῆς πέμπτης συνόδου κατὰ Σευήρου τοῦ ἀκεφάλου καὶ δυσσεβοῦς καὶ κατὰ Ὠριγένους ἐν Κωνσταντινουπόλει, Ἀπολλινάριος Ἀλεξανδρείας, Δόμνος Ἀντιοχείας, ἐπὶ Βιγελίου πάπα Ῥώμης, κατὰ Ὠριγένους καὶ τῶν αὐτοῦ δογμάτων, ἐν οἷς ἐληρώδουν τὰς ψυχὰς προϋπαρχούσας τῶν σωμάτων, τήν τε μετεμψύχωσιν δοξάζοντες τέλος τε τῆς κολάσεως, καὶ τὰ σώματα ἡμῶν μὴ ἀνίστασθαι ἐν τῇ ἀναστάσει τὰ αὐτά, καὶ τὴν τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, καὶ τὸν παράδεισον ἀλληγορεῖσθαι, μὴ γεγενῆσθαι μήτε εἶναι ὑπὸ θεοῦ αἰσθητὸν παράδεισον, μηδὲ ἐν σαρκὶ πλασθῆναι τὸν Ἀδάμ.

Τελευτησάσης δὲ Θεοδώρας τῆς αὐτοῦ γυναικὸς γέγονε τὰ ἐγκαίνια τῶν ἁγίων ἀποστόλων. ἐφ' οὗ καὶ θανατικὸν γέγονεν ἐν Κωνσταντινουπόλει, ὥστε μένειν ἀτάφους τοὺς ἀποθνήσκοντας διὰ τὸ μὴ ἐξαρκεῖν τοὺς κραββάτους τῶν ἐκκλησιῶν καὶ τῶν ἐναγῶν οἴκων ἐκφέρειν αὐτούς· τοῦ δὲ βασιλέως κραββάτους ποιήσαντος χιλίους, ἐπεὶ μὴ ἐξήρκουν μηδὲ οὗτοι, ἁμάξας προσέταξε πλείστας εὑτρεπισθῆναι καὶ ἄλογα καὶ τοὺς τεθνεῶτας ἐν αὐτοῖς ἐκφέρειν. ἐκράτησε δὲ ἡ θνῆσις αὕτη

5. τῆς om C

filius et verbum dei." etiam concessum est, ut obviatio celebraretur, quae non numerabatur antea in dominicis festis.

Quarto decimo autem eius anno fuit quintum concilium contra Severum. decimo autem anno prima solemnia restitutae magnae ecclesiae celebrata sunt. factum autem est quintum concilium contra Severum acephalum et improbum et contra Origenem Cpolitanum, cui concilio praefuerunt Apollinarius Alexandrinus, Domnus Antiochenus sub Vigelio, papa Romano, contra Origenem eiusque dogmata, in quibus nugabantur, animos fuisse ante corpora et migrationem animorum statuebant et poenae finem et corpora nostra non eadem surrectura in surrectione et daemones in veterem statum restitutum iri et paradisum allegorice dici, nec esse nec fuisse conditum a deo terrestrem paradisum, nec carne fictum esse Adamum.

Mortua Theodora eius uxore celebrata sunt solemnia restitutorum apostolorum. sub eo Cpoli erat morbus letalis, ita ut insepulta iacerent corpora mortuorum, quia non sufficiebant feretra ecclesiarum et sacrarum aedium ad efferendum, postquam vero rex mille feretra fecit, quum ne haec quidem sufficerent, currus permultos comparari

μῆνας δύο, Ἰούλιον καὶ Αὔγουστον. γεγόνασι δὲ βρονταὶ καὶ ἀστραπαὶ μεγάλαι καὶ φοβεραὶ σφόδρα, ὥστε πολλοὺς ὑπ' αὐτῶν κατακαῆναι. ἀλλὰ καὶ σεισμὸς μέγιστος καὶ παγκόσμιος· καὶ ἔπεσον οἶκοι καὶ ἐκκλησίαι πολλαὶ ἐν Κωνσταντινουπόλει, ὥστε πολλοὺς τελευτῆσαι· ἀλλὰ καὶ τὸ τεῖχος τῆς χρυσῆς πόρτης καὶ ἡ λόγχη ἣν κρατεῖ ὁ ἀνδριὰς τοῦ φόρου. καὶ ἐπεκρότει ἡ γῆ σειομένη ἐπὶ πολύ. ἐκ δὲ τῆς λύπης ὁ βασιλεὺς εἰς τὰ γενέθλια τοῦ Χριστοῦ καὶ εἰς τὰ ἅγια θεοφάνια ἄνευ στέμματος προῆλθε, καὶ τὰ ἐξ ἔθους ἀριστόδειπνα τοῦ δωδεκαημέρου οὐκ ἐτέλεσεν, ἀλλὰ πάντα τοῖς πτωχοῖς διένειμε. τὴν δὲ θάλασσαν ἀναρριχάναι φασὶν ἐκ τοῦ σεισμοῦ μίλια δύο, καὶ ἀπολέσθαι πλοῖα πολλὰ ἐν τῇ τοῦ ὕδατος ἀναχαιτίσει. ἔπεσε δὲ ὁ τροῦλλος τῆς μεγάλης ἐκκλησίας, ὃν καὶ ἀνέκτισεν ὑψηλότερον καὶ κρείττονα, ποιήσας καὶ τὰ δεύτερα ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας φαιδρότερον καὶ λαμπρότερον.

Οὗτος μαθὼν περὶ ἀρρενοφθόρων, ἐρευνήσας καὶ τούτους εὑρών, τοὺς μὲν ἐκαυλοτόμωσε, τοῖς δὲ καλάμους ὀξεῖς ἐμβάλλεσθαι εἰς τοὺς πόρους τῶν αἰδοίων ἐκέλευσε, καὶ γυμνοὺς κατὰ τὴν ἀγορὰν θριαμβευθῆναι· ὑπῆρχον δὲ τῶν μὲν πολιτικῶν καὶ συγκλητικῶν πολλοί, τῶν δὲ ἀρχιερέων οὐκ ὀλίγοι, οἳ δεσμευθέντες οὕτως περιαγόμενοι κατὰ τὴν ἀγορὰν γυμνοὶ δεινῶς ἐτελεύτησαν. καὶ γενομένου φόβου μεγάλου οἱ

iussit et equos, quibus efferrentur mortui. mansit hic morbus duos menses, Iulium et Augustum. erant autem tonitrua et fulmina magna maximeque terrentia, ita ut multi iis percuterentur. praeterea terrae motus erat maximus per totum mundum, conciderunt domus et ecclesiae multae Cpoli, ita ut multi morerentur, concidit quoque murus ad auream portam et hasta, quam statua forensis manu tenet et vehementer sonuit terra mota. rex autem luctu afflictus usque ad natalia Christi et sancta Theophania sine corona prodiit et, duodecim diebus coena vespertina usitata abstinuit, omniaque mendicis dedit. mare quoque motu terrae ascendisse dicunt duo milliaria, et naves multas in aqua aestuatione periisse. concidit autem trullus magnae ecclesiae, quem altiorem etiam et meliorem refecit, celebratis splendidius et elegantius solemnibus eiusdem ecclesiae restitutae.

Hic quum audiisset de paederastis, inquisitione instituta quos invenit eorum alios membro virili privavit, aliis acutos calamos in foramina inguinum intrudere iussit eosque nudos per forum duci. erant autem ex iis, qui muneribus publicis fungebantur et e senatoribus multi, e sacerdotibus primariis non pauci, qui vincti ita per forum

λοιποὶ ἐσωφρονισθησαν· "ὀλολύζεται γάρ" φησι "πίτυς, ὅτι πέπτωκε κέδρος."

Ἔστησε δὲ καὶ τὸν κίονα τὸν ἐπιλεγόμενον Αὐγουστέα, ἐπιθεὶς ἐπάνωθεν ἔφιππον τὴν αὐτοῦ στήλην, κρατοῦσαν τῇ μὲν ἀριστερᾷ χειρὶ μῆλον σφαιροειδὲς ὡς τῆς γῆς ἁπάσης αὐτοῦ κυριεύσαντος, τὴν δὲ δεξιὰν ἀνατεταμένην ἔχουσαν, καὶ οἱονεὶ πρὸς Πέρσας ἐμφαίνουσαν καὶ διακελευομένην "στῆτε, καὶ τῆς Ῥωμαίων γῆς μὴ ἐπιβῆτε."

Ἀπέστειλε δὲ καὶ Βελισάριον στρατηγὸν μετὰ πλήθους ἀναριθμήτου καὶ πλοίων καὶ χρυσοῦ πολλοῦ καταπολεμῆσαι Οὐανδήλους καὶ Ἀφρικὴν ἐκπορθῆσαι· ὃς ἀγχινοίᾳ καὶ φρονήσει πάντα λῃϊσάμενος καὶ Γελήμερον ἐγκρατῆ ποιησάμενος ἀνήγαγεν ἐν τῇ πόλει μετὰ πλούτου πολλοῦ καὶ ἐθριάμβευσεν ἐν τῷ ἱππικῷ, ὑπατείαν ποιήσας ἐν τῇ πόλει· τὸν δὲ Ἰουστινιανὸν ἀμειβόμενον αὐτὸν τῆς τοιαύτης μεγίστης καὶ παραδόξου πράξεως, ἐν μὲν τῷ ἑνὶ μέρει τοῦ νομίσματος ἑαυτὸν ἐγχαράξας, ἐν δὲ τῷ ἑτέρῳ Βελισάριον ἔνοπλον, καὶ ἐπιγράψας "Βελισάριος ἡ δόξα τῶν Ῥωμαίων." ἀλλ' οἷα ὁ φθόνος ἐν μεγάλῃ εὐδαιμονίᾳ οἶδε ποιεῖν, ὥδινε καὶ εἰς Βελισάριον· διαβληθεὶς γὰρ μετέστη τῆς ἀρχῆς καὶ τῆς δόξης, καὶ Σολομὼν ἀντ' αὐτοῦ στρατηγὸς ἐπέμφθη, ὃς τὰ κτηθέντα Βελισαρίῳ φυλάξασθαι μὴ δυνηθεὶς τοῖς Οὐανδήλοις πάντα παρεχώρησεν.

7. οἷον εἰς C 14. τὸν δὲ] ὥστε Cedrenus, et mox ἐγχαράξαι — ἐπιγράψαι.

ducti nudi misere obierunt. magno timore percussi ceteri edocti sunt. "luget enim," ut dicunt, "pinus, quod cecidit cedrus."

Posuit quoque columnam Augusteam dictam, sua ipsius, equestri statua imposita, ita ut sinistra manu pomum globosum teneret, quia omnem terram subactam haberet, dextram autem porrigeret et quasi adversus Persas ostenderet et iuberet: "consistite neve pedem inferte in terram Romanorum."

Misit quoque Belisarium ducem cum innumerabili multitudine navium et magnis opibus, qui Vandalis bellum inferret et Africam vastaret. is ingenio et prudentia omnia expugnavit et Gelimerum captum cum multis divitiis in urbem duxit, ipse in circo triumphavit, et pecuniam in urbe disparsit. Iustinianus gratiam reddens pro ea re maxima et inopinata in altera nummi parte suam imaginem procussit, in altera Belisarium armatum, addita inscriptione "Belisarius, gloria Romanorum." sed quae invidia in magna felicitate facere solet, ea etiam contra Belisarium molita est. falsis enim criminationibus imperio et honore destitutus est, Solomon eius loco dux missus, qui, quum ea quae Belisarius ceperat non posset defendere, omnia Vandalis cessit.

Ἦν δέ τις χαλκεὺς Ἀνδρέας τοὔνομα, ἔχων μεθ' αὑτοῦ κύνα ξανθὸν καὶ τυφλόν, ὃς ἐποίει τέρατα· παρεστῶτος γὰρ αὐτῷ ὄχλου, λάθρα τοῦ κυνὸς ἐκομίζετο τὰ τῶν ἑνεστώτων δακτυλίδια χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ σιδηρᾶ, καὶ ἐτίθει εἰς τὸ ἔδαφος περισκέπων αὐτὰ χώματι, καὶ ἐπέτρεπε τῷ κυνί, καὶ ἐλάμβανε καὶ ἐδίδου ἑκάστῳ τὸ ἴδιον. ὁμοίως καὶ διαφόρων βασιλέων νομίσματα μιγνύμενα ἀπεδίδου κατ' ὄνομα. ἀλλὰ καὶ τῶν παρεστώτων ἀνδρῶν τε καὶ γυναικῶν ἐπεδείκνυε τὰς ἐν γαστρὶ ἐχούσας καὶ πόρνους καὶ μοιχοὺς καὶ ἀνελεήμονας καὶ κνιπούς ἁπλανῶς καὶ μετὰ ἀληθείας ἐδείκνυε· ὅθεν ἔλεγον τὸν κύνα πνεῦμα Πύθωνος ἔχειν.

Ὁ δὲ αὐτὸς βασιλεὺς κτίζει καὶ τὸν ἐν τῇ πηγῇ ναὸν τῆς ὑπεραγίας Θεοτόκου, καὶ πάμπολλα κτίσματα ἐποίησεν ἐκκλησιῶν τε καὶ πόλεως, καὶ τὴν πενταγέφυραν τοῦ Σαγγαρίου ἅπερ Προκόπιος ὁ ἱστορικὸς ἐν ὀκτὼ λόγοις ἀνεγράψατο. εἰς δὲ τὰ τέλη αὐτοῦ τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου κινήσας δόγμα ἀλλότριος τῆς εὐσεβείας Θεοῦ ἐτελεύτησε, προβαλόμενος Ἰουστῖνον ἀνεψιὸν αὐτοῦ εἰς βασιλέα, κουροπαλάτην τότε ὄντα. κατετέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων πρὸς βορρᾶν ἐν λάρνακι βοθυνῇ· ἡ δὲ γυνὴ αὐτοῦ Θεοδώρα προετελεύτησεν. τὴν δὲ τῆς ἀρχιερωσύνης τιμὴν ἐπὶ αὐτοῦ εἴληφε πρῶτον μὲν Ἰωάννης, ἔπειτα

14. *σαγάρου* cod. 15. *ὁ* om C

Erat faber quidam, cui nomen Andreae, qui secum habebat canem flavum et caecum miracula edentem. adstante enim multitudine hominum, adstantium hominum annulos aureos, argenteos, ferreos inscio cane in solo ponebat, et terra tegebat; tum canis iussus sumebat et suum cuique annulum reddebat. eadem ratione variorum regum nummos, permixtos, prout nomen erat, reddebat. quin etiam ex adstantibus feminis et viris ostendebat, quae gravidae essent, quae meretrices, qui moechi, qui immisericordes, qui avari, eaque omnia sine errore et vere ostendebat. unde dicebant, canem habere Pythonis spiritum.

Idem rex templum sanctissimae matris dei prope fontem aedificat et permultas ecclesias et in urbe aedificia condidit et pontem Sangarii 5 arcubus aedificavit, quem octo sermonibus descripsit Procopius historicus. sub finem autem ipsius movens dogma de mortalitate et immortalitate alienus a pietate erga deum obiit, postquam Iustinum patruelem curopalatae munere tunc fungentem regem proposuit. sepultum est corpus eius in ecclesia sanctorum apostolorum. uxor eius Theodora antea mortua erat. summi sacerdotii honorem autem sub

Ἐπιφάνιος, τρίτον Μηνᾶς, τέταρτον Εὐτύχιος, καὶ μετὰ τοῦτον πάλιν Ἰωάννης.

Γελίμερ Βελισάριον ἐκφεύγων εἰς ὄρος ὀχυρὸν κατέφυγεν ἔθνους τῶν Μαρουσίων· παρ' αὐτοῖς δὲ οὔτε ἄρτος οὔτε οἶνος οὔτε ἔλαιον γεωργεῖται, ἀλλὰ κριθὰς καὶ ὀλύρας, ὡς ἄλογα ζῶα, ἐφθὰ σιτίζονται. γράφει οὖν πρὸς Φαρὰν Γελίμερ, ὃν Βελισάριος κατέλιπε φυλάσσειν αὐτόν, πεμφθῆναι αὐτῷ ἄρτον καὶ σπόγγον καὶ κιθάραν. ὁ δὲ Φαρὰς διηπόρει περὶ τούτων, ἕως ὁ τὴν ἐπιστολὴν κομίσας ἔφη ὅτι ἄρτον μὲν αἰτεῖ, διότι τοῦτον ἐπιθυμεῖ γεύσασθαι καὶ ἰδεῖν, σπόγγον δὲ διὰ τὰ δάκρυα καὶ τὴν ἀλουσίαν, ὥστε παραμυθήσασθαι τοὺς ὀφθαλμούς, κιθάραν δέ, ὅπως τὰς συμφορὰς αὐτοῦ ἐκτραγῳδοίη. ταῦτα Φαρὰς ἀκούσας, περιαλγήσας τε καὶ τὴν ἀνθρωπείαν τύχην ἐκμυκτηρίσας, πάντα ἐξέπεμψεν ὅσων ἔχρῃζε.

Χοσρόου δὲ τοῦ Πέρσου τὴν ἅπασαν ἀνατολὴν λῃζομένου, Ἰουστινιανὸς Βελισάριον ἐκ τῆς δύσεως ἀγαγών, στρατηγὸν ἀνατολῆς ποιήσας κατὰ Περσῶν ἔστειλεν· ὁ δὲ καθοπλισθείς, καὶ κατὰ Περσῶν στρατεύσας, τοσοῦτον τοὺς πρέσβεις Χοσρόου τῇ καθοπλίσει καὶ στρατείᾳ ἐξέπληξεν, ὡς ἐπὶ θήραν δῆθεν ἐξιὼν ὀφθεὶς αὐτοῖς, ὥστε ἀφικόμενον πρὸς Χοσρόην ὑπόσπονδον αὐτὸν Ῥωμαίοις ποιῆσαι. τοσοῦτον δὲ Βελισάριος ἐθαυμάσθη παρὰ Περσαῖς καὶ Ῥωμαίοις εὐδοκίμησεν, ἢ ὅτε Γελίμερα δορυάλωτον καὶ Οὐιτίγην τοὺς δύο

19. Χοσρόου Cramerus, Δαρείου cod. 20. θύραν C

eo tenuerunt primum Ioannes, deinde Epiphanius, tum Menas, postea Eutychius et post hunc iterum Ioannes.

Gelimer, postquam Belisarium effugit, in montes in terram Marusiorum recesserat. ibi nec panis nec vinum nec oleum nascitur, sed hordeo et arinca, ut bestiae ratione carentes, cocta vescuntur. scribit igitur Gelimer ad Pharam, quem Belisarius, ut illum custodiret, reliquerat, ut mitteret sibi panem et fungum et citharam. qua de re sententia non stabat Pharae, dum is qui litteras attulerat dixit, panem ab illo peti, quia hunc cuperet edere et videre, fungum propter lacrimas et squalorem, ita ut consolaretur oculos, citharam, qua miserias suas caneret. his auditis, Pharas dolore commotus et humanam sortem praesagiens, omnia, ut rogabat, misit.

Chosroa Persa per omnem orientem praedante Iustinianus Belisarium ex occidente arcessitum ducemque orientis constitutum contra Persas misit. is exercitu contra Persas educto, ita legatos Chosroae armis et exercitu terruit venatum scilicet egressus iis obvius factus ut veniens ad Chosroam ad inducias cum Romanis faciundas eum moveret. tantam autem Belisarius a Persis admirationem, apud Roma-

βασιλεῖς ἐν Βυζαντίῳ ἤγαγε. κατηγορηθεὶς οὖν μετὰ ταῦτα ὡς ἐπιβουλεύων Ἰουστινιανῷ βασιλεῖ ἐκ θλίψεως τελευτᾷ, δεσμευθείσης ἁπάσης αὐτοῦ τῆς ὑποστάσεως.

Ἰουστῖνος ὁ μικρὸς ἀνέψιος Ἰουστινιανοῦ.

Ἰουστῖνος ὁ μικρὸς ἐβασίλευσεν ἔτη δεκατρία, μεγαλόδωρός τε ὢν καὶ φιλοκτίστης. ἔσχε δὲ γυναῖκα Σοφίας ὀνόματι. εὐσεβὴς δὲ ὢν καὶ ὀρθόδοξος ἐπεκόσμησε τὰς ἐκκλησίας τὰς κτισθείσας ὑπὸ Ἰουστινιανοῦ, τήν τε μεγάλην ἐκκλησίαν καὶ τοὺς ἁγίους ἀποστόλους, ἀπό τε κειμηλίων καὶ πάσης προσόδου. οὗτος ἦν τῇ ἰδέᾳ εὐῆλιξ, πλατὺς εὔογκος, ὑπόγλαυκος, ἐπίξανθος, σπανίζων τὴν γενειάδα, δειλός, ὀξύθυμος, ἀπονενοημένος, ἀσύμβουλος, καὶ καθάπερ εἶπον, φιλοκτίστης καὶ μεγαλόδωρος. ὁ αὐτὸς ἀνελθὼν ἐν τῷ ἱπποδρομίῳ, καὶ τῶν δήμων στασιαζόντων, ἐδήλωσε τοῖς μὲν βενέτοις ὅτι Ἰουστινιανὸς ὁ βασιλεὺς ἐτελεύτησε, τοῖς δὲ πρασίνοις ὅτι ὑμῖν ὁ βασιλεὺς ζῇ· καὶ ἀκούσαντα τὰ μέρη ἡσύχασαν.

Ὁ αὐτὸς κτίζει καὶ τὰ παλάτια Σοφιανῶν ἐξαίσια καὶ λαμπρὰ καὶ ὑπερθαύμαστα, ἐπ' ὀνόματι τῆς γυναικὸς αὐτοῦ Σοφίας, καὶ τὴν νῆσον τὴν Πρίγκιπον, ὃ ἦν προάστειον αὐτοῦ, κατασκευάσας καὶ ἐκεῖ παλάτιον. ἔκτισε δὲ καὶ τὸν λεγόμενον χρυσοτρίκλινον, τὸν ἐν τῷ παλατίῳ. ἐκ θεμελίων δ' αὐτὸς ἔκτισε καὶ τὸν ναὸν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ

nos gloriam nactus est, quantam quum Gelimerum captum et Vitigem duos reges Byzantium duceret. accusatus postea, quasi insidiaretur Iustiniano regi persecutione mortuus est, victa tota eius factione.

IUSTINUS MINOR.

Iustinus minor regnavit annos 13, vir liberalis et aedificandi studiosus. habuit uxorem Sophiam. pius autem et orthodoxus ornavit ecclesias a Iustiniano exstructas magnam ecclesiam et sanctorum apostolorum ornamentis et vestimentis omnique reditu instruens. hic forma erat conspicuus, latus, magno ambitu, subcaeruleus, flavus, barba rara, ignavus, iracundus, temerarius, nullius consilium curans et, ut dixi, aedificandi studiosus et liberalis. idem progressus in circum factionibus excitatis edixit venetis, Iustinianum regem obiisse, prasinis autem, regem iis vivere. quibus auditis quievit populus.

Idem exstruit palatia Sophianorum ingentia et splendida maximeque mirabilia, nominata a Sophiae uxoris nomine, et insulam principem, quod illius erat suburbium et ibi quoque palatium exstruxit. aedificavit praeterea aureum quod dicitur triclinium in palatio. e fundamento idem aedem sanctorum apostolorum Petri et

Παύλου ἐν τῷ ὀρφανοτροφείῳ. ἀλλὰ καὶ τὰς δύο ἀψῖδας τῶν Βλαχερνῶν ὁ αὐτὸς προσέθηκεν, ὡς εἶναι τὴν ἐκκλησίαν σταυροτήν, καλλωπίσας τῇ τῶν κιόνων καὶ μαρμάρων ποικιλίᾳ. Ναρσῆς δὲ ὁ κουβικουλάριος ἠγαπᾶτο παρὰ τοῦ βασιλέως· διὸ καὶ ἐλοιδορεῖτο εἰς αὐτὸν ὑπὸ τῶν εἰωθότων ἴσως πάντα ὑπονοεῖν· ὃν καὶ ἀπέστειλεν εἰς Ἀλεξάνδρειαν κατὰ ἐχθρῶν πολεμίων, καὶ διεπράξατο πράξεις ἀρίστας. οὗτος ὁ Ναρσῆς ἔκτισε τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου, ἐν ᾧ καὶ λείψανα τῶν ἁγίων μαρτύρων Πρόβου Ταράχου καὶ Ἀνδρονίκου ἀπέθετο· ὅστις ναὸς τὰ Ναρσοῦ λέγεται.

Οὗτος ὁ Ἰουστῖνος συνεχῶς ἐνοσηλεύετο· ὅθεν οἱ δυνάσται τὰ τῶν πτωχῶν ἥρπαζον καὶ οὐδενὸς ἐφείδοντο. καί ποτε τοῦ βασιλέως ἐπὶ πρόκενσον ἐξελθόντος ἐπεβόων ὅτι πλεῖστοι παρὰ τῶν δυνατῶν βλαπτόμενοι· τοῦ δὲ βασιλέως ἀγανακτήσαντος εἷς τίς τῶν ἐν τέλει παρρησιασάμενός φησι τῷ βασιλεῖ "προχειρισάτω με, δέσποτα, ἡ βασιλεία σου ἐνώπιον ἁπάντων ἔπαρχον, καὶ βιβαιῶ σε μέχρι λ' ἡμερῶν μὴ εὑρίσκεσθαι τὸν ἀδικοῦντα ἢ ἀδικούμενον." καὶ εὐθέως προεχειρίσθη ἔπαρχος ὡς καὶ τοῦ βασιλέως ἀποδεξαμένου τοῦτον. τῇ δὲ ἑωθεν ἐπὶ τὸ τοῦ ἐπάρχου καθίσαντος βῆμα, καὶ γυναικὸς χήρας αὐτῷ προσελθούσης, καὶ φησάσης ὡς μύγιστρός τις καθήρπασεν αὐτῆς τὴν ἅπασαν οὐσίαν καὶ διὰ τοῦτο εἰς ἀπορίαν κατέστη, ἔφη ὁ ἔπαρχος ἀπελθεῖν αὐτὴν μετὰ

Pauli in orphanotropheo exstruxit. addidit idem duas cameras Blachernarum, ut crucis formam praeberet ecclesia, ornans eam columnis et marmore. Narses cubicularius quum amaretur a rege, ei maledixerunt ii, qui consueverant quemque suspicere. hunc misit Alexandriam adversus hostes et res optime gessit. hic Narses aedem sanctissimae matris dei condidit, in qua reliquias sanctorum martyrum Probi Tarachi et Andronici deposuit. haec appellatur aedes Narsetis.

Hic Justinus continuo aegrotabat; quare proceres res pauperum rapiebant nec cuiquam parcebant. atque progresso aliquando rege ad processum, quam plurimi a potentibus se opprimi clamabant: quod quum aegre ferret rex, unus e magistratibus, libere dixit; "constituat me, maiestas tua coram omnibus praetorem, promitto, post triginta dies nullum inventum iri neque vexatum neque vexantem." statim ille praetor constitutus est, quum rex quoque eum accepisset. matutino autem tempore ubi in praetoris sella consedit, quum vidua adveniret et magistrum aliquem omnem rem familiarem sibi abstulisse eaque de causa se ad inopiam detrusam esse diceret, iussit praetor eam abire cum ipsius sigillo et dicere magistro, ut ad se veniret in

σφραγῖδος αὐτοῦ, καὶ εἰπεῖν τῷ μαγίστρῳ παραγενέσθαι πρὸς αὐτὸν δικαιολογησόμενον. ἀπελθοῦσα οὖν ἡ γυνὴ οὐκ ἠκούσθη, ἀλλὰ καὶ μᾶλλον ἐτύφθη. ὁ δὲ ἔπαρχος αὖθις ἕνα τῶν κουρσόρων ἀποστείλας ἐλθεῖν τὸν μάγιστρον ἠξίου· ἐκεῖνος δὲ παραλογισάμενος ἦκεν ἐν τῇ προελεύσει. τοῦ δὲ ἐπάρχου ἐν τῷ ἱππικῷ τοῦτον ἐκδεχομένου, κληθέντος αὐτοῦ εἰς ἑστίασιν παρὰ τοῦ βασιλέως, εἰσῆλθεν ὁ ἔπαρχος ἐν τῷ παλατίῳ, καὶ μηνυθεὶς ἐκελεύσθη εἰσελθεῖν τοῦ βασιλέως ἑστιωμένου. καὶ εἰσελθὼν ἔφη πρὸς τὸν βασιλέα "εἰ μὲν ἃ προσέταξάς μοι, ὦ βασιλεῦ, μὴ φείδεσθαι τῶν τοὺς πτωχοὺς ἀδικούντων, οἵτινες ἂν ὦσι, φυλάττεις, γνῶθί με τελειοῦντα τὴν ἐμὴν ὑπόσχεσιν· εἰ δὲ μεταμελόμενος φίλους μᾶλλον σεαυτῷ ποιεῖς καὶ συνεστιᾷς, γνῶθι κἀμὲ παραιτούμενον τὴν τοιαύτην δουλείαν." ὁ δὲ βασιλεύς φησι πρὸς αὐτὸν "εἰ ἐγώ εἰμι ὁ ἀδικῶν, ἔξανάστησόν με ἀπὸ τοῦ θρόνου· εἰ δὲ ἕτερός τις τῶν ἐμοὶ συνεστιωμένων, μὴ φείδου." ὁ δὲ αὐτίκα τὸν μάγιστρον βιαίως ἁρπάσας καὶ τῇ χαλκῇ καταβάς, καὶ ἀκούσας τῆς γυναικὸς καὶ τοῦ μαγίστρου, καὶ γνοὺς ὡς οὐ μικρῶς αὕτη ὑπ' αὐτοῦ ἠδικήθη, τύψας αὐτὸν καὶ τῆς κεφαλῆς αὐτοῦ τρίχας χείρας καὶ γυμνῷ ὄνῳ ἐπικαθίσας διὰ μέσης τῆς πόλεως αὐτὸν ἐθριάμβευσεν, τῇ δὲ γυναικὶ τὴν ἅπασαν αὐτοῦ περιουσίαν ἀπέδωκεν. ἐκ τούτου οὖν ἅπαντες ἐσωφρονίσθησαν.

Οὗτος δὲ ὁ Ἰουστῖνος Τιβέριον τὸν κόμητα τῶν ἐξκου-

24. ἐξ κουσσατόρων C

iudicium. mulier quum abiisset non audita est, sed magis etiam vapulavit. praetor autem iterum unum de cursoribus misit, ut magistrum arcesseret. ille autem argutiis fallens publico processu venit. praetor in circo eum exspectavit et, quum a rege ille ad convivium vocaretur, ad palatium se contulit et nomine dato intrare iussus est, coenante rege. ingressus ad regem "si in eo, inquit, persistis, quae mihi mandasti, o rex, ne parcam iis, qui vexent pauperes, quicunque sint, scito me perfecturum, quae promisi: sin tu illos poenitentia ductus amicos potius habes et conviviis adhibes me quoque scito tale negotium deprecari." contra rex: "si ego," inquit, "iniuste ago, deiice me de sede regia; sin alius quidam ex iis qui mecum coenant, ei ne parcas." ille extemplo magistrum vi arripuit et in Chalcen duxit ubi quum mulierem et magistrum audisset illamque non leviter ab hoc esse vexatam cognovisset, magistrum verberibus oneratum, capite tonso, asino imposuit et per mediam urbem duxit, mulieri omnes res reddidit. inde omnes sibi temperabant.

Hic Iustinus Tiberium cometam unum de excubitoribus misit ad-

βιτόρων ἀπέστειλε κατὰ τῶν Οὔννων, ἐξελθόντων καὶ λεηλατούντων τὰ Θρᾳκῶα μέρη· εἶτα νόσῳ ληφθείς, καὶ Τιβέριον ἰδιοποιησάμενος διὰ τὰς ἀνδραγαθίας αὐτοῦ, Καίσαρα ἀνηγόρευσε. κτίζει δὲ καὶ τὰ παλάτια τὰ ἐν τῷ Ἰουλιανοῦ λιμένι, ἐπ' ὀνόματι τῆς γυναικὸς αὐτοῦ Σοφίας, ἀποκαθάρας τὸν λιμένα καὶ μέσον τοῦ λιμένος ἱδρύσας στήλας δύο, αὐτοῦ τε καὶ τῆς γυναικός, μετονομάσας τὸν λιμένα Σοφίας.

Νόσῳ δὲ βαρηθεὶς προσεκαλέσατο τόν τε ἀρχιερέα καὶ τὴν σύγκλητον πᾶσαν, καὶ ἀγαγὼν τὸν Τιβέριον παρουσίᾳ πάντων προεβάλετο αὐτὸν βασιλέα, εἰπὼν τάδε "ὁ θεὸς ἀγαθύν σε ποιήσας αὐτός, οὐκ ἐγώ σοι τὸ σχῆμα τῆς βασιλείας δίδωσι. τίμησον αὐτόν, ἵνα τιμηθῇς ὑπ' αὐτοῦ. μὴ ἐπιχαίρῃς αἵμασι· μὴ κοινωνῇς φόνοις· μὴ κακὸν ἀντὶ κακοῦ ἀποδιδῷς. μὴ μνιῇς τινὶ ὡς κἀγώ· κἀγὼ γὰρ μνησικακήσας ἔπταισα καὶ σφαλεὶς ἀπέλαβον κατὰ τὰς ἀνομίας μου· ἀλλὰ δικάσομαι ἐν τῷ θεῷ μετὰ τῶν ὑποβαλόντων μοι ταῦτα. μὴ ἐπαρθῇς ἐπὶ τιμῇ τῆς βασιλείας σου. οὕτως ἔχε τοὺς πάντας ὡς σεαυτόν. γνῶθι τίς ἦς καὶ τίς εἶ νῦν. μὴ ὑπερήφανος ἦς τοῖς ὁμοφύλοις, καὶ οὐχ ἁμάρτῃς. οἶδα τίς ἤμην καὶ τίς εἰμὶ νῦν τὸν θάνατον ἐν ὀφθαλμοῖς ὁρῶν. πάντες οὗτοι παριστήκασι δοῦλοί εἰσι. καὶ τέκνα σου. τῷ στρατῷ πρόσεχε· ἀνάνδρους καὶ ἀσυνέτους μὴ προχειρίζῃ· μή σε πεισάτωσαν ὅτι καὶ οἱ πρὸ σοῦ οὕτως διεγένοντο. ταῦτα παρεγγυῶ σοι καὶ παραινῶ

10. προσεβάλλετο C. 14. μνιῶν Cedrenus 15. δίκασον C

versus Hunnos, qui invasione facta Thraciam diripiebant. postea morbo oppressus, quum Tiberium propter virtutes adoptasset Caesarem enim pronuntiavit. exstruxit etiam palatia in Iuliani portu dicta ex nomine Sophiae uxoris, ubi portum purgavit et in medio portu duas statuas, suam et uxoris, posuit, nomine mutato Sophiae portum appellans.

Morbo autem gravatus episcopum arcessivit omnemque senatum et arcessitum Tiberium coram omnibus regem constituit dicens: "deus qui bonum te fecit ipse, non ego, regalem habitum tibi dat; cole eum ut eo colaris, ne gaudeas sanguine, ne caedis particeps sis; ne malum pro malo redde. ne irascere cuiquam, ut ego: nam ego quoque iratus erravi et peccatorum meorum mercedem accepi, sed causam agam coram deo cum iis, qui id mihi suaserunt. ne spiritus sume propter regium honorem. eodem loco, quo te, omnes habe. cognosce quis fueris, quis nunc sis. ne superbus sis adversus gentiles tuos neve pecces. scio quis fuerim et quis nunc sim mortem oculis cernens. omnes qui hic adstant ministri sunt et liberi tui. exercitus cu-

ἀφ' οὗ ἔπαθον. περιουσίαν οἱ ἔχοντες ἀπολανέτωσαν αὐτῶν χρησίμως. τοῖς μὴ ἔχουσιν, εἰ ἀγαθοί, δώρησαι. οἶδας ὅτι τῶν σπλάγχνων μοὐ σε προετίμησα. τὴν μητέρα σου τὴν ποτέ σου δέσποιναν γενομένην σέβου καὶ τίμα· δοῦλος γὰρ ἦσθα πρότερον, νῦν δὲ γενοῦ υἱὸς αὐτῆς." ταῦτα εἰπόντος τοῦ βασιλέως, καὶ τοῦ Καίσαρος ἐν τοῖς ποσὶν αὐτοῦ πεσόντος, ἔφη ὁ βασιλεὺς "εἰ θέλεις, εἰμί, εἰ οὐ θέλεις, οὐκ ὤ. ὁ θεὸς ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν ποιήσας ἐμβάλοι εἰς τὴν σὴν καρδίαν ἄλλα ἃ ἐπελαθόμην εἰπεῖν σοι." τελευτήσαντος δὲ αὐτοῦ ἐκράτησε Τιβέριος.

Οὗτος οὖν ὁ Ἰουστῖνος τὸν ναὸν τοῦ ἀρχιστρατήγου, τὸν ἔκ τινος Ἀδᾶ ἐκεῖσε κατοικοῦντος προσαγορευόμενον, ἔκτισέ τε καὶ ἐκαλλώπισεν. ἐπὶ αὐτοῦ Ἰουστίνου Ναρσῆς κτίζει τὴν τῶν καθαρῶν ἐπιλεγομένην μονήν, ἐκκλησίαν περικαλλῆ κατασκευάσας. Ἰουστῖνος ἀνακαινίζει καὶ τὸν μέγαν ἀγωγὸν Οὐάλεντος ὑπὸ σεισμοῦ καταπεσθέντα. κτίζει δὲ καὶ ἕτερον ἀγωγὸν τὸν λεγόμενον Ἀδράνην, δαψιλειων ὕδατος τῇ πόλει χορηγήσας. ἐπὶ αὐτοῦ χειροτονεῖται Ἰωάννης πατριάρχης ὁ νηστευτής. τελευτήσαντος τοῦ βασιλέως ἐτέθη τὸ σῶμα αὐτοῦ ἐν τῷ ἡρῴῳ, ἐν λάρνακι λευκῇ Προικονησίῳ· ὡσαύτως καὶ ἡ γυνὴ αὐτοῦ Σοφία. τὴν δὲ τῆς ἀρχιερωσύνης ἀρχὴν διεῖπε πάλιν Εὐτύχιος, ἀνακληθεὶς τῆς ἐξορίας.

7. οὐ ζῶ Cedrenus 16. καταποθέντα Cramerus. an καταπτωθέντα?

ram habe, effeminatos et stupidos ne elige; ne tibi persuadeant eos quoque qui ante te regnaverint, ita fecisse. haec te admoneo et hortor edoctus iis, quae passus sum. divitiis qui abundant, bene iis fruantur, iis qui non habent, si boni sunt, dona da. scis prae visceribus te a me dilectum esse. matrem tuam quae tua olim domina fuit, cole et dilige; servus enim antea eras, nunc eius filius esto." quae quum dixisset rex et Caesar ad eius pedes procubuisset, rex: "si vis," inquit "sum, sin vis, non sum. deus qui coelum et terram fecit, iniiciat in animum tuum cetera quae tibi dicere oblitus sum" postquam mortuus est, regnavit Tiberius.

Hic igitur Iustinus aedem summi ducis ab Ada aliquo, quo ibi habitaverat, dictam exstruxit et ornavit. sub ipso Iustino Narses exstruit purarum dictum monasterium, ecclesiam perpulchram parans. Iustinus restituit praeterea magnum aquaeductum Valentis, terrae motu deletum; exstruxit etiam alium ductum qui dicitur Adranes, copiam aquae urbi praebens. sub eo Ioannes abstinens patriarcha eligitur. rege mortuo corpus eius sepultum est in heroo, in urna alba Proeconesia; quemadmodum uxor quoque Sophia. episcopatu iterum functus est Eutychius, ex exilio accitus.

Τιβέριος.

Τιβέριος ἐβασίλευσεν ἔτη πέντε. οὗτος ἦν τὴν μὲν τοῦ σώματος ἀναδρομὴν τέλειος, εὔστηθος, εὐόμματός τε καὶ ὀλίγον ὑπόγλαυκος, ξανθὴν ἔχων τὴν τρίχα τῆς κεφαλῆς καὶ τὸ γένειον, λευκὸς τὴν χροιάν, καὶ τὸ πρόσωπον ἀνθηρός, ἀγαθός τε καὶ μεγαλόψυχος εἰς ὑπερβολήν. τούτου ἀνελθόντος ἐν τῷ ἱπποδρομίῳ ἔκραξαν τὰ μέρη "ἴδωμεν, ἴδωμεν τὴν Αὐγούσταν Ῥωμαίων." ὁ δὲ ἐδήλωσεν "ἡ ἀντικρὺ τοῦ δημοσίου λοετροῦ, Διηγήσεως ἐκκλησία οὖσα ὁμώνυμός ἐστι τῇ Αὐγούστῃ." εὐφήμησαν οὖν τὰ μέρη "Ἀναστασίας Αὐγούστης πολλὰ τὰ ἔτη." ἡ δὲ Σοφία τοῦ Ἰουστίνου γυνὴ ἐπλήγη τὴν ψυχήν· οὐ γὰρ ᾔδει ἔχειν αὐτὸν γυναῖκα, καὶ διὰ τοῦτο προσεφιλιώθη αὐτῷ ἐπὶ Ἰουστίνου, καὶ ἔπεισεν αὐτὸν προβαλέσθαι εἰς βασιλέα τὸν Τιβέριον, βουλομένη γῆμαι αὐτὸν καὶ μεῖναι Αὐγούσταν. ταύτην δὲ κατήγαγε Τιβέριος εἰς παλάτιον τὸ ἐν τῷ Ἰουλιανοῦ λιμένι, κελεύσας κουβικουλαρίους καὶ ἑτέρους τινὰς εἶναι εἰς ὑπουργίαν αὐτῆς καὶ διατηρεῖν αὐτήν· ἐτίμα δὲ αὐτὴν ἴσα μητρί, ποιῶν πᾶσαν θεραπείαν αὐτῆς.

Οὗτος ἔκτισέ τε καὶ κατεκόσμησε καὶ τὸ δημόσιον τῶν Βλαχερνῶν λοετρόν, καὶ πολλὰς ἐκκλησίας καὶ ξενῶνας ἀνενέωσεν. οὗτος καὶ τὸν λεγόμενον χρυσοτρίκλινον ἐν τῷ παλατίῳ ἐπεκόσμησέ τε καὶ κατελάμπρυνε τὸν πρώην ὑπὸ Ἰου-

9. *Διηγιστέως* Cedrenus

TIBERIUS.

Tiberius regnavit annos 5. is erat corporis figura iusta, pectore firmo, oculis decoris et paullum subcaeruleis; flavo capitis et barbae capillo, colore candido, vultu vigens, bonus et magnanimus quam maxime. is quum procederet in circum partes clamabant: "videamus, videamus Augustam Romanorum." ille vero edixit: "ecclesia publico balneo Diegesis ex adverso sita cognomen Augustae habet." partes igitur clamarunt: "Anastasiae Augustae anni sint multi." Sophiae autem Iustini uxoris animum ea res perculit. nesciebat enim, ei uxorem esse eaque de causa et favebat sub Iustino et persuasit huic, ut regem proponeret Tiberium, sperans se ei nupturam et Augustam mansuram. sed hanc Tiberius deduxit in palatium in Iuliani portu exstructum et cubicularios cum aliis nonnullis ei iussit ministros esse et custodes, colebat vero eam ut matrem, omnem honorem tribuens.

Hic exstruxit et ornavit publicum in Blachernis balneum, multasque ecclesias et deversoria restituit. is aureum quoque quod dicitur triclinium ornavit et composuit, quod antea a Iustino e funda-

στινοῦ ἐκ θεμελίων κτισθέντα. οὗτος Μαυρίκιον καὶ Ναρσῆν κατὰ Περσῶν ἀπέστειλε. Μαυρίκιον δὲ ὑποστραφέντα μετὰ νίκης μεγάλης ἐδέξατο ὁ βασιλεὺς μετὰ τιμῆς πολλῆς, καὶ γαμβρὸν αὐτὸν εἰσεποιήσατο ἐπὶ θυγατρὶ αὐτοῦ Κωνσταντίνᾳ· ὡσαύτως καὶ Γερμανὸν πατρίκιον τὸν ἐν Ἀφρικῇ στρατηγοῦντα ἐπὶ τῇ ἑτέρᾳ αὐτοῦ θυγατρί, ἀμφοτέρους ποιήσας Καίσαρας. φαγὼν δὲ καὶ συκόμωρα πρώϊμα ἀξιοθέατα πεφαρμαγμένα, καὶ μέλλων τελευτᾶν, Μαυρίκιον βασιλέα ἀνηγόρευσεν.

Μαυρίκιος ὁ γαμβρὸς Τιβερίου.

Μαυρίκιος ἐβασίλευσεν ἔτη εἴκοσι. οὗτος ἔσχε γαμβρὸν ὀνόματι Φιλιππικόν, ὃς ἔκτισε μονὴν ἐν Χρυσοπόλει ἐπ' ὀνόματι τῆς Θεοτόκου, στρατηγὸς δὲ παρὰ Μαυρικίου προχειρισθεὶς καὶ ἀναλαβὼν τὰ στρατεύματα κατὰ Περσῶν ἐχώρησε, πολλὰς ἀνδραγαθίας κατ' αὐτῶν ἐνδεικνύμενος, ἅμα Ἡρακλείῳ στρατηγῷ. κτίζει δὲ Μαυρίκιος τὰ Καριανοῦ καὶ τὸν ἐν αὐτῷ ἔμβολον, ὑπογράψας ἐν αὐτῷ τὰς αὐτοῦ πράξεις καὶ ἀριστείας· καὶ τὴν λιτὴν τὴν ἐν Βλαχέρναις τὴν καλουμένην πρεσβείαν, τὴν κατὰ παρασκευὴν τελουμένην, ὃ αὐτὸς τελεῖσθαι διετύπωσεν, ὡσαύτως καὶ τὴν προέλευσιν τῆς ὑπεραγίας Θεοτόκου ἀπαρτίσας καὶ τὸ ἐν αὐταῖς δημόσιον λοετρόν. οὗτος κτίζει καὶ τὸν ναὸν τῶν ἁγίων τεσσαράκοντα, ὄντα πλησίον τοῦ σωτηρίου.

mento exstructum erat. hic Mauricium et Narsetem adversus Persas misit. Mauricium magna cum victoria redeuntem rex multo cum honore accipit et generum fecit data ei filia Constantina; item Germano patricio in Africa milites ducenti alteram filiam in matrimonium dedit, utrumque Caesarem constituens. quum autem praematura et mira sycomora edisset venenata et iam in eo esset ut moreretur, Mauricium regem pronuntiavit.

MAURICIUS TIBERII GENER.

Mauricius regnavit annos 20. is generum habuit Philippicum, qui monasterium exstruxit Chrysopoli dictam a matre dei; dux autem a Mauricio electus exercitu accepto adversus Persas profectus magnam virtutem eo bello una cum Heracleo duce praestitit. exstruxit autem Mauricius Cariani aedem et eius porticum, inscribens res gestas et facinora sua. idem processionem in Blachernis, quae *πρεσβεία* dicebatur, et parascena fiebat, celebrare instituit; praeterea processum sanctissimae deiparae et publicum ibi balneum confecit; condidit etiam 40 sanctorum templum prope soterium.

Οὗτος οὖν ὁ Μαυρίκιος ὥρμητο ἐκ τῆς τῶν Καππαδοκῶν χώρας, ἦν δὲ τῇ ἰδέᾳ μεσῆλιξ, εὐσθενής, λευκόχρους, στρογγύλην ἔχων τὴν ὄψιν, πυρράκης, ἀναφάλας, εὔριν, ἀπώγων, κειρόμενος τὸ γένειον καθὼ Ῥωμαίοις ἐστὶν ἔθος. ἐπὶ τούτου Χαγάνος ὁ τῶν Ἀβάρων ἀρχηγός, τὰς σπονδὰς διαλύσας, ἐπὶ τὴν Θρᾴκην χωρεῖ καὶ πολλὰ στρατεύματα τῶν Ῥωμαίων ἀνεῖλε· τοῦ δὲ βασιλέως κατ' αὐτοῦ ἐξιόντος καὶ ἐν τῷ Δαονίῳ γενομένου, τῇ νυκτὶ ἐκείνῃ γύναιον ἔτικτε καὶ οἰκτρὰς φωνὰς ἠφίει· ὁ δὲ βασιλεὺς ἀπέστειλε μαθεῖν τὸ συμβάν, καὶ εἶδεν παιδίον γενηθὲν ἄνευ ὀφθαλμῶν καὶ βλεφάρων, μήτε χεῖρας μήτε βραχίονας ἔχον· πρὸς δὲ τὸ ἰσχίον ἰχθύος οὐρὰ προσπεφυκυῖα ὑπῆρχεν αὐτῷ. ἀλλὰ καὶ εἰς τὰ ἔξωθεν τοῦ Βυζαντίου χωρία ἐτέχθησαν ἓν μὲν παιδίον τετράπουν καὶ ἕτερον δικόρυφον. οἱ δὲ τὰς ἱστορίας γράφοντες λέγουσιν, ἐν αἷς τοιαῦτα τίκτονται, μὴ σημαίνειν ἀγαθὰ ταῖς πόλεσιν. τῇ δὲ αὐτῇ ἡμέρᾳ καὶ ὁ ἵππος τοῦ βασιλέως διερράγη πεσών. ὁ δὲ τούτοις οἰωνισάμενος ὑπέστρεψεν ἐν τῇ πόλει, Πρίσκον ἀποστείλας τὸν ἴδιον γαμβρὸν κατὰ Σκυθῶν μετὰ παντὸς τοῦ στρατοῦ· οἳ τοὺς Σκύθας νικήσαντες ἀνῄρουν κατὰ τοῦ βασιλέως ἐβουλεύοντο. ἔμεινε δὲ ἐπ' αὐτοῖς ὁ βασιλεύς. πολέμου συγκροτηθῆναι μέλλοντος μεταξὺ Ῥωμαίων καὶ Ἀβάρων ὑπέθετο Μαυρίκιος ὁ βασιλεὺς τῷ στρατηγῷ τῷ καταπιστευθέντι τὸ στράτευμα προδοῦναι τούτους

10. γενηθέντα C 15. ἐν] ἢ ἐν C 20. ἐμήνιε?

Hic igitur Mauricius, oriundus e Cappadocia, statura fuit mediocri, robustus, candidus, facie rotunda, rufus, recalvaster, uaribus sagacibus, barba nulla, tondens eam, ut mos est Romanorum. eo regnante Chaganus Avarorum dux, foedere rupto, in Thraciam irrupit et multos exercitus Romanorum cecidit; contra quem quum rex exiret et Daonii esset, illa nocte mulier peperit ac lugubres voces edebat. misit rex, ut audiret quid accidisset, et vidit infantem natum esse oculis et superciliis carentem, neque manus neque brachia habentem: inguini autem caudam piscis habebat innatam. sed etiam extra Byzantium nati sunt pueri alter quadrupes alter biceps. historici dicunt, urbibus in quibus talia nascantur, non bona omina esse. eodem die etiam equus regis concidens ruptus est. his auspiciis motus ille in urbem rediit, misso contra Scythas Prisco genero cum omni exercitu. hi, Scythis victis, reditionem moliti sunt adversus regem. sed superavit eos rex. quum in eo esset, ut bellum oriretur inter Romanos et Avaros, Mauricius rex duci, cui mandatus erat exercitus, illum tradere hostibus mandavit propter seditionem, quam contra

τοῖς πολεμίοις δι' ἣν ἀνταρσίαν κατ' αὐτοῦ ἐμελέτησαν· ὅπερ καὶ γέγονε. συνελήφθη οὖν πλῆθος πολύ, καὶ ἤγαγον αὐτοὺς οἱ Σκύθαι ἐξωνηθῆναι παρὰ Ῥωμαίων. ἐδήλωσε δὲ ὁ βασιλεὺς τῷ Χαγάνῳ δωρεὰν αὐτῷ πάντας ἀπολυθῆναι, εἰ τὴν εἰρήνην φιλεῖ· ὁ δὲ ἀντεδήλωσεν "ἀποδίδωμί πάντας κατὰ ψυχὴν ὲν νόμισμα κομιζόμενος." τοῦ βασιλέως μὴ ἀνασχομένου δοῦναι, ἀνὰ ἥμισυ νόμισμα ἠξίωσε λαβεῖν ὁ βάρβαρος· καὶ μηδὲ τοῦτο καταδεξαμένου τοῦ βασιλέως, θυμωθεὶς ὁ βάρβαρος ἀπέκτεινε χιλιάδας δώδεκα ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου τὸ ὂν πλησίον τοῦ ἑβδόμου· ὅθεν ἐκ τούτου ἐμισήθη Μαυρίκιος ὑπὸ πάντων. ὁ δὲ μεταμεληθείς, καὶ τὸ μέλλον κριτήριον ἐννοήσας, εἵλετο μᾶλλον ἐνταῦθα τὴν ἁμαρτίαν ἀπολαβεῖν, καὶ μὴ ἐπὶ τοῦ φοβεροῦ κριτηρίου· καὶ ποιήσας δεήσεις ἐγγράφους ἀπέστειλεν εἴς τε τοὺς πατριαρχικοὺς θρόνους καὶ εἰς ἀσκητήρια καὶ μοναστήρια μετὰ δώρων πολλῶν, ὅπως εὔξωνται περὶ αὐτοῦ, ἵνα τὴν ἁμαρτίαν ἐνταῦθα ἀπολάβῃ. προεσκανδαλίζετο δὲ καὶ εἰς Φιλιππικὸν γαμβρὸν αὐτοῦ διὰ τὸ φ γράμμα· οὕτως γὰρ εἶπον Μαυρικίῳ, ὅτι μέλλει φ αὐτὸν διαδέχεσθαι· ὁ δὲ δι' ὅρκων πολλῶν ἐπληροφόρει Μαυρίκιον καθαρὸς εἶναι τῆς ὑποψίας ταύτης. ὁ δὲ Μαυρίκιος τὸν θεὸν ἱκετεύσας ῥυσθῆναι τῆς ἁμαρτίας, εἶδεν ἐνύπνιον τοιοῦτον, ὡς ὅτι λαοῦ πλείστου παρεστῶτος τῇ εἰκόνι Χριστοῦ ἐν τῇ χαλκῇ πύλῃ τοῦ παλατίου φωνὴ ἐγένετο ἐκ τῆς εἰκόνος λέγουσα "ἀγάγετέ μοι Μαυρί-

ipsum moverat. quod et factum est. capta igitur est magna multitudo, et duxerunt eos Scythae ut emerentur a Romanis. indicavit autem rex Chagano, ut nullo pretio sibi omnes redderet, si pacem cuperet. ille contra: "reddam," inquit, "si unum pro singulo homine nummum accepero." quod quum rex dare nollet, dimidium pretium barbarus se accipere velle significavit, et quum ne hoc quidem rex vellet, iratus barbarus interfecit duodecim millia in campo tribunalis prope septimum milliarium. illo ex tempore omnibus invisus erat Mauricius. ipse vero, quum facti eum poeniteret, iudicii futuri memor, hic maluit peccato se liberare, quam in iudicio terribili; et preces litteris scriptas misit ad sedes patriarchales et ad asceteria et monasteria cum multis donis, ut pro se precarentur, quo peccato liberaretur. irascebatur vero etiam Philippico genero propter Φ litteram; dixerant enim Mauricio, fore ut Φ eum exciperet; sed ille multis iuribus iurandis ei persuasit, ut liber esset ab hac suspicione. Mauricius precatus a deo, ut peccato liberaretur, hoc somnium vidit; magna astante multitudine ad Christi simulacrum in porta aenea

κιον," ὃν ἀγαγόντες παρέστησαν, καὶ φησὶν ἡ θεία φωνὴ "ποῦ θέλεις, ὦ Μαυρίκιε, ἀποδώσω σοι; ἐνταῦθα ἢ ἐν τῷ μέλλοντι αἰῶνι;" ὁ δὲ γενόμενος ἔντρομος ἀποκριθεὶς εἶπε "φιλάνθρωπε κύριε, ὧδε καὶ μὴ ἐκεῖ." καὶ εὐθέως ἐκέλευσεν ἐκδοθῆναι αὐτόν τε καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ Φωκᾷ τῷ στρατιώτῃ. διυπνισθεὶς οὖν ἀπέστειλεν εὐθὺς τὸν παρακοιμώμενον αὐτοῦ ἀγαγεῖν Φιλιππικόν, ὃς ἐν τῇ αὐτῇ ὥρᾳ ἰδὼν τὸν παρακοιμώμενον καὶ τῆς ἑαυτοῦ ζωῆς ἀπογνοὺς ᾐτήσατο κοινωνῆσαι, καὶ οὕτως ἀπῇει πρὸς τὸν βασιλέα καταλιπὼν τὴν γυναῖκα ἐπὶ σάκκου καὶ σποδοῦ θρηνοῦσαν· ἐλθὼν δὲ πρὸς τὸν βασιλέα ἔπεσεν ἐν τοῖς ποσὶν αὐτοῦ. ὁ δὲ βασιλεὺς ἐκέλευσεν ἐξελθεῖν τὸν παρακοιμώμενον, καὶ ἐξελθόντος ἔπεσε καὶ αὐτὸς εἰς τοὺς πόδας Φιλιππικοῦ λέγων "συγχώρησόν μοι, ἀδελφέ, ὅτι ἥμαρτόν σοι πολλά· σὲ γὰρ ὑπενόουν τῇ ζωῇ μου ἐπιβουλεῦσαι, ἀλλὰ νῦν ἔγνων ἀθῶον εἶναί σε. παρακαλῶ οὖν σε εἰπεῖν μοι εἰ γινώσκεις ἐν τοῖς τάγμασι Φωκᾶν τινὰ στρατιώτην." ὁ δὲ Φιλιππικὸς εἶπεν "ἕνα γινώσκω, ὃς πρὸ καιροῦ πεμφθεὶς ἐκ τοῦ στρατοῦ ἀντέλεγε τῷ κράτει σου." καὶ ὁ βασιλεὺς ἔφη "ποίας ἐστὶ γνώμης;" ὁ δὲ εἶπε "δειλὸς καὶ θρασύς." ὁ δὲ βασιλεὺς ἔφη "εἰ δειλός, καὶ φονεύς," καὶ διηγήσατο ὁ βασιλεὺς αὐτῷ τὸ ἐνύπνιον. ὁ δὲ εἶπεν "ἴδε πῶς γράμμα οὐ λείπει τῷ θεῷ, δέσποτα, ὅταν θέλῃ δοῦναί τινι τὴν βασιλείαν." ἔφθασε δὲ καὶ ὁ ἀποσταλεὶς μαγιστριανὸς φέρων

palatii, vox edita est e simulacro haecce: "ducite ad me Mauricium," quo adducto et apposito, divina vox: "ubi vis," inquit "Maurici, te puniam? utrum hic an in futura vita?" ille vero exterritus respondit; "amantissime domine, hic, non illic." atque extemplo iussit eum cum muliere et liberis omnibusque cognatis Phocae militi tradi. experrectus igitur iussit extemplo excubitorem adducere Philippicum, qui simulac vidit excubitorem de vita sua desperans rogavit, ut particeps esset, et ita abiit ad regem, relicta muliere in sacco et cinere flente. quum ad regem venisset, ad pedes procubuit. rex excubitorem iussit egredi foras eoque egresso ipse quoque procubuit ad pedes Philippici, dicens: "ignosce mihi, frater quod peccavi in te multa; te enim suspicabar vitae meae insidiari; nunc cognovi, innocentem te esse; moneo igitur nunc te, ut mihi dicas, num noveris in exercitu Phocam quendam militem." Philippicus contra: "unum," inquit, "novi, qui missus ex exercitu contra potestatem tuam locutus est." atque rex: "qua," inquit natura? ille "ignavus," inquit, "et audax. rex: "si ignavus," inquit, "etiam interfector." et narravit ei

Μαυρίκιος δέσμιος εἰς τὸν Εὐτροπίου λιμένα. προκολάζων δὲ αὐτὸν ὁ μιαιφόνος τῇ θεωρίᾳ τοὺς πέντε ἄρρενας υἱοὺς αὐτοῦ ἔμπροσθεν αὐτοῦ σφαγῆναι προστάττει. ὁ δὲ Μαυρίκιος φιλοσοφῶν τῷ δυστυχήματι συνεχῶς ἐπεφθέγγετο "δίκαιος εἶ, κύριε, καὶ δικαία ἡ κρίσις σου." τῆς δὲ τιθηνῆς ὑποκλεψάσης ἓν ἐκ τῶν πέντε βασιλικῶν παιδίων, καὶ τὸ ἴδιον ἀντιδιδούσης πρὸς ἀναίρεσιν, ὁ Μαυρίκιος οὐ κατεδέξατο, ἀλλὰ τὸ ἴδιον ἐπεζήτησεν ἐλθεῖν καὶ αὐτὸ ἀναιρεθῆναι. καὶ οὕτω καὶ αὐτὸς ἀπετμήθη τὴν κεφαλήν, τοῦ ἀθλίου Φωκᾶ προστάξαντος τὰς τούτων κεφαλὰς ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου ἀποτεθῆναι· καὶ ἐξήρχοντο οἱ τῆς πόλεως, καὶ ἐθεώρουν αὐτας ἕως οὗ ἐπώζησαν· καὶ τότε συνεχώρησεν αὐτὰ τοῖς ποθοῦσιν ἀποδοθῆναι. τὴν δὲ Μαυρικίου γυναῖκα σὺν ταῖς τρισὶ θυγατράσιν αὐτῆς μετ' οὐ πολὺ διαβληθεῖσαν ὡς κατ' αὐτοῦ μελετῶσαν ἀνεῖλεν ἐν τῷ μόλῳ τοῦ Εὐτροπίου. οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ τοῦ Μαυρικίου διώλεσεν ὁ παράνομος. τὸ δὲ σῶμα Μαυρικίου καὶ τὸ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων αὐτῶν ἐτέθησαν ἐν τῷ σεμνείῳ τοῦ ἁγίου μάρτυρος Μάμαντος, ὅπερ ἔκτισε Φαρασμένης ὁ ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως Ἰουστίνου, πλησίον τῆς ξηροκέρκου πόρτης. ἐπεγράφη δὲ τῷ τάφῳ αὐτῶν ἐλεγεῖον τόδε.

Ἆδ' ἐγὼ ἡ τριτάλαινα καὶ ἀμφοτέρων βασιλέων,
Τιβερίου θυγάτηρ Μαυρικίου τε ἄμαρ,

tem puniens eum aspectu sceleratus quinque filios eius coram eo interfici iubet. Mauricius autem de calamitate philosophans perpetuo clamavit: "Iustus es, domine, et iustum est iudicium tuum." quum nutrix unum e quinque regis infantibus detraxisset suumque ipsius infantem ad caedem substituisset, Mauricius id non accepit, sed suum infantem venire et interfici iussit. atque ita ipsius quoque caput abscisum est, et misero Phoca iubente, cum reliquis in campo tribunalis depositum. proveniebant cives et videbant ea dum putrefacta sunt; tum demum concessit, optantibus ut traderentur. Paulo post Mauricii uxorem cum tribus filiabus incusatam, tanquam aliquid contra se moliretur, interfecit in portu Eutropii. quin etiam omnes cognatos Mauricii exstinxit tyrannus. corpus autem Mauricii eiusque uxoris et liberorum sepeliverunt in sacro sancti martyris mamantis, quod exstruxerat Pharasmenes, cubicularius Iustini regis, prope portam areae. inscripta est sepulcro eorum haec elegia:

Haec ego ter misera et utriusque regis
Tiberii filio Mauricii uxor

ἡ πολύπαις βασίλεια, καὶ ἡ δείξασα λοχείᾳ
ὡς ἀγαθὸν τελέθει καὶ πολυκοιρανίη,
κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ,
δήμου ἀτασθαλίῃ καὶ μανίῃ στρατιῆς.
ἕτλην τῆς Ἑκάβης πολὺ χείρονα, τῆς Ἰοκάστης.
αἳ αἳ τῆς Νιόβης ἔμπνοός εἰμι νέκυς.
ναὶ ναὶ τὸν γενέτην. τί μάτην τὰ νεογνὰ ἔκτειναν,
ἀνθρώπων κακίης μηδὲν ἐπιστάμενα;
ἡμετέροις πετάλοισι κατάσκιος οὐκέτι Ῥώμη·
ῥίζα γὰρ ἐκλάσθη Θρηϊκίοις ἀνέμοις.

Ἔκτοτε δὲ Φιλιππικὸς ἀποκειράμενος καὶ ἱερωσύνην λαβών, ἐν Χρυσουπόλει διατελῶν ἡσύχως ἐτελεύτησε. καὶ ἀπὸ τότε οὐ διέλιπε τῇ πολιτείᾳ δυστυχήματα ποικίλα τε καὶ ἐπάλληλα· ὅ τε γὰρ Χοσρόης ὁ Πέρσης τὴν εἰρήνην διέλυσε, καὶ Ἀβάρεις τὴν Θρᾴκην ἐδήωσαν καὶ ἄμφω τὰ στρατόπεδα τῶν Ῥωμαίων διέφθειραν, καὶ χειμὼν βαρύτατος γεγόνει ὥστε παγῆναι τὴν θάλασσαν καὶ τοὺς ἰχθύας τεθνάναι.

Ποιήσαντος δὲ αὐτοῦ ἱππικόν, καὶ τῇ ἑσπέρᾳ πολλῷ οἴνῳ χρησαμένου καὶ βραδύνοντος ἀνελθεῖν, ἔκραζεν ὁ δῆμος "ἀνάτειλον Φωκᾶ·" μὴ ἐξερχομένου δὲ αὐτοῦ τάχιον πρὸς τὴν θέαν ἔφη ὁ δῆμος "πάλιν τὸν καῦκον ἔπιες, πάλιν τὸν νοῦν ἀπώλεσας." ἐφ' οἷς μανεὶς πολλοὺς ἠκρωτηρίασε καὶ πολλῶν κεφαλὰς ἀπέτεμε. τοῦ δὲ ὄχλου πῦρ εἰς τὸ πραιτώριον βάλ-

liberis fecunda regina et quae ostendi pariendo
bonum esse etiam multorum imperium
iaceo cum liberis nostroque marito
populi scelere et exercitus furore.
perpessa sum multo peiora Hecuba et Iocasta
heu heu Niobes animatum corpus sum.
proh patrem! quid nequicquam infantes interfecerunt
hominum malignitatis inscios?
nostris foliis nunquam inumbratur Roma:
radix enim Thraciis ventis fracta est.

Inde Philippicus tonsus et sacerdos factus Chrysopoli vivens tranquille mortuus est. atque inde ex hoc tempore non reliquerunt civitatem calamitates variae et continuae. Chosroes enim Persa pacem rupit, et Avari Thraciam vastaverunt, et utrumque exercitum Romanorum attriverunt; hiems etiam gravissima erat, ut mare gelaret et pisces morerentur.

Quum instituisset cursum equorum, vesperi autem multum vini bibisset et egredi cunctaretur, clamavit populus "surge Phoca!" quum vero non celerius ad spectaculum egrederetur, populus "iterum," inquit, "caucum bibisti, iterum mentem perdidisti." quo iratus mul-

λοντος ἐξῆλθον πάντες οἱ δέσμιοι καὶ ἔφυγον. ὁ δὲ αὐτὸς Φωκᾶς ἁρμάμεντον τὸ ὂν πλησίον τῶν παλατίων τῆς Μαγναύρας, στήσας ἐν μέσῳ αὐτοῦ καὶ κίονα κτιστόν, καὶ τὴν στήλην αὐτοῦ ἐπάνωθεν.

Ὁ δὲ γαμβρὸς αὐτοῦ Κρίσπος ὁ πατρίκιος, μὴ ὑποφέρων ὁρᾶν τούς τε ἀδίκους φόνους καὶ τὰ δεινὰ τὰ ὑπὸ Φωκᾶ γινόμενα, ἔγραψε πρὸς Ἡράκλειον στατηγὸν ὄντα ἐν Ἀφρικῇ μετὰ τοῦ στόλου, ὅπως ἀνέλθωσι κατὰ τοῦ τυράννου Φωκᾶ. ὁ δὲ αὐτὸς Ἡράκλειος ἐξ Ἀφρικῆς πλοῖα πολλὰ ἐξοπλίσας καὶ στρατὸν τὴν Κωνσταντινούπολιν κατέλαβεν, ἐπιφερόμενος καὶ τὴν ἀχειροποίητον εἰκόνα τοῦ κυρίου καὶ θεοῦ ἡμῶν. καὶ πολέμου κροτηθέντος μεταξὺ Φωκᾶ καὶ Ἡρακλείου εἰς τὸν Σοφίας λιμένα, ἡττηθεὶς ὁ ἁλιτήριος ἔφυγεν εἰς τὰ βασίλεια. Φωτεινὸς δέ τις ὑπὸ Φωκᾶ εἰς τὴν σύζυγον ἀδικηθείς, εἰσελθὼν μετὰ στρατιωτῶν εἰς τὰ βασίλεια, ἀτίμως ἐκ τοῦ θρόνου τοῦτον ἀναστήσας, καὶ τῆς βασιλικῆς ἐσθῆτος ἀπογυμνώσας τὸν ἄθλιον Φωκᾶν καὶ μέλανα χιτῶνα ἐνδύσας καὶ κλοιὰ περιθείς, ἄτιμον πρὸς Ἡράκλειον ἀπήγαγεν, ὃν θεασάμενος εἶπεν "οὕτως, ἄθλιε, τὴν πολιτείαν διῴκησας;" ὁ δὲ ἀπεγνωσμένος ὢν ἔφη "σὺ κάλλιον καὶ κρεῖττον ἔχεις διοικῆσαι." καὶ ἐκέλευσεν Ἡράκλειος πρῶτον μὲν τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ ἐκκοπῆναι, εἶθ' οὕτως καὶ τοὺς ὤμους αὐτοῦ ἀκρωτηριασθῆναι, καὶ τὰ αἰδοῖα ἐκτμηθῆναι καὶ κοντῷ ἀναρτηθῆναι διὰ τὰς ἀμέ-

tos mutilavit multorumque capita praecidit. plebe autem ignem iniiciente in praetorium, omnes vincti fugerunt. idem Phocas armamentorium prope Magnaurae palatium (aedificavit), in medio eo columnam erigens, cui statuam imposuit.

Crispus autem patricius eius gener, non ferens aspectum combustarum caedium et scelerum a Phoca factorum, litteras dedit ad Heraclium, qui in Africa classi praeerat ut surgerent contra Phocam tyrannum. ipse autem Heraclius, multis navibus ex Africa paratis et exercitu, cepit Cpolin, afferens etiam imaginem domini et dei nostri manu non factam. ac certamine inter Phocam et Heraclium commisso in Sophiae portum, victus scelestus ille fugit in regiam. Photinus quidam, cuius uxorem Phocas stupraverat, in regiam ingressus cum militibus ignominiose de solio infelicem Phocam deiecit, veste regia eum spoliavit, vestem atram ei iniecit, collaria addidit et tali ignominia affectum ad Heraclium duxit, qui quum eum videret: "itane," inquit, "miser, civitatem administravisti?" ille vero perditus: "tuum est," inquit, "melius administrare." iussit Heraclius primum manus eius et pedes praecidi, deinde eadem ratione humeros mutilari, tum pudenda amputari et de conto suspendi propter immodicas iniurias

τρους ὕβρεις ἃς ἔπραξεν, ἔπειτα δὲ καὶ τὴν καφαλὴν ἀποτμηθῆναι, τὸ δὲ καταλειφθὲν σῶμα τοῦ δυσωνύμου συρὲν κατὰ τὴν τοῦ βοὸς λεγομένην ἀγορὰν τῷ πυρὶ παραδοθῆναι. μοναχὸς δέ τις ἅγιος, ὥς φασιν, ἐπὶ τῶν ἡμερῶν τοῦ Φωκᾶ πρὸς θεὸν δικαζόμενος ἔλεγε πολλάκις "κύριε, διὰ τί τοιοῦτον παράνομον βασιλέα δέδωκας τοῖς Χριστιανοῖς;" ἦλθε δὲ αὐτῷ φωνὴ ἀόρατος "ὅτι χείρονα τούτου οὐχ εὗρον πρὸς τὴν κακίαν τῶν νῦν κατοικούντων ἐν τῇ πόλει."

Ἡράκλειος ὁ μέγας.

Ἡράκλειος ὁ μέγας ἐβασίλευσεν ἔτη τριάκοντα, στεφθεὶς ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ὑπὸ Σεργίου πατριάρχου· ἐστέφθη δὲ ἅμα αὐτῷ καὶ ἡ μεμνηστευμένη αὐτῷ Φαβία, ἣ καὶ Εὐδοκία μετονομασθεῖσα, Αὐγούστα. τοῖς στεφάνοις τοῦ γάμου ὁμοῦ αὐτοκράτωρ καὶ νυμφίος ἀναδειχθείς, καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ὑπὸ πάσης τῆς συγκλήτου καὶ τοῦ λαοῦ βασιλεύς. συνέ * * δὲ τούτοις καὶ συνευδόκει Κρίσπος ὁ γαμβρὸς τοῦ Φωκᾶ.

Οὗτος ὁ Ἡράκλειος ἦν τὴν ἡλικίαν μεσῆλιξ, εὐσθενής, εὔστερνος, εὐόφθαλμος καὶ ὀλίγον ὑπόγλαυκος, ξανθὸς τὴν τρίχα καὶ λευκὸς τὴν χροιάν, ἔχων τὸν πώγωνα πλατὺν καὶ πρὸς μῆκος ἐκκρεμῆ. ὁπηνίκα δὲ πρὸς τὸ τῆς βασιλείας ἦλ-

16. *συνέπραττε?*

quas fecerat; tum vero etiam caput abscindi, reliquum autem corpus raptum in boario quod dicitur foro igni tradi. monachus quidam sanctus, ut ferunt, coram deo litigans saepe dicebat: "domine cur tam scelestum regem dedisti Christianis?" venit autem ad eum vox occulta: "quia illo peiorem non inveni ad nequitiam eorum, qui nunc in urbe habitant."

Heraclius magnus.

Heraclius magnus regnavit annos 30, coronatus in oratorio sancti Stephani a Sergio patriarcha, coronata est simul cum eo sponsa eius Fabia, quod nomen mutatum est in Eudociam, Augusta. nuptiarum coronis factus est simul princeps et maritus, rex salutatus in magna ecclesia a toto senatu et populo. adiuvit autem haec et consensit Crispus gener Phocae.

Hic Heraclius statura fuit mediocri robustus, pectore lato, bonis oculis et subcaeruleis, capillo flavo, colore candido, barbam habebat latam et prolixam. evectus autem ad imperii honorem, statim capillum et barbam more regio totondit. aliquo post tempore ipsum

θεν ἀξίωμα, εὐθέως ἐκείρατο τὴν κόμην καὶ τὸ γένειον τῷ βασιλικῷ σχήματι. μετὰ δέ τινα χρόνον στρατηγὸν αὐτὸν τὸν Κρίσπον Καπποδοκίας ἐποίησεν ὁ βασιλεύς, ἀπέστειλε δὲ φιλοφρονούμενος αὐτὸν πάμπολλα. ἐκεῖ τοίνυν ἀπελθὼν ἐλοιδόρει Ἡράκλειον, καὶ ἀνταρσίαν ἐμελέτα κατ' αὐτοῦ. ἐλθὼν δὲ ἐν Κωνσταντινουπόλει ἔφη πρὸς αὐτὸν ὁ βασιλεύς, τὰ κατ' αὐτοῦ γεγραμμένα κρατῶν ἐπὶ χάρτου, καὶ κρούσας ἐν τῇ κεφαλῇ αὐτοῦ ἐπὶ τῆς συγκλήτου ἔφη "ταλαίπωρε, γαμβρὸν οὐκ ἐποίησας, καὶ πῶς ἂν φίλον ἀληθῆ ποιήσειας;" εἶτα κληρικὸν αὐτὸν ποιήσας ἐν τῇ μονῇ τῆς χώρας περιώρισεν, ἐν ᾗ καὶ ἐτελεύτησεν.

Οἱ δὲ Πέρσαι παρέλαβον τὴν Καππαδοκίαν καὶ τὴν Δαμασκὸν καὶ τὴν Παλαιστίνην καὶ τὴν ἁγίαν πόλιν, καὶ πολλὰς μυριάδας διὰ χειρὸς τῶν Ἰουδαίων Χριστιανοὺς ἀνεῖλον, ᾐχμαλώτευσαν δὲ καὶ Ζαχαρίαν τὸν πατριάρχην Ἱεροσολύμων, καὶ τὰ τίμια ξύλα ἔλαβον καὶ ἐν Περσίδι ἀπήγαγον· ὡσαύτως παρέλαβον Αἴγυπτον καὶ Λιβύην καὶ ἕως Αἰθιοπίας, ἦλθον δὲ καὶ ἕως Καλχηδόνος, καὶ ταύτην παρέλαβον. ἀπέστειλε δὲ ὁ βασιλεὺς Ἡράκλειος πρέσβεις πρὸς Χοσρόην αἰτούμενος εἰρήνην· ὁ δὲ τούτους ἀπεπέμψατο εἰρηκὼς "εἰ ἀρνήσεται ὁ βασιλεὺς ὑμῶν τὸν ἐσταυρωμένον καὶ προσκυνήσει τῷ ἡλίῳ, ποιῶ εἰρήνην." ἐπεστράτευσαν δὲ καὶ οἱ Ἀβάρεις κατὰ τῆς πόλεως. εἰδὼς δὲ Ἡράκλειος τοὺς περιέχοντας αὐτῷ πανταχόθεν πολέμους, ἀπέστειλε πρὸς αὐτοὺς εἰ-

Crispum Cappadociae ducem fecit rex; misit autem eum benigne tractatum. illuc decedens maledixit Heraclio et seditionem contra eum moliebatur. veniens autem Constantinopolin contra eum dixit rex, ea quae contra eum scripta erant, in charta tenens et caput ipsius plangens in senatu. "miser," inquit, "generum non fecisti, quomodo verum amicum feceris?" deinde clericum factum in monasterium terrae eum ablegavit, ubi mortuus est.

Persae ceperunt Cappadociam et Damascum et Palaestinam et urbem sacram multaque millia Christianorum per Iudaeos interfecerunt, ceperunt vero etiam Zachariam patriarcham Hierosolymorum et ligna sacra rapta in Persidem abstulerunt; eadem ratione Aegyptum et Libyam usque ad Aethiopiam expugnarunt, veneruntque usque ad Chalcedonem eamque ceperunt. misit Heraclius rex senes ad Chosroem, qui pacem peterent. ille vero eos remisit dicens: "si rex vester crucifixum deseret, et solum venerabitur, pacem faciam." profecti sunt vero etiam Avari contra urbem. Heraclius, quum undique se bello circumventum videret, misit ad eos, qui pacem peterent,

ρήνην αἰτῶν· οἱ δὲ συνέθεντο ταύτην ποιῆσαι. ἐξελθόντος δὲ τοῦ βασιλέως εἰς τὸ μακρὸν τεῖχος μετὰ ἀποσκευῆς πολλῆς ὡς ὑποδέξασθαι τὸν χαγάνον, καὶ λαβὼν πιστὰ παρ' αὐτοῦ καὶ σπονδὰς εἰρηνικὰς ποιήσας συνηυφραίνετο. ὁ δὲ χαγάνος τὰς συνθήκας καὶ τοὺς ὅρκους ἀθετήσας αἴφνης κατὰ τοῦ βασιλέως τυραννικῶς ἐχώρησεν· ὁ δὲ βασιλεὺς φυγῇ μόλις ὑπέστρεψεν ἐν τῇ πόλει, ἔλαβέ τε ὁ βάρβαρος τήν τε βασιλικὴν ἀποσκευὴν καὶ δορυφορίαν, καὶ ὑπέστρεψε τὴν Θράκην πᾶσαν λῃσάμενος τῇ ἐλπίδι τῆς εἰρήνης. ὁ δὲ βασιλεὺς πάλιν πρέσβεις ἀπέστειλε πρὸς χαγάνον, ἐκκαλῶν αὐτὸν καὶ πρὸς εἰρήνην προκαλούμενος· ὁ δὲ αἰδεσθεὶς τὴν τοῦ βασιλεὼς ἀγάπην εἰρήνευσεν.

Ὁ δὲ βασιλεὺς Ἡράκλειος τὴν ἑορτὴν τοῦ πάσχα τελέσας κατὰ Περσίδος ἠβούλετο χωρῆσαι, χρήματα τῶν ἐναγῶν οἴκων καὶ σκεύη τῶν ἐκκλησιῶν λαβὼν καὶ χαράξας νομίσματα καὶ μιλιαρήσια. ὁ δὲ Χοσρόης Σάϊτον ἡγεμόνα μετὰ πολλῆς δυνάμεως ἀποστείλας πᾶσαν τὴν ἀνατολὴν ἠφάνισεν. ἐλθὼν δὲ οὗτος ἐν Καλχηδόνι ἱκανὸν χρόνον ταύτην παρεκάθισεν· ὃς τὸν Ἡράκλειον μεθ' ὑποκρίσεως προσκαλεσάμενος τὰ πρὸς εἰρήνην αὐτῷ ὡμίλησεν. ὁ δὲ τοῖς δολίοις αὐτοῦ λόγοις πιστεύσας ἐκπέμπει σὺν αὐτῷ πρέσβεις μεγιστάνους πρὸς Χοσρόην ἑβδομήκοντα· οὓς παραλαβὼν ἀτίμους καὶ δεσμίους ἀπήγαγεν ἐν Περσίδι. ὁ δὲ Χοσρόης τὸν μὲν Σάϊτον, ὡς τὸν Ἡράκλειον ἰδόντα καὶ μὴ συλλαβόντα, ἀποδεῖραι

illi vero se eam facturos esse promiserunt. egressus rex in longum murum cum multa supellectile et exspectaret Chaganum, fide accepta et pacis foedere facto, gaudebat. Chaganus autem, foedere et iuribus iurandis spretis, subito violenter regem aggressus est, rex aegre fugiens in urbem se recepit; barbarus supellectile regia et satellitibus captis, rediit totam Thraciam spe pacis vastans. rex iterum legatos ad Chaganum misit eumque postulavit et ad pacem admonuit; ille vero magni faciens amorem regis pacem agebat.

Rex Heraclius, festo paschatis celebrato, adversus Persidem ire voluit opes sacrarum domuum sumens et vasa ecclesiarum, e quibus nummos cuderet et miliaresia. Chosroes vero, misso Saito duce cum multis copiis totam orientem vastavit. hic quum Chalcedonem venisset per aliquod tempus urbem obsedit; Heraclium dolose arcessens de pace cum eo egit. ille vero dolosis eius verbis fidem habens misit cum eo septuaginta legatos nobiles ad Chosroem; quos ille arreptos, vexatos et vinctos in Persidem duxit. Chosroes autem iussit Saito cutem detrahi, quippe qui Heraclium vidisset nec cepis-

ἐκέλευσεν, τοὺς δὲ πρέσβεις ἐν φρουραῖς καὶ κακουχίαις κατεδίκασεν· ὑπὲρ ὧν ἀθυμία καὶ θλῖψις πολλὴ κατεῖχε τὸν βασιλέα.

Εἶτα πάλιν Χοσρόης ἀπέστειλεν ἕτερον ἄρχοντα κατὰ Ῥωμαίων ὀνόματι Σάρβαρον, ὃς μετὰ πλείστης δυνάμεως ἦλθε πρὸς τὴν Ἀσίαν, τὴν γῆν τῶν Ῥωμαίων ληϊζόμενος. ὁ δέ γε βασιλεὺς Ἡράκλειος, ὡς εἴρηται, πρὸς Περσίδα βουλόμενος ἐκχωρῆσαι τάδε πρὸς τὸν πατριάρχην ἔφη "εἰς χεῖρας τοῦ θεοῦ καὶ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ καὶ σοῦ ἀφίημι τὴν πόλιν ταύτην καὶ τὸν υἱόν μου." καὶ εἰσελθὼν εἰς τὴν μεγάλην ἐκκλησίαν μελανα ὑποδήματα περιβαλόμενος καὶ πρηνὴς πεσὼν ἠύξατο οὕτως "δέσποτα θεὲ καὶ κύριε Ἰησοῦ Χριστέ, μὴ παραδῷς ἡμᾶς εἰς ὄνειδος τοῖς ἐχθροῖς σου διὰ τὰς ἁμαρτίας ἡμῶν, ἀλλ' ἐπιβλέψας ἐλέησον, καὶ τὴν κατὰ τῶν ἐχθρῶν σου νίκην δὸς ἡμῖν, ὅπως μὴ καυχήσωνται οἱ ἀλάστορες κατὰ τῆς σῆς κληρονομίας ἐπαιρόμενοι." ὃν ἰδὼν Γεώργιος ὁ Πισσίδης μετὰ τοιαύτης ταπεινώσεως ἔφη

ὦ βασιλεῦ,
μελαμβαφὲς πέδιλον εἱλιξας πόδας,
βάψεις ἐρυθρὸν Περσικῶν ἐξ αἱμάτων.

λαβὼν δὲ μετὰ χεῖρας τὴν θεανδρικὴν ἀχειροποίητον μορφὴν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν κατὰ Περσῶν ἐστράτευσε μετὰ πλοίων διὰ τοῦ Εὐξείνου πόντου, προσλαβόμενος εἰς συμμαχίαν πλῆ-

set, legatos autem custodia et verberibus damnavit; quae res dolore et tristitia magna regem affecit.

Deinde iterum Chosroes alium ducem contra Romanos misit, cui nomen Sarbaro; is cum permultis copiis venit in Asiam vastans terram Romanorum. rex autem Heraclius, ut fertur, quum contra Persidem egredi vellet, haec patriarchae dixit: "in manus dei eiusque patris et matris et tuas trado hanc urbem et filium meum." atque ingressus magnam ecclesiam nigris calceis sumptis et sese prosternens ita ad deum precatus est: "maxime deus et domine Iesu Christe, ne tradas nos cum dedecore hostibus tuis propter peccata nostra, sed aspiciens nos miserere et victoriam de hostibus tuis nobis da, ne glorientur scelesti qui contra hereditatem tuam surrexerunt." quem videns Georgius Pissides in tali humilitate:

"o rex," inquit,
„nigris calceis pedes tectus
tinges eos rubros sanguine Persarum."

sumpta autem manibus imagine Christi domini et dei nostri manibus non facta, contra Persas profectus est navibus per pontum Euxinum

θος Τούρκων καὶ ἄλλων ἐθνῶν πλήθη, ἐξορμήσας κατὰ Περσῶν δυνάμει βαρείᾳ σφόδρα.

Οἱ δὲ Ἀβάρεις τὰς εἰρηνικὰς σπονδὰς διαλύσαντες τῷ τείχει τοῦ Βυζαντίου προσπελάζουσι, πάντα τὰ τῆς πόλεως ἐκτὸς πυρὶ παραδιδόντες, καὶ ὥσπερ ἀναμερισάμενοι Πέρσαι μὲν τὰ τῆς ἀνατολῆς κατεδῄουν, Ἀβάρεις δὲ τὰ τῆς Θρᾴκης πάντα διέφθειρον. διαπορηθέντες οὖν οἱ πολῖται καὶ ἀπελπίσαντες πρὸς τοὺς Ἀβάρεις πόλεμον συνῆψαν, συνεργίᾳ Βόνου πατρικίου καὶ Σεργίου πατριάρχου, καὶ πολλὰς χιλιάδας κατασφάξαντες καὶ τὰς ναῦς ἐμπρήσαντες πρὸς τὴν ἰδίαν αὐτῶν χώραν αὐτοὺς ἐξήλασαν.

Χοσρόης δὲ μαθὼν τὴν Ἡρακλείου ἔφοδον πολλοὺς πολέμους συνῆψεν αὐτῷ, καὶ τῇ τοῦ θεοῦ συνεργίᾳ ἐν πᾶσι τούτοις κατὰ κράτος ἡττηθεὶς πλησιάζοντι δὲ τῷ βασιλεῖ τῇ αὐτοῦ πόλει σατράπην ἕνα ἐν χιλιάσιν ὁπλιτῶν τριάκοντα κατ' αὐτοῦ ἐξέπεμψε· συμβολῆς δὲ γενομένης ἀνῃρέθησαν πάντες. οἱ ὑπολειφθέντες δὲ καὶ διαδράντες Περσῶν οἴκῳ τοῦτον κατέκλεισαν, καὶ προύθηκαν χρυσὸν καὶ ἄργυρον καὶ μαργαρίτας καὶ λίθους, εἰπόντες αὐτῷ "ἔσθιε τούτων καὶ ἀπόλαυε, διὸ καὶ τοὺς Ῥωμαίους καθ' ἡμῶν ἤγαγες." καὶ οὕτω λιμῷ καὶ δίψῃ τιμωρήσαντες ἀνεῖλον αὐτόν. Ἡράκλειος δὲ τάς τε πόλεις Περσίδος καθῄρει καὶ τὰ πυρεῖα διέστρεφεν, ἐφ' ὧν εὑρέθη Χοσρόου τὸ μυσαρὸν ἐκτύπωμα, ὥσπερ ἐν οὐρανῷ ἐν τῇ τοῦ οἴκου στέγῃ καθήμενον, ἐν ᾧ ἄστρα καὶ

in societatem assumens multitudinem Turcorum et aliorum populorum, et ita Persas magnis viribus adortus est.

Avares rupta pace ad moenia Byantii accesserunt, omnia extra urbem igni delentes et tanquam dividentes. Persae orientem depopulabantur, Avares totam Thraciam. laborantes igitur cives et desperantes Avaribus bellum intulerunt, adiuvante Bono patricio et Sergio patriarcha, multaque milia eorum interfecerunt, naves incenderunt et in suam terram eos abigerunt.

Chosroes autem, Heraclii impetu audito, multa bella cum eo gessit, et dei auxilio in his omnibus graviter victus, contra regem ad urbem eius accedentem unum satrapam cum 30000 militibus misit, pugna vero commissa omnes interfecti sunt. qui autem e Persis relicti sunt et fugerunt domi illum incluserunt et auro, argento margaritis et gemmis appositis dixerunt "vescere his et fruere, quia Romanos contra nos duxisti" atque ita fame et siti punitum interfecerunt. Heraclius autem urbes Persidis cepit et focos delevit, in quibus inventum est tetrum Chosroae simulacrum tanquam in coelo in tecto

ἥλιον καὶ σελήνην κατεσκεύασεν, καὶ ἀγγέλους περιστῶτας αὐτῷ, καὶ βροντὴν διὰ μηχανῆς γίνεσθαι, καὶ βρέχειν ὅταν θελήσειαν· ἅπερ ὁ βασιλεὺς εἰς γῆν καταστρέψας κονιορτὸν ἀπετέλεσε. ταῦτα δὲ Σάρβαρος ἐν τῇ Ῥωμαίων γῇ ἀκούσας γράφει πρὸς Ἡράκλειον ἀπολογίαν, ὡς ὅτι οὐχ ἑκὼν ἀλλὰ γνώμῃ Χοσρόου διεπραττόμην τὰ κατὰ τῶν Ῥωμαίων. ὃν ὁ βασιλεὺς διὰ γραμμάτων εἰρηνικῶν προσεκαλέσατο· ὁ δὲ ἦκε πρὸς αὐτὸν ἐν Περσίδι. ἀναζητήσας οὖν ὁ βασιλεὺς τοὺς πρεσβευτάς, καὶ μαθὼν ὡς ὑπὸ Χοσρόου δεινῶς ἀνῃρέθησαν, θυμοῦ πλησθεὶς οὐκ ἐφείσατο κατασφάζων τὴν πᾶσαν Περσίδα ἐν ἔτεσιν ἓξ, τῷ δὲ ἑβδόμῳ ἔτει τὰ τίμια ξύλα ἀπὸ Περσίδος ἀναλαβὼν καὶ εἰς Ἱερουσαλὴμ παραγενόμενος καὶ ταῦτα ὑψώσας μετὰ χαρᾶς καὶ εἰρήνης ἐπὶ Κωνσταντινούπολιν ὑπέστρεφεν.

Ἐπὶ αὐτοῦ ἀνεφάνη Μωάμεθ ὁ τῶν Σαρακηνῶν ἀρχηγός, ἐκ τῆς Αἰθρίβου ἀνελθών, καὶ τῷ βασιλεῖ ὑπαντήσας μετὰ πλήθους καὶ προσπεσὼν αὐτῷ καὶ τόπον αἰτησάμενος εἰς κατοίκησιν τετύχηκε τῆς ἐφέσεως.

Ἀναγκαῖον δὲ ἡγοῦμαι περὶ τῆς τοῦ Μωάμεθ γενεᾶς μικρόν τι διηγήσασθαι. τῷ τοίνυν δωδεκάτῳ τοῦ Μωάμεθ χρόνῳ, ἐν ἔτει ϛρλ' ἀπὸ κτίσεως κόσμου, ἰνδικτιῶνος ι', μηνὶ Σεπτεμβρίῳ τρίτῃ, ἡμέρᾳ πέμπτῃ, ἐγένετο θεμάτιον τῶν Ἀγαρηνῶν παρὰ Στεφάνου Ἀλεξανδρείας καιονίσαντος κραιῆσαι τούτους ἐν ἰσχύϊ ἔτη τριακόσια ἐννέα, ἐν δὲ συστροφῇ καὶ

domus sedentis, in quo sidera et solum et lunam fecerant et angelos circumstantes et tonitru ut arte fieri posset et imber quando vellent. quae rex humi deiecta ad pulverem redegit. haec quum Sarbarus in Romanorum terra audiisset Heraclio, se per litteras purgavit non sua sponte sed iussu Chosroae se contra Romanos rem gessisse. quem rex propter pacificas litteras arcessivit; ille vero ad eum in Persidem venit. postulans deinde rex legatos, postquam audiit crudeliter eos esse a Chosroe interfectos, iratus non se continuit quin totam Persidem sex annos depopularetur; septimo autem sacris lignis e Perside sumptis, postquam Hierosolyma venit et illa erexit, cum gaudio et pace Cplim rediit.

Eo regnante apparuit Moameth Saracenorum dux ex Aethribo ascendens et regi cum magna multitudine obviam veniens et ad eius pedes se prosternens locum petiit ad habitandum, quem nactus est.

Necessarium videtur de Moameth pauca narrare. anno eius aetatis 12, mundi creati anno 6130, indictione 10, mense Septembris 3, die 5 praedictio facta est Agarenorum a Stephano Alexandrino, fore

ἀκαταστασίᾳ καὶ συμφοραῖς ἕτερα ἔτη εἴκοσι ἑπτά, ὡς εἶναι τὴν διακράτησιν τὴν ἅπασαν εὐτυχοῦσαν καὶ δυστυχοῦσαν ἔτη τριακόσια τριακοντάξ.

Οὗτος ἐξ Ἰσμαὴλ κατήγετο, υἱοῦ Ἀβραάμ. Νίζαρος γὰρ ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος γεννᾷ υἱοὺς δύο, Μούνδαρον καὶ Ἀραβίαν. ἐκ τούτων πολλοὶ ἐγένοντο καὶ ᾤκουν τὴν Μαδιανῖτιν ἔρημον, ἐπραγματεύοντο δὲ καὶ ἐν τοῖς καμήλοις αὐτῶν. ἀπόρου δὲ καὶ ὀρφανοῦ ὄντος τοῦ προειρημένου Μωάμεθ, εἰσῆλθε πρός τινα γυναῖκα πλουσίαν συγγενῆ αὐτοῦ ὀνόματι Χαδιγᾶν, μίσθιος ἐπὶ τῷ καμηλεύειν καὶ πραγματεύεσθαι. κατ' ὀλίγον δὲ παρρησιασάμενος ὑπεισῆλθε τῇ γυναικί, καὶ ἔγημεν αὐτήν, καὶ ἔσχε τὰς καμήλους αὐτῆς καὶ τὴν ὕπαρξιν. ἐρχόμενος δὲ ἐν Παλαιστίνῃ συνανεστρέφετο καὶ Χριστιανοῖς, θηρώμενος παρ' αὐτῶν τινὰ γραφικά. ἔσχε δὲ τὸ πάθος τῆς ἐπιληψίας· καὶ τοῦτο νοήσασα ἡ γυνὴ ἐλυπεῖτο σφόδρα ὅτι τοιούτῳ συνήφθη, οὐ μόνον ἀπόρῳ ἀλλὰ καὶ ἐπιληπτικῷ ὄντι. τροποῦται δὲ αὐτὸς θεραπεῦσαι αὐτήν, οὕτω λέγων, ὅτι ὀπτασίαν ἀγγέλου θεωρῶ λεγομένου Γαβριήλ, καὶ μὴ ὑποφέρων τὴν θέαν αὐτοῦ σκοτοδινιῶν πίπτω. αὕτη δὲ μοναχόν τινα, διὰ κακοπιστίαν ἐξόριστον ἐκεῖσε, ὄντα προσφιλῆ αὐτῆς μετεκαλέσατο καὶ ἀνήγγειλεν αὐτῷ πάντα καὶ τὸ ὄνομα τοῦ ἀγγέλου· κἀκεῖνος συμβουλὴν ὁ κατάρατος

5. Μούδαρον καὶ Ῥαβίαν Cedrenus.

ut vigerent imperio 309 annos, mutata autem fortuna turbati et male rem gerentes 27 annos ita ut totum imperium secundum et adversum esset annorum 336.

Hic ab Ismael descendit, filio Abrahami. Nizarus enim, unus de Ismael posteris, duos filios procreavit, Mundarum et Arabiam. ex his multi nati sunt iique habitabant in diserto Madiano et camelorum ope mercaturam faciebant. Inops autem et orbatus quum esset Moameth, de quo dixi, adiit mulierem quandam divitem cognatam nomine Chadigam, ut camelos posceret eaque re lucrum faceret. Paulatim autem liberiore eius consuetudine utens, se in gratiam eius insinuavit, uxoremque adeo eam duxit eiusque camelos et rem familiarem habuit. profectus porro in Palaestinam inter Iudaeos et Christianos versatus est, accipiens ex iis quaedam de sacris litteris. laborabat autem morbo comitiali; quod quum comperisset mulier vehementer doluit, quod tali homini nupsisset non modo egeno sed etiam comitiali. quam demulsit, dicens videre se angeli Gabrieli speciem eiusque aspectum non ferentem vertigine correptum cecidere. haec monachum quendam propter falsam fidem illuc relegatum ipsique amicum arcessivit et omnia cum nomine angeli ei narravit. atque ille,

παρὰ τοῦ Μωάμεθ ἔχων, πληροφορήσας αὐτὴν εἶπεν ὅτι ἀληθῆ λέγει· οὗτος γὰρ ὁ ἄγγελος εἰς πάντας προφήτας ἀποστέλλεται. αὕτη δὲ τῷ λόγῳ τοῦ ψευδαββᾶ πεισθεῖσα, ὃς ἦν τῆς μονῆς τῶν Καλλιστράτου, δι' αἵρεσιν ἐκβληθεὶς καὶ ἐξορισθεὶς τῆς πόλεως, ἐκήρυξε ταῖς ὁμοφύλοις γυναιξὶ προφήτην αὐτὸν εἶναι· καὶ ἐκράτησεν ἡ αἵρεσις αὕτη ἔκτοτε τὰ μέρη τῆς Αἰθριβου. ἐνομοθέτησε δὲ τοῖς ὑπηκόοις αὐτοῦ ὅτι ὁ ἀποκτείνων ἐχθρὸν αὐτοῦ ἢ ὑπὸ ἐχθροῦ φονευόμενος εἰς παράδεισον εἰσέρχεται· τὸν δὲ παράδεισον σαρκικῆς βρώσεως καὶ μίξεως γυναικῶν ἔλεγεν εἶναι, καὶ τῆς μίξεως διαρκῆ καὶ πολυχρόνιον εἶναι τὴν ἡδονήν, καὶ ἄλλα τινὰ ἀσωτίας καὶ μωρίας ῥήματα. Ἀβουβάχαρον δὲ Μωάμεθ κατέλιπε διάδοχον, καὶ πολλάκις πολεμηθέντες οἱ μετ' αὐτοὺς ὑπὸ τῶν Ῥωμαίων παραχωρήσει θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐνίκησαν, καὶ ἔκτοτε τῶν Ῥωμαίων κατεδυνάστευσαν. ἐπανιτέον τοίνυν ἐπὶ τὴν προκειμένην διήγησιν.

Ταῦτα τελέσας Ἡράκλειος ἐπὶ Κωνσταντινούπολιν ὑπέστρεψεν. οἱ δὲ τῆς πόλεως τὴν ἔλευσιν αὐτοῦ γνόντες ἀκατασχέτῳ πόθῳ περὶ αὐτὸν πάντες οἱ ἐν τοῖς παλατίοις τῆς ἡρίας ἐξῆλθον σὺν τῷ πατριάρχῃ καὶ Κωνσταντίνῳ βασιλεῖ τῷ υἱῷ αὐτοῦ, βαστάζοντες κλάδους ἐλαιῶν καὶ λαμπάδας πρὸς ὑπαντὴν καὶ εὐφημοῦντες αὐτόν. καὶ ὁ μὲν υἱὸς αὐτοῦ προσελθὼν ἔπεσεν εἰς τοὺς πόδας τοῦ πατρός· ὁ δὲ

8. ἀπὸ C

homo nequam, conspiraus cum Moameth ut mulieris sententiam firmaret dixit, vera illum loqui, eum enim angelum mitti ad omnes prophetas. mulier fidem habens verbis impostoris, qui erat e sodalitio Callistrateorum, propter haeresim eiectus et ex urbe relegatus, narravit mulieribus gentilibus, illum esse prophetam: obtinuitque ea haeresis inde partes Aetribi. eos qui se ei dederant docuit, qui aut inimicum interfecisset aut ipse ab inimico interfectus esset, eum in paradisum venturum esse. paradisum autem dixit esse in cibo carnario et coitu muliebri positum et coitus voluptatem magnam esse et diuturnam et alia quaedam perdite et stulte nugabatur. Abubadarum Moameth successorem reliquit; et bello saepe petiti a Romanis ii, qui hos exceperunt, deo concedente, propter peccata nostra vicerunt; atque inde ex eo tempore Romanis imperarunt. redeundum iam est ad narrationem propositam.

His gestis Heraclius Cpolim rediit. cuius adventum quum cives audivissent, summo eius desiderio correpti omnes qui erant in palatiis heriae egressi sunt cum patriarcha et Constantino rege eius filio, oleagines et faces obviam ferentes eumque laudantes. et filius

περιπλακεὶς αὐτόν, κατεφίλουν ἀλλήλοις ἐν δάκρυσι, καὶ οὕτως λαβόντες τὸν βασιλέα, εὐφημοῦντες καὶ χαίροντες εἰσῆλθον ἐν τῇ πόλει.

Οὗτος δὲ ὁ Ἡράκλειος ὑπὸ Ἀθανασίου πατριάρχου τῶν Ἰακωβιτῶν καὶ Σεργίου τοῦ Σύρου Κωνσταντινουπόλεως ἀπατηθεὶς εἰς τὴν αἵρεσιν τῶν μονοθελητῶν ἐξεκυλίσθη. καὶ δὴ μετὰ ταῦτα νόσῳ περιπεσὼν ὑδερικῇ, δι' ἧς καὶ τέθνηκε, δεινῶς ἐτιμωρεῖτο· ἐπὶ τοσοῦτον γὰρ τὸ πάθος ἐπεκτάθη, ὡς ἡνίκα ἀπουρεῖν ἔμελλε, σανίδα κατὰ τοῦ ἤτρου ἐπετίθει, διὰ τὸ στρέφεσθαι τὸ αἰδοῖον αὐτοῦ καὶ κατὰ τοῦ προσώπου τὸ οὖρον ἀναπέμπειν. ἔλεγχος δὲ ἦν τοῦτο τῆς ἑαυτοῦ παρανομίας ἕνεκεν τοῦ εἰς τὴν ἰδίαν ἀνεψιὰν Μαρτίναν παρανομωτάτου γάμου. τελευτήσαντος δὲ τοῦ Ἡρακλείου κατετέθη ἐν λάρνακι, καὶ ἔμενεν ἀσκεπὴς ἡμέρας τέσσαρας· καὶ μετὰ ταῦτα ἐσκεπάσθη, καὶ συνετάφη αὐτῷ στέμμα χρυσοῦν διὰ λίθων τιμῆς λιτρῶν ἑβδομήκοντα.

Κωνσταντῖνος υἱὸς Ἡρακλείου.

Κωνσταντῖνος υἱὸς Ἡρακλείου ἐβασίλευσεν ἔτος ἕν. οὗτος φαρμακοῦται ὑπὸ τῆς ἰδίας μητρυιᾶς Μαρτίνης, καταλιπὼν τὸν υἱὸν Κώσταν· ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ἡρῴῳ Ἰουστινιανοῦ. γυνὴ δὲ τούτου Ἀναστασία, ἣ καὶ μετὰ τὴν αὐτῆς τελευτὴν συνετάφη

quidem adveniens procubuit ad pedes patris; qui quum eum amplexus esset, lacrimantes invicem se osculati sunt; atque ita, regem secum ducentes acclamantes et laeti urbem ingressi sunt.

Hic Heraclius ab Athanasio patriarcha Iacobitarum et Sergio Syro Cpolitano seductus in haeresim monotheletarum delatus est. postea in aquae intercutis morbum delapsus, qui necavit eum, atroces poenas dedit. adeo enim malum increvit, ut lotium redditurus inferiori ventri tabulam imponeret, quia veretrum ipsius inversum urinam sursum adversus faciem emittebat. hoc erat testimonium flagitii, quod perpetravit iuncta sibi incestissimis nuptiis consobrina Martina. mortuo autem Heraclio, corpus in arca positum per 4 dies sine tegmine mansit, deinde tectum est et sepulta cum eo corona aurea propter gemmas libris 70 aestimata.

Constantinus Heraclii filius.

Constantinus, Heraclii filius regnavit unum annum. hic a Martina noverca veneno necatus, filio relicto Constante. corpus in fano sanctorum apostolorum sepultum est. uxorem habuit Anastasiam,

τῷ ἀνδρί. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε Πύρρος Σεργίου τελευτήσαντος. ἦν δὲ Κωνσταντῖνος ἀσθενὴς μὲν τῷ σώματι, καθ' ἑκάστην ὡς εἰπεῖν ἡμέραν νοσηλευόμενος. τούτῳ τινὲς λέγουσιν ὅτι τὸ στέμμα, ἐν ᾧ ἐστέφθης, σὺν τῷ πατρί σου ἐτάφη. καὶ ἐκέλευσε Καλλίνικον κουβικουλάριον ἀνοιχθῆναι τὸν τάφον τοῦ πατρὸς αὐτοῦ καὶ τὸ στέμμα ἁρπαγῆναι. ἀπελθὼν οὖν πρὸς τὸ ἀνοῖξαι εὗρε τὸ σῶμα διαλυθὲν καὶ κείμενον ὡς ὕδωρ, ὅπερ ἦν ἀπορρυὲν ἀπ' αὐτοῦ, καὶ τὸ στέμμα συμπαγὲν τῇ κεφαλῇ· καὶ ἀνέσπασεν αὐτὸ σὺν τῇ κόμῃ τῆς κεφαλῆς πενθῶν καὶ ὀδυρόμενος, καὶ ἀπήγαγε Κωνσταντίνῳ. ὁ δὲ τοῦτο θεασάμενος ἐκέλευσε παραλυθῆναι καὶ σμηχθῆναι, ὅπερ διετιμήσαντο χρυσοῦ λίτρας ἑβδομήκοντα.

Ἡρακλωνᾶς νόθος υἱὸς Ἡρακλείου.

Ἡρακλωνᾶς ἐβασίλευσεν ἅμα Μαρτίνῃ τῇ μητρὶ αὐτοῦ μῆνας τέσσαρας· ἡ δὲ σύγκλητος ἀπώσατο Ἡρακλωνᾶν, ῥινοκοπήσαντες αὐτόν, καὶ Μαρτίναν γλωσσοτομήσαντες ἐξώρισαν αὐτούς· ἀνεβίβασε δὲ ἐν τῇ βασιλείᾳ Κώνσταν υἱὸν Κωνσταντίνου, ἔγγονον Ἡρακλείου. οὗτος προσήγαγεν εἰς τὴν ἁγίαν Σοφίαν τὸ στέμμα ὅπερ ἀφείλετο Κωνσταντῖνος ἐκ τοῦ μνήματος τοῦ πατρὸς αὐτοῦ. οὐκ ἐτάφη δὲ βασιλικῶς ὁ Ἡρακλωνᾶς, ἀλλὰ διωχθεὶς ἐκ τῆς βασιλείας καὶ ἰδιωτεύων

quae post mortem una cum viro sepulta est. sedem patriarchalem, Sergio mortuo tenuit Pyrrhus. corpore Constantinus erat infirmo quotidie fere aegrotans. is a quibusdam admonitus coronam, qua coronatus fuisset, cum patre esse sepultam, Callinicum cubicularium iussit, aperto sepulcro patris, coronam tollere. abiens igitur, ut sepulcrum aperiret, invenit corpus solutum et iacens aquae instar ex eo effusae, coronamque capiti adhaerentem. eam cum crinibus capitis revellit moestus et lamentans et ad Constantinum attulit. qui, cum eam vidisset, solvi et purgari iussit et aestimata est corona libris auri 70.

HERACLONAS NOTHUS HERACLII FILIUS.

Heraclonas regnavit una cum matre Martina menses 4. senatus autem deiecit Heraclonam naso mutilatum et Martinam lingua privatam eosque relegavit; imperio praefecit Constantem filium Constantini Heraclii nepotem. is in templum sanctae Sophiae attulit coronam, quam Constantinus ex sepulcro patris abstulerat. ceterum Heraclonas non est regia sepultura affectus, sed regno eiectus privatam-

μέχρι τελευτῆς αὐτοῦ ἐτάφη ἐν μοναστηρίῳ τῷ δεσποτικῷ σὺν τῇ μητρὶ αὐτοῦ Μαρτίνῃ. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε Παῦλος διαδεξάμενος Πύρρον.

Κώνστας υἱὸς Κωνσταντίνου ἔκγονος Ἡρακλείου.

Κώνστας ἐβασίλευσεν ἔτη εἰκοσιεπτά· ἔφη δὲ ἐπὶ σελεντίου πρὸς τὴν σύγκλητον "τοῦ ἐμοῦ πατρὸς Κωνσταντίνου ἐπὶ ζωῆς τοῦ ἰδίου πατρός, ἐμοῦ δὲ πάππου Ἡρακλείου, ἱκανὸν σὺν τῷ πατρὶ βασιλεύσαντος, μετὰ δὲ τοῦτον λίαν βραχὺ (ὃ γὰρ Μαρτίνης φθόνος τῆς αὐτοῦ μητρυιᾶς τοῦ ζῆν αὐτὸν ἀπήλλαξε διὰ Ἡρακλωνᾶν τὸν ἐξ αὐτῆς ἄγαν ἀθέσμως γεγενημένον), ταύτην μετὰ τοῦ τέκνου ἡ ἡμετέρα σὺν θεῷ ψῆφος ἐξήγαγε πρὸς τὸ μὴ τὸν ἐξαθέσμως καὶ ἐκνόμως γενηθέντα βασιλεύεσθαι τὴν βασιλείαν Ῥωμαίων. ἐγὼ δὲ παρακαλῶ συμβούλους ἔχειν ὑμᾶς καὶ φίλους καὶ γνώμονας τῆς ἐμῆς βασιλείας." καὶ φιλοτιμησάμενος αὐτοὺς δώροις ἀπέλυσεν. ἐφ' οὗ γέγονε βίαιος ἄνεμος, καὶ πολλὰ δένδρα ἀνέσπασε καὶ κίονας κατέβαλε καὶ πλοῖα συνέτριψεν. ἀλλὰ καὶ Μανίας ὁ τῶν Ἀράβων ἀρχηγός, τὴν Ῥόδον καταλαβὼν καὶ παραλαβὼν τὸν κολοσσὸν Ῥόδου, μετὰ χίλια τριακόσια ἑξήκοντα ἔτη τῆς αὐτῆς ἱδρύσεως καθεῖλεν· ὃν Ἰουδαῖός τις ἔμπορος ὠνησάμενος ἑπτακοσίους καμήλους ἐφόρτωσε τὸν χαλκὸν τοῦ κολοσσοῦ. Μανίας δὲ μετὰ πλοίων ἦλθεν ἐν Φοινίκῃ, ἔνθα ἦν ὁ

21. τοῦ om C

que agens vitam usque ad mortem, humatus est in dominico monasterio cum matre Martina. sedem patriarchalem tenuit Paulus, qui exceperat Pyrrhum.

CONSTANS CONSTANTINI FILIUS HERACLII NEPOS.

Constans regnavit annos 27; is per silentium retulit ad senatum: "postquam pater, meus Constantinus vivente Heraclio, ipsius patre, meo avo, satis diu cum patre regnavit, post vero perbreve tempus (Martinae enim novercae eius, invidia, vita eum privavit propter Heraclonam contra leges ex illa natum), hanc cum filio nostrum et dei decretum expulit, ne, qui contra leges et instituta natus esset, imperium Romanorum teneret. ego vero moneo vos, ut consiliarii mihi sitis et amici et imperii mei iudices." dimisit eos liberaliter donatos. sub eo ingens ventus ortus est multosque arbores prostravit et columnas deiecit et naves contrivit. Mavias vero, Arabum dux, Rhodo capto, colosso Rhodio potitus, eum evertit anno post quam positus fuerat 1306. emit eum Iudaeus aliquis mercator et 700 camelis aes

βασιλεὺς Κώνστας μετὰ Ῥωμαϊκοῦ στόλου, ναυμαχεῖν μέλλων μετ' αὐτοῦ· τῇ δὲ νυκτὶ εἶδε κατ' ὄναρ ὁ βασιλεὺς ὅτι διέτριβεν ἐν Θεσσαλονίκῃ τῇ πόλει· διυπνισθεὶς δὲ καὶ τῷ ὀνειροκρίτῃ διηγησάμενος ἐνύπνιον, ὁ δὲ ἔφη "εἰθε, ὦ βασιλεῦ, μὴ ὕπνωσας τῇ νυκτὶ ταύτῃ μήτε ὄνειρον ἐθεάσω· τὸ γὰρ εἶναί σε ἐν Θεσσαλονίκῃ θὲς ἄλλῳ τὴν νίκην κρίνεται· πρὸς τὸν ἐχθρόν σου ἡ νίκη τρέπεται." καὶ δὴ τοῦτο ἀπέβη· συμβαλόντες γὰρ πόλεμον ἡττῶνται Ῥωμαῖοι, ὁ δὲ βασιλεὺς μόλις διασωθεὶς ὑπεστράφη μετ' αἰσχύνης ἐν Κωνσταντινουπόλει.

Οὗτος ὁ Κώνστας μὴ δυνηθεὶς τὸν ἅγιον Μάξιμον εἰς τὴν αὐτοῦ κακοδοξίαν ἐνεγκεῖν τήν τε γλῶσσαν καὶ τὴν χεῖρα αὐτοῦ ἀπέκοψε, καὶ τὸν ἅγιον Μαρτῖνον πάπαν Ῥώμης ἐξώρισε διὰ τὸ ἐλέγχεσθαι ὑπ' αὐτοῦ τὸ μονοθέλητον δόγμα. οὐ μόνον δέ, ἀλλὰ καὶ τὸν ἴδιον ἀδελφὸν Θεοδόσιον ἔσφαξε, διάκονον χειροτονηθέντα ὑπὸ Παύλου πατριάρχου· ἀρχιερεὺς δὲ Κωνσταντινουπόλεως ἦν Γεώργιος, πρεσβύτερος καὶ σύγκελλος γενόμενος. Μανίας δὲ ὁ τῶν Ἀράβων ἀρχηγὸς μετὰ ταῦτα ἐπρέσβευσε περὶ εἰρήνης πρὸς Κώνσταν διὰ τὴν εἰς αὐτὸν γενομένην ὑπὸ τῶν Ἀράβων ἀνταρσίαν, καὶ ἵνα τελῶσι τοῖς Ῥωμαίοις ὑπὲρ τῆς τοιαύτης εἰρήνης οἱ Ἄραβες καθ' ἡμέραν νομίσματα χίλια καὶ ἵππον καὶ δοῦλον· ὁ δὲ οὐκ ἐπείσθη. καταλιπὼν δὲ Κωνσταντινούπολιν κατῆλθεν εἰς

18. ὁ] ὁ δὲ C

abduxit. Mavias autem navibus venit in Phoeniceam, ubi Constans rex cum classe Romana erat, pugnare cum eo cupiens. noctu autem rex per somnum vidit, se degere in urbe Thessolonica. quod somnium quum experrectus coniectori narrasset, ille: "utinam," inquit, "o rex, hac nocte neque dormivisses, neque insomnium tibi esset oblatum. quod enim tibi visus es Thessalonicae esse, id significat θὲς ἄλλῳ τὴν νίκην. proinde ad hostes victoria inclinat." atque ita evenit. proelio enim orto Romani vincuntur. rex autem aegre servatus cum dedecore Cpolim rediit.

Hic Constans sancto Maximo, quum eum ad pravae sententiae societatem perducere nequiret, linguam et manum abscidit, ac sanctum Martinum Romae episcopum relegavit. causa indignationis in utrumque fuit, quod monotheletarum doctrinam, cui ipse favebat, non probaverant. quin etiam fratrem suum Theodosium, diaconum a Paulo patriarcha creatum, interfecit. patriarcha Cpoli erat Georgius, presbyter et syncellus factus. Mavias autem, Arabum dux, suorum seditione compulsus, de pace ineunda ad Constantem misit, eius pacis nomine in singulos dies ab Arabibus mille nummos depensum iri

Συράκουσαν τῆς Σικελίας, τῷ βαλανείῳ σμηχόμενος· μετὰ γὰρ ταῦ κάδδου κατὰ κορυφῆς λαβὼν παρὰ Ἀνδρέου ἐτεθνήκει, καὶ προεβάλοντο οἱ Συρακούσιοι Νιζίζιον Ἀρμένιον εἰς βασιλέα, ὄντα λίαν εὐπρεπῆ καὶ ὡραιότατον.

Κωνσταντῖνος υἱὸς Κώνστα ὁ Πωγωνάτος.

Κωνσταντῖνος υἱὸς Κώνστα ἐβασίλευσεν ἔτη δεκαεπτά. οὗτος μαθὼν τὴν τοῦ πατρὸς ἀναίρεσιν μετὰ πλείστου στρατοῦ καὶ ναυστολίας τὴν Σικέλιαν κατέλαβε, καὶ χειρωσάμενος Νιζίζιον καὶ τοὺς τοῦ πατρὸς ἀναιρέτας πάντας ἀπεκεφάλισεν· ὡσαύτως καὶ Ἰουστινιανὸν πατρίκιον τὸν πατέρα τοῦ Γερμανοῦ τοῦ γενομένου πατριάρχου· τὸν δὲ Γερμανὸν ὄντα τραχύτερον εὐνούχισεν. οὗτος ἐκλήθη Πωγωνάτος ὡς ἀπελθὼν ἐπὶ τῇ τοῦ πατρὸς ἐκδικήσει, ἐπανελθὼν δὲ μετὰ πώγωνος. καὶ ὑποστρέψας ἐν Κωνσταντινουπόλει ἐβασίλευσεν ἅμα τοῖς ἀδελφοῖς· ἐπιβουλευθεὶς δὲ παρ' αὐτοῖς καὶ κατισχύσας ῥινοτομήτους καὶ ἐξορίστους ἐποίησεν Ἡράκλειον καὶ Τιβέριον.

Ἐπὶ αὐτοῦ δὲ ἐξῆλθε στόλος μέγας καὶ κεφαλαὶ πλεῖσται τῶν Ἀράβων, καὶ παραλαβόντες Κύζικον ἦλθον μέχρι τῆς χρυσῆς πόρτης καὶ τοῦ κυκλοβίου, πολέμους ποιοῦντες καθ'

1. τῷ] ἔνθα ἐδολοφονήθη ἐν τῷ?

promittens, et equum et servum. verum id Constans non admisit. Cpoli relicta, Syracusas venit, ubi in balneo est interfectus. cado enim graviter capite inflicto, necatus est ab Andrea. Syracusani Nizizium Armenium regem creaverunt, hominem longe forma praestantissimum.

CONSTANTINUS CONSTANTIS FILIUS.

Constantinus, filius Constantis regnavit annos 17. hic, patris caede comperta, cum permagno exercitu et classe Sicilia potitus est et Nizizio ac patris interfectoribus captis caput abscidit; eademque ratione Iustinianum patricium patrem Germani, qui patriarcha factus erat, truncavit, Germanum autem ferocius se gerentem eviravit. hic vocatus est Pogonatos, quia imberbis abierat ad patrem ulciscendum barbatus redierat. reversus Cpolim simul cum fratribus regnavit, cum vero ei insidiarentur et vim facerent, ille Heraclium et Tiberium navibus truncatos expulit.

Eo regnante magna classis et permulti duces Arabum egressi sunt et Cyzico capta, usque ad auream portam et cyclobium venerunt, pugnantes quoque die et hibernantes in sinu Cyzico, per 7 an-

ἑκάστην, καὶ παραχειμάζοντες ἐν τῷ κόλπῳ καὶ Κυζίκῳ, ἐπὶ ἑπτὰ ἔτη πολεμοῦντες Κωνσταντινούπολιν. τῇ δὲ τοῦ θεοῦ χάριτι καταπολεμηθέντες ὑπὸ τῶν Βυζαντίων ὑπὸ τοῦ στρατοῦ τῶν Κιβυρραιωτῶν αὖθις πολεμηθέντες ἡττήθησαν, ἐμπρησθέντων καὶ τῶν πλοίων αὐτῶν ἀπὸ τοῦ ὑδατώδους πυρός. Καλλίνικος γάρ τις ἀρχιτέκτων ἀπὸ Ἡλιουπόλεως Συρίας προσφυγὼν τοῖς Ῥωμαίοις πῦρ ὑγρὸν ἀρχῆθεν αὐτοῖς κατεσκεύασε, καὶ τὰ τῶν Ἀράβων σκάφη καταπρήσας σύμψυχα ἀπώλεσε. καὶ οὕτως οἱ Ῥωμαῖοι μετὰ νίκης μεγάλης ὑπέστρεψαν, ἔκτοτε ὑγρὸν πῦρ ἐφευρόντες.

Εἰσῆλθον δὲ οἱ Μαρδαΐται εἰς τὸν Λίβανον Συρίας, καὶ ἐκράτησαν αὐτόν. καὶ Μανίας φοβηθεὶς σφόδρα ἀποστέλλει πρέσβεις πρὸς τὸν βασιλέα, ζητῶν εἰρήνην, ὑποσχόμενος καὶ ἐτήσια πάκτα. ὁ δὲ βασιλεὺς τοὺς πρέσβεις δεξάμενος ἀποστέλλει σὺν αὐτοῖς Ἰωάννην πατρίκιον τὸν Πιτζογάβδην, ὡς πολυπειρίᾳ καὶ φρονήσει κεκοσμημένον, διαλεχθῆναι τοῖς Ἄραψι· τῶν δὲ Ἀράβων θαυμασάντων τὴν φρόνησιν καὶ ἀγχίνοιαν αὐτοῦ, συνεφώνησαν παρέχειν Ῥωμαίοις κατ' ἔτος χρυσοῦ χιλιάδας δέκα καὶ αἰχμαλώτους χιλιάδας ὀκτὼ καὶ ἵππους εὐγενεῖς πεντήκοντα. ταῦτα ἐστοιχήθη δίδοσθαι ἐπὶ χρόνοις τριάκοντα, ὥστε εἶναι πλατεῖαν εἰρήνην ἀναμεταξὺ Ἀράβων καὶ Ῥωμαίων. ὡσαύτως καὶ οἱ τὰ ἑσπέρια οἰκοῦντες Σκύθαι, ὅ τε χαγάνος καὶ οἱ ἐπέκεινα ῥῆγες καὶ οἱ κάσταλδοι, δῶρα τῷ βασιλεῖ στείλαντες ᾐτήσαντο εἰρήνην. εἶξεν

10. καὶ add Cramerus

nos bellum Cpolim gesserunt. dei autem gratia victus a Byzantinis rediit impius exercitus, et in itinere a Cibyraeotarum exercitu iterum armis petiti et victi, sunt, navibus igne maritimo combustis. Callinicus enim architectus quidam ab Heliopoli, Syriae urbe, quum ad Romanos transfugisset, ignem humidum inventum iis paravit et Arabum naves comburens una cum hominibus perdidit. ita Romani magna cum victoria redierunt, igne humido invento.

Ingressi autem Mardaitae Libanum occupaverunt. et Manias valde exterritus legatos misit ad regem, pacem petentes, concedens tributa annua. rex, legatis auditis, misit cum iis Ioannem patricium Pitzogabdem, qui peritia et prudentia ornatus cum Arabibus loqueretur. quum huius prudentiam et acumen mirarentur Arabes, convenit inter eos, Romanis quotannis dari millia 10 auri, servorum octo millia, equos generosos 50. haec annos 30 ut darentur, constitutum est, ita ut longa pax esset inter Arabes et Romanos. eadem ratione Scythae in occidente habitantes et Chaganus et reges ibi regnantes et Castaldi do-

οὖν ὁ βασιλεὺς καὶ ἐκύρωσεν εἰρήνην, καὶ γέγονε γαλήνη ἔν τε ἀνατολῇ καὶ δύσει.

Ἐπὶ αὐτοῦ δὲ τοῦ βασιλέως τὸ τῶν Βουλγάρων ἔθνος διαπεράσαν καὶ ἀπὸ τῶν ὁμοφύλων ἀποχωρισθὲν ἐσκήνωσεν ἐν Βάρναις ἔν τισι λόχμαις καὶ ὄρεσιν. ὁ δὲ βασιλεὺς τοῦτο ἀκηκοὼς σὺν ναυσὶ καὶ στρατῷ ἐπῆλθε κατ' αὐτῶν. οἱ δὲ Βούλγαροι τοῦτο ἀθρόως θεασάμενοι, καὶ τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας, εἴς τι ὀχύρωμα καταφεύγουσι καὶ ἑαυτοὺς ἀσφαλίζονται. τῶν δὲ Ῥωμαίων πόλεμον μὴ δυναμένων συνάψαι διά τε τὰ τέλματα καὶ τὴν τοῦ τόπου ὀχύρωσιν, ἐθρασύνθη τὸ μιαρὸν ἔθνος. συνέβη δὲ καὶ τὸν βασιλέα ποδαλγίᾳ ὀξυπαθῆσαι καὶ ἐπὶ Μεσημβρίαν ὑποστρέψαι, παρεγγυήσαντος τοῖς στρατηγοῖς ἐνέδραν καὶ λόχον ποιῆσαι, εἶτα διὰ χλεύης τινὸς ὑποσῦραι αὐτοὺς ἔξω. ἀλλ' οἱ καβαλλαρικοὶ τὸν βασιλέα φεύγειν διαφημίσαντες φυγῇ ἐχρήσαντο μηδενὸς διώκοντος. οἱ δὲ Βούλγαροι τοῦτο θεασάμενοι ἐδίωξαν ὄπισθεν αὐτῶν, καὶ πολλοὺς ξίφει ἀνεῖλον· καὶ ἔκτοτε διαπεράσαντες καὶ θρασυνθέντες κατεκράτησαν, καὶ πλατυνθέντες τὴν Ῥωμαϊκὴν χώραν ἠχμαλώτιζον· ὅθεν καὶ ἀναγκασθεὶς ὁ βασιλεὺς εἰρηνεῦσαι μετ' αὐτῶν, ἐτήσια αὐτοῖς συμφωνήσας πάκτα, ἐπ' αἰσχύνῃ Ῥωμαίων, διὰ πλῆθος ἁμαρτιῶν ἡμῶν, ὅτι ὁ πάντας ὑποτελεῖς ποιήσας ὑπὸ μιαροῦ ἔθνους ἡττήθη.

20. εἰρήνευσε?

nis ad regem missis, pacem petiverunt. cessit igitur rex et pacem sanxit. ita et Oriens et Occidens pacati sunt.

Hoc regnante, Bulgari traiecerunt et a popularibus suis separati in Barnis habitaverunt, in saltibus quibusdam et montibus. quod quum audiisset rex naves et exercitum contra eos duxit. sed Bulgari primo Romanorum impetu de salute desperantes in munitionem quandam recesserunt, ibique se in tuto collocarunt; cumque eos adoriri Romani ob paludes et iniquitatem locorum non possent, ferocior factus est turpis populus. accidit vero etiam, ut rex pedibus laboraret et ad Meridiem rediret, postquam duces iussit dolo et insidiis factis, cum ludibrio ipsos subducere. sed equites, sparso rumore, regem fugisse, nemine urgente, fugam fecerunt. quod quum animadvertissent Bulgari a tergo insecuti multos gladiis interfecerunt. atque inde progredientes, aucta fiducia, vicerunt et effusi in terram Romanam magnam praedam abegerunt. itaque rex coactus est pacem cum iis componere iisque annua tributa cum dedecore Romanorum concessit propter peccatorum nostrorum multitudinem, quia quum omnes vectigales fecisset, a turpi populo victus est.

Ἠρεμήσας δὲ ἐκ πάντων ἥνωσε τὰς ἁγίας ἐκκλησίας· καὶ σύνοδον οἰκουμενικὴν ποιήσας, συναθροίσας ἐν Κωνσταντινουπόλει τῶν σπθ' πατέρων, ἐβεβαίωσε τὰ δόγματα τῶν προλαβουσῶν ἁγίων πέντε συνόδων, καὶ τὴν τῶν μονοθελητῶν αἵρεσιν ἀνεθεμάτισε, καθελὼν Σέργιόν τε καὶ Πύρρον. τε-
λευτήσας δὲ ἐτέθη ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν λάρνακι Θετταλῇ· τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε Γεώργιος ὁ Σύρος· ἔστεψε δὲ Ἰουστινιανὸν τὸν υἱὸν αὐτοῦ τοῦ συμβασιλεύσειν αὐτῷ. Μαυΐου δὲ τοῦ Ἄραβος τελευτήσαντος Ἀβιμέλεχ ἐκράτησεν· ὃς καὶ ἀποστείλας πρέσβεις
πρὸς τὸν βασιλέα ᾔτήσατο εἰρήνην τοῦ παρέχειν τξ' χιλιάδας χρυσίου νομίσματα καὶ τξ' δούλους καὶ εὐγενεῖς ἵππους τξ' καθ' ἕκαστον χρόνον, ὅπως παυθῇ τὰ τῶν Μαρδαϊτῶν τάγματα ἐκ τοῦ Λιβάνου. ἀπεβίω δὲ ὁ αὐτὸς εὐσεβὴς Κωνσταντῖνος κρατήσας ἔτη ιζ'.

Ἰουστινιανὸς ὁ υἱὸς αὐτοῦ ὁ ῥινότμητος.

τσί ἰν- δικ. ιε' Ἰουστινιανὸς ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ις'. οὗτος ἀπέστειλε πρὸς Ἀβιμέλεχ ἀσφαλίσασθαι τὰ στοιχηθέντα ἐγγράφως ἐπὶ τοῦ αὐτοῦ πατρός, καὶ πέμψας παρέστειλε τοὺς Μαρδαΐτας χιλιάδας δώδεκα, ὧ τῆς ἀνοίας, Ῥωμαϊκὴν δυνα-
στείαν ἀκρωτηριάσας· πάνδεινα γὰρ κακὰ ἔκτοτε πέπονθεν ἡ Ῥωμανία ὑπὸ τῶν Ἀράβων μέχρι τοῦ νῦν, τούτων παρα-

Tutus autem ab omnibus coniunxit sanctas ecclesias; et concilio oecumenico facto, quum 289 patres Cpolitani convenissent, firmavit dogmata priorum quinque conciliorum et monotheletarum haeresin excommunicavit, Sergio et Pyrrho interfectis. mortuus in fano sanctorum apostolorum sepultus est in cista Thessalica. patriarchalem sedem tenuit Georgius Syrus, qui filium eius Iustinianum, ut simul cum patre regnaret, coronavit. Mavia Arabe mortuo Abimelech imperavit qui, legatis ad regem missis pacem petivit eo pretio, ut 365 millia nummum aureorum, 365 servos et nobiles equites quoque anno daret, Mardaitarum autem agmen e Libano eiiceretur. Mortuus vero est ipse Constantinus, postquam annos 12 regnavit.

Iustinianus.

Iustinianus eius filius regnavit annos 16. hic misit ad Abimelech, qui firmarent ea, quae sub patre ipsius, litteris constituta erant et legato misso 12000 Mardaitarum revocavit, heu stultitiam imperium Romanum concidens. Maxima enim mala illis revocatis terra Romana inde passa est ab Arabibus usque ad hoc tempus. idem pacem

σταλέντων. ἔλυσε δὲ καὶ τὴν τῶν Βουλγάρων εἰρήνην. ἐπιστρατεύσας δὲ ἐπὶ τὰ δυτικὰ μέρη πολλὰ τῶν Σκλάβων πλήθη τὰ μὲν πολέμῳ τὰ δὲ λόγῳ παραλαβὼν ὑπέστρεψεν, ἀφ' ὧν ἐπιλεξάμενος καὶ στρατεύσας χιλιάδας τριάκοντα λαὸν περιούσιον τούτους ἐπωνόμασεν· οὓς δὴ καθοπλίσας καὶ ἰδιοποιησάμενος, καὶ τῇ τούτων συμμαχίᾳ πεποιθώς, λύει τὴν μεταξὺ Ῥωμαίων καὶ Ἀγαρηνῶν εἰρήνην ἐξ ἀνοίας, καὶ λαβὼν τὸν περιούσιον ἢ μᾶλλον ἀνόσιον εἰπεῖν λαὸν καὶ τὰ λοιπὰ στρατεύματα πρὸς τὴν Σεβαστούπολιν ἀπῆρεν· ἐν ᾗ καὶ οἱ Ἀγαρηνοὶ παραγενόμενοι, καὶ προμαρτυρούμενοι αὐτῷ τὰ μεθ' ὅρκων συμφωνηθέντα μὴ διαστρέψαι, ἐπείτοι γε κριτὴς ὁ θεὸς καὶ ἔκδικος γενήσεται, οὐ κατεδέξατο τὰ τῆς εἰρήνης ὁ βασιλεύς, ἀλλὰ πρὸς πόλεμον παρετάσσετο. καὶ δὴ παραυτίκα ἁπλώσαντες οἱ Ἀγαρηνοὶ τὸν τῆς εἰρήνης ἔγγραφον χάρτην, καὶ ἐπὶ δόρατος ἀναρτήσαντες, ὥρμησαν κατὰ Ῥωμαίων. καὶ συμβολῆς γενομένης ἠττομόλησαν ἐκ τῶν Σκλάβων πρὸς τοὺς Ἀγαρηνοὺς χιλιάδες εἴκοσι, καὶ οὕτως τῶν Ῥωμαίων δεινῶς τραπέντων καὶ ἀναριθμήτων σφαγέντων ἡ δικαιοκρισία καὶ νίκη πρὸς τοὺς ἐναντίους ἐχώρησε, διδάσκουσα μὴ παραβαίνειν θεῖον ὅρκον πώποτε, κἂν πρὸς τοὺς ἐναντίους καὶ ἀπίστους γένηται. πεφευγὼς δὲ ὁ βασιλεύς, καὶ φθάσας ἐν τῷ παρὰ θάλασσαν τόπῳ τοῦ Λευκάτου μετ' αἰσχύνης πολλῆς καὶ ἥττης, ἀνεῖλε τὰς περιλειφθείσας δέκα χιλιάδας τῶν Σκλάβων, καὶ ἔκτοτε πλείω θρασυνθέντες οἱ

20. προβαίνειν C

cum Bulgaris factam confudit. profectus in terras occidentales magna Slavorum multitudine partim sermone partim bello subacta rediit. ex his novum exercitum 30000 militum conscripsit eosque peculiarem populum appellavit. quibus armatis et sub ditionem redactis, horum societate fisus pacem inter Romanos et Agarenos factam stulte rupit et cum peculiari vel potius nefasto populo reliquisque exercitibus adversus Sebastupolim profectus est; ubi Agareni aderant. hi quum eum obtestarentur, ne quae iuribus iurandis statuta essent everteret, quia iudex deus futurus esset et ultor, rex non accepit pacem, sed ad bellum se paravit. ac statim Agareni, postquam scriptas pacis tabulas pansas e hasta suspenderunt, Romanos aggressi sunt. pugna commissa, transfugerunt e Slavis ad Agarenos 20000 hominum; itaque, magna fuga orta et innumerabili Romanorum multitudine interfecta, iustitia et victoria ad hostes transiit, docens, ne quis etiamsi cum hostibus et non in Christum credentibus agatur, divinum iusiurandum laedat. rex fugiens celeriter in locum mari adiacentem, cui nomen Leucatae, magna cum clade et dedecore, reliqua 10000 Sla-

Ἀγαρηνοὶ σφοδρότερον ἐληΐζοντο τὴν Ῥωμανίαν, ἔχοντες εἰς βοήθειαν καὶ τοὺς πρόσφυγας Σκλάβους. τοῦ δὲ βασιλέως εἰσελθόντος εἰς τὴν πόλιν γέγονεν ἡλιακὴ ἔκλειψις, ὥστε καὶ τοὺς ἀστέρας φανῆναι.

Ἰουστινιανὸς δὲ τὰ τοῦ παλατίου κτίσματα ἐπεμελεῖτο, τὸν Ἰουστινιανοῦ λεγόμενον τρίκλινον κτίσας καὶ ποικίλοις κοσμήσας μαρμάροις, καὶ τὰ πέριξ τοῦ παλατίου, ἔχων Στέφανον σακελλάριον αὐτοῦ καὶ πρωτευνοῦχον, αἱμοβόρον ὄντα καὶ ἀπηνῆ, αἰκίζοντα ἀνηλεῶς τοὺς ἐργολάβους, καὶ τοσοῦτον ἀπηνῆ ὡς καὶ τὴν μητέρα τοῦ βασιλέως τυπτῆσαι· ὃς καὶ εἰς τὸ πολιτικὸν πλεῖστα κακὰ ἐνδεικνύμενος, καὶ ἐκ τῶν οἰκητόρων τῆς πόλεως ἀπαιτήσεις καὶ ἐκταγὰς ἀπροφασίστους ποιούμενος, μισητὸν τὸν βασιλέα τῇ πόλει πεποίηκεν.

Ὁ δέ γε βασιλεὺς βουλόμενος κτίσαι τῷ δήμῳ βάθρα καὶ στάσιν, ἀπῄτει Καλλίνικον τὸν πατριάρχην εὐχὴν ποιῆσαι τοῦ καταλυθῆναι τὴν ἐκκλησίαν τῆς ὑπεραγίας Θεοτόκου τὴν οὖσαν πλησίον τοῦ παλατίου, βουλόμενος στῆσαι φιάλην καὶ βάθραν κτίσαι τῷ δήμῳ πρὸς τὸ ἐκεῖσε γίνεσθαι τὸ λεγόμενον σαξιμοδέξιον. ὁ δὲ πατριάρχης ἔλεγεν ὅτι εὐχὴν ἐπὶ συστάσει ἐκκλησίας ἔχομεν, ἐπὶ δὲ καταλύσει οὐ παρελάβομεν. βιασθεὶς δὲ καὶ ἀπαιτούμενος τὴν εὐχὴν ἔφη "δόξα τῷ θεῷ τῷ ἀνεχομένῳ πάντα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων," καὶ παρευθὺ κατέλυσαν τὴν ἐκκλησίαν.

vorum interfecit. inde Agareni, aucto animo, magis praedabantur terram Romanam, transfugis Slavorum in auxilium adscitis. rege in urbem ingresso, sol defecit, ita ut stellae cernerentur.

Iustinianus autem aedificiorum palatii curam habuit, triclinium quod dicitur Iustiniani condens vario splendore ornatum et moenibus palatium circumdans. habuit Stephanum sacellarium et eunuchorum principem, hominem sanguinarium et crudelem, qui sine misericordia operarios vexabat adeoque rudem ut ipsam regis matrem verberaret. idem quum publice plurima mala fecisset neque ulla causa addita pecuniam et sportulas ab oppidanis posceret, regem civibus invisum reddidit.

Rex autem, quum populo gradus et sedes exstruere vellet, a Callinico patriarcha postulavit, ut deum oraret destructionem ecclesiae sanctissimae matris dei palatio adiacentis; voluit enim gradus et phialam exstruere populo, ut ibi saximodexium, quod dicitur, ageretur. respondit patriarcha, preces esse de erigenda ecclesia, non vero de evertenda. sed vi coactus et preces rogatus: "gloria," inquit, "deo qui omnia sustinet nunc et semper et in aeternum," et statim destructa est ecclesia.

Λεόντιος δὲ ὁ πατρίκιος ἐν ὑπολήψει ὢν τῆς βασιλείας, καὶ διὰ τοῦτο ἐναπόκλειστος γεγονὼς ἐπὶ ἔτη δύο, τότε δὲ ἐκπεμφθεὶς παρὰ Ἰουστινιανοῦ στρατηγὸς εἰς Ἑλλάδα, καὶ φίλῳ αὐτοῦ Παύλῳ μοναχῷ καὶ ἀστρονόμῳ ἐντυχών, ὃς καὶ προεῖπεν αὐτῷ τῆς βασιλείας κρατῆσαι, πρὸς αὐτόν τε καὶ τοὺς λοιποὺς φίλους αὐτοῦ ἰδιαζόντως ἔφη "ἰδοὺ ὄπισθέ μου ἀποστέλλει ὁ βασιλεὺς καὶ αἴρει τὴν κεφαλήν μου, καὶ ψευδῆ μοί εἰσιν ἃ μοι ἐπηγγείλασθε περὶ βασιλείας." οἱ δὲ εἶπον "αὐτὸς μὴ ὀκνήσῃς, καὶ τοῦτο εὐθέως καὶ ἄρτι πληροῦται." καὶ λαβὼν αὐτοὺς ἦλθε καὶ ἔκλασε τὰς δημοσίας φυλακάς, συλλαβόμενος ὄχλον πολὺν μετ' αὐτοῦ. ἐξελθὼν δὲ εἰς τὸν φόρον ἐκήρυξαν παντὶ τῷ λαῷ βοῶντες "ὅσοι Χριστιανοί, εἰς τὴν ἁγίαν Σοφίαν· καὶ ἐπισυναχθὲν πλῆθος ἔκραζον "ἀνασκαφείη τὰ ὀστᾶ Ἰουστινιανοῦ." ἐξελθὼν δὲ Λεόντιος εἰς τὸ ἱπποδρόμιον ἀναγορεύεται βασιλεύς, καὶ ἡμέρας γενομένης ἐξαγαγὼν Ἰουστινιανὸν εἰς τὸ ἱππικὸν καὶ ῥινότμητον ποιήσας ἐν τῇ σφενδόνῃ ἐξώρισεν εἰς Χερσῶνα. ὁ δὲ ὄχλος συλλαβόμενος Στέφανον σακελλάριον τὸν εὐνοῦχον καὶ Θεόδοτον γενικόν, σχοίνοις τε ἐκ ποδῶν δήσαντες ἔσυραν διὰ τῆς μέσης, καὶ εἰς τὸν βοῦν ἀγαγόντες ἔκαυσαν.

Λεόντιος.

Λεόντιος ἐβασίλευσεν ἔτη τρία· ἐφ' οὗ οἱ Ἄραβες τὴν ἐσιγ ἰνδικτ. ε

5. καὶ om C

Leontius patricius suspectus de regno affectando eaque de causa duos annos in custodiam datus, tum vero a Iustino dux in Graeciam missus quum incidisset in Paulum monachum et astronomum sibique amicum, qui ipsum praedixit regno potiturum esse; huic et reliquis amicis laicis "ecce" inquit, "rex post me mittit aliquem et caput abscidit et falsa sunt quae mihi de regno narrastis." illi vero: "ipse noli cunctari, statim tibi hoc et nunc iam impletur." sumptis igitur his carceres publicos aggressus reclusit, magnam hominum multitudinem secum duxit. progressus in forum toti populo clamans nuntiavit: "quicunque Christiani sunt, ad aedem S. Sophiae praesto sint." et populus in unum coactus clamavit: "refodiantur ossa Iustiniani." egressus Leontius in circum rex renuntiatur et prima luce Iustinianum in circum productum nasoque in funda truncatum Chersonam relegavit. populus autem Stephanum sacellarium et eunuchum ac Theodotum aerarii praefectum captos, funibus ad pedes alligatis, per viam mediam traxit et ad bovem ductos combussit.

LEONTIUS.

Leontius regnavit annos 3. sub eo Arabes Africam bello illato

Ἀφρικὴν ἐκστρατεύσαντες παρέλαβον. ὁ δὲ Λεόντιος ταῦτα μαθὼν ἀποστέλλει τὸν πατρίκιον Ἰωάννην ἄνδρα ἱκανὸν μετὰ Ῥωμαϊκοῦ στόλου· ὃς τοὺς ἐχθροὺς κατατροπωσάμενος ἠλευθέρωσε τὴν Ἀφρικήν, καὶ ταῦτα ἀναγαγὼν τῷ βασιλεῖ ἐκεῖσε παρεχείμασεν. ὁ δὲ πρωτοσύμβουλος ταῦτα μαθὼν δύναμιν πολλὴν Ἀγαρηνῶν ἀπέστειλε κατὰ Ἰωάννου, καὶ τοῦτον ἐξεδίωξεν. ὁ δὲ Ἰωάννης ἐπὶ Ῥωμανίαν ἔκαμψε, δύναμιν πλείω βουλόμενος ἀναλαβεῖν· ἐλθόντος δὲ ἕως Κρήτης ἐπὶ τὸν βασιλέα πορευομένου, ὁ στρατὸς ὑπὸ τῶν ἰδίων ἀρχόντων ἀνατραπεὶς εἰς βουλὴν πονηρὰν ἐξετράπη, καὶ φονεύσαντες Ἰωάννην πατρίκιον καὶ τὸν βασιλέα ἀναθεματίσαντες, Ἀψίμαρον δρουγγάριον τῶν πλωίμων τῶν Κιβυρραιωτῶν βασιλέα ἀνηγόρευσαν, Τιβέριον ὀνομάσαντες. τοῦ δὲ Λεοντίου τὸν τοῦ νεωρίου λιμένα ἐκκαθαίροντος, ἡ τοῦ βομβῶνος λύμη ἐνέσκηψε τῇ πόλει καὶ πλῆθος λαοῦ διέφθειρε. κατέλαβε δὲ ὁ Ἀψίμαρος ἅμα τῷ στόλῳ, καὶ προσώρμισεν ἐν Συκαῖς. τῆς δὲ πόλεως Λεόντιον παραδοῦναι μὴ βουλομένης προδοσία γέγονε διὰ τῆς τῶν Βλαχερνῶν πόρτης, καὶ τὸν Λεόντιον χειρωσάμενος Ἀψίμαρος καὶ ῥινοκοπήσας ἐν τῇ μονῇ τῆς Δαλμάτου περιώρισεν, καὶ πάντας τοὺς φίλους αὐτοῦ τύψας καὶ δημεύσας ἐξώρισεν.

5. πρῶτος σύμβουλος C

occupaverunt. quo audito Leontius Ioannem patricium, prudentem virum, cum classe Romana misit qui hostibus expulsis, Africam liberavit idque regi nuntiavit, ibi hibernavit. id quum primus consiliarius audiisset, magna Agarenorum vi missa, Ioannem expulit. Ioannes autem in terram Romanam profectus est, ut maiorem multitudinem hominum peteret. proficiscens autem ad regem quum usque ad Cretam venisset, exercitus ab ipsis ducibus motis in malum consilium deflexit; et, Ioanne patricio interfecto, rege excommunicato Apsimarum drungarium navium Cibyrrhaeotarum regem creavit, nomine imposito Tiberii. quum Leontius navalia purgaret, bubonum leces in urbe grassata magnam hominum multitudinem abstulit. Apsimarus autem cum classe ad Sycas appulit. nrbem quum Leontius tradere nollet proditione facta, per portam Blachernarum ingressus est Apsimarus et Leontium captum nasoque truncatum in Dalmatae monasterium relegavit, et amicos omnes verberatos et vinctos expulit.

Ἀψίμαρος ὁ καὶ Τιβέριος.

Ἀψίμαρος ὁ καὶ Τιβέριος ἐβασίλευσεν ἔτη ἑπτά, ἐφ' οὗ σχη γέγονε θανατικὸν μέγα, καὶ Ῥωμαῖοι τὴν Συρίαν λεισάμενοι κατέσφαξαν μέχρι χιλιάδων διακοσίων. Ἀψίμαρος δὲ Φιλιπ-
5 *πικὸν υἱὸν Νικηφόρου πατρικίου εἰς Κεφαληνίαν ἐξώρισεν ὡς ὀνειροπολοῦντα τὸ βασιλεῦσαι. κατ' ὄναρ ἔλεγεν ἑωρακέναι τὴν κεφαλὴν αὐτοῦ ὑπὸ ἀετοῦ σκεπάζεσθαι, ὅπερ ἀκούσας ὁ βασιλεὺς τοῦτον ἐξώρισεν. ὁ δὲ Ἰουστινιανὸς ἐν Χερσῶνι ἐφήμιζεν ὡς πάλιν τὴν βασιλείαν ἀπολήψοιτο· οἱ δὲ οἰκήτορες*
10 *φοβηθέντες ἐβουλεύσαντο ἢ φονεῦσαι τοῦτον ἢ τῷ βασιλεῖ παραπέμψαι. τοῦτο δὲ γνοὺς Ἰουστινιανὸς εἰς Χαζαρίαν φεύγει· καὶ ἐξέδοτο αὐτῷ εἰς γυναῖκα ὁ Χάζαρος τὴν αὐτοῦ ἀδελφὴν Θεοδώραν. ταῦτα μαθὼν Ἀψίμαρος πέμπει πρὸς χαγάνον, πολλὰ δῶρα ὑπισχνούμενος αὐτῷ, ἢ τὸν Ἰουστινιανὸν ζῶντα*
15 *ἢ κἂν τὴν κεφαλὴν αὐτοῦ ἀποστεῖλαι αὐτῷ. ὁ δὲ Ἰουστινιανὸς ταῦτα μαθὼν ἀπελθὼν ἐν Χερσῶνι λάθρα καὶ ναῦν ἀναλαβόμενος ἀπέπλευσεν, ἐπὶ τὸ στόμιον τοῦ Ἴστρου τὸν πλοῦν ποιούμενος. καὶ κλύδωνος γενομένου καὶ πάντων ἀπογνόντων διὰ τὸν κλύδωνα οἰκεῖος αὐτῷ τις ἔφη "εἰ περισωθῇς, ὦ*
20 *δέσποτα, καί σοι τὴν βασιλείαν ὁ θεὸς ἀποδῷ, δὸς λοιπὸν μηδένα τῶν ἐχθρῶς ἀμύνασθαι." ὁ δὲ ἐν θυμῷ καὶ ὀργῇ ἔφη "ἐνταῦθά μοι καταποντίσει κύριος, εἰ φείσομαί τινος ἐξ*

APSIMARUS.

Apsimarus, qui etiam Tiberius, regnavit annos 7. sub eo magna pestis orta est, et Romani Syriam praedantes fere 200000 hominum interfecerunt. Apsimarus autem Philippicum filium Nicephori patricii, quippe qui de regnando somniaret, Cephaleniam relegavit. somnio enim dixit ille se vidisse caput suum per aquilam obumbratum. Iustinianus autem Chersone dicebat se regnum recepturum esse. oppidani exterriti aut interficere eum aut ad regem mittere statuerunt. quo audito Iustinianus Chazariam fugit, deditque ei Chazarus in matrimonium Theodoram sororem. haec quum Apsimarus audivisset ad chaganum legatos mittit eumque multis donis promissis rogat, ut aut vivum Iustinianum aut caput eius sibi mitteret. his cognitis Iustinianus clam Chersonam abiit et, nave sumpta, profectus est, ad Istri ostia iter dirigens. tempestate orta quum omnes desperassent propter tempestatem, familiaris quidam: "si servatus fueris," inquit, domine, "et imperium tibi reddiderit deus, promitte te non ulturum quemquam superstitem ex inimicis tuis." respondit Iustinianus irato animo: "hic me deus submergat, si cui ex iis parcam." servatus Iustinianus e

αὐτῶν." διαπεμφθεὶς δὲ ἐκ τοῦ κλύδωνος ἀπέστειλε πρὸς Τέρβελον τὸν Βούλγαρον δοῦναι αὐτῷ συμμαχίαν τοῦ κρατῆσαι τὴν προγονικὴν βασιλείαν, καὶ πλεῖστα δῶρα παρασχεῖν αὐτῷ. ὁ δὲ οὐ μόνον συμμαχίαν ἀλλὰ καὶ ἑαυτὸν ἐπιδέδωκεν· ἅμα γὰρ αὐτῷ μετὰ πλείστης δυνάμεως ἐπὶ τὴν βασιλεύουσαν παρεγένετο. εἰσῆλθε δὲ Ἰουστινιανὸς σὺν ὀλίγοις ὁμοφύλοις διὰ τοῦ ἀγωγοῦ κατὰ προδοσίαν τινῶν τῶν ἐν τῇ πόλει, καὶ ἐξῆλθεν εἰς τὴν ἁγίαν Ἄνναν τὸ λεγόμενον δι' αὐτὸν ἔκτοτε δεύτερον, καὶ κατεσκήνωσεν ἐν τῷ παλατίῳ Βλαχερνῶν, ἀπολαβὼν τὴν αὐτοῦ βασιλείαν· ὅπερ μαθὼν Ἀψίμαρος εἰς Ἀπολλωνιάδα φεύγει.

Ἰουστινιανὸς τὸ δεύτερον ὁ ῥινότμητος.

ϛσκς' ἰνδικτ. ε' Ἰουστινιανὸς τὴν βασιλείαν τὸ δεύτερον ἀπολαβὼν ἐβασίλευσεν ἔτη ἓξ, δῶρα πολλὰ τῷ Τέρβελι δούς, καὶ χώραν τῶν Ῥωμαίων ἐκκόψας δίδωσιν αὐτῷ τὰ λεγόμενα νῦν Ζαγόρια. Ἀψίμαρον δὲ ἀποστείλας ἐχειρώσατο καὶ Ἡράκλειον τὸν ἀδελφὸν αὐτοῦ σὺν πᾶσι τοῖς συνασπιζομένοις αὐτοῖς ἄρχουσι· καὶ τοὺς μὲν ἄλλους ἐν τῷ χειμῶνι πάντας ἀνασκολοπίσας, Ἀψίμαρον δὲ καὶ Λεόντιον ἁλύσεσι δεσμεύσας ἤγαγεν ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου, καὶ τοὺς αὐχένας αὐτῶν πατῶν ἦν ἄχρις ἀπολύσεως τοῦ πρώτου βαΐου. ὁ δὲ

9. αἱ Βλαχέρναι ἀπό τινος Σκύθου καλουμένου ἀναιρεθέντος ἐκεῖ προσηγορεύθη.

tempestate misit ad Terbelum Bulgarum auxilium petens ad recuperandum avitum imperium multaque dona promittens. ille vero non solum auxilium, sed se ipsum etiam dedit. una cum eo cum magna hominum vi Cpolim venit. ingressus proditione nonnullorum ex iis, qui in urbe erant, per aquaeductum cum paucis gentilibus in S. Annam, quod exinde ab eo secundum est appellatum, provenit et tentorio in palatio Blachernensi posito, regnum suum recepit. quo audito Apsimarus Apolloniadem fugit.

Iustinianus iterum naso truncatus.

Iustinianus regnum iterum nactus regnavit annos 6. postquam Terbeli multa dona dedit etiam partem Romanorum eam, cui nunc nomen Zagoriae est, concessit. Apsimarum autem, hominibus missis cepit et Heraclium fratrem una cum armatis pro eo principibus. et ceteros quidem omnes hieme in stipitibus fixit, Apsimarum autem et Leontium catenis vinctos in sedibus circi duxit eorumque cervices calcabat dum primum baium missum est. populus autem clamavit:

δῆμος ἐβόα "ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπέβης, καὶ κατεπάτησας λέοντα καὶ δράκοντα." καὶ οὕτως ἀποστείλας αὐτοὺς ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισε. Καλλίνικον δὲ τὸν πατριάρχην τυφλώσας ἐξώρισε, καὶ πολλοὺς τῶν ὄντων ἐν τῇ πόλει ἀπώλεσε θανάτῳ, ὥστε φόβον μέγαν γενέσθαι. ἀποστείλας δὲ ἤγαγε Θεοδώραν τὴν ἐκ Χαζαρίας καὶ Τιβέριον υἱὸν αὐτῆς, καὶ συνεβασίλευσαν αὐτῷ. λύσας δὲ τὴν εἰρήνην τῶν Βουλγάρων ἐπεστράτευσε κατ' αὐτῶν, καὶ καταπολεμηθεὶς εἰς φρούριον κατέφυγε, καὶ τοὺς ἵππους νευροκοπήσας, εἰς τὰ σκάφη ἐπιβάς, μετ' αἰσχύνης ἦλθεν ἐν Κωνσταντινουπόλει. Χερσωνίταις δὲ μνησικακῶν ἀπὸ τῆς ἐξορίας αὐτοῦ, ἀποστείλας Μαῦρον πατρίκιον κατέσφαξε καὶ τὰ νήπια αὐτῶν κατηδάφισεν. ὁ δὲ Φιλιππικὸς ὁ καὶ Βαρδάνης ἐκεῖσε ὢν ἐξόριστος, καί τινας τῶν στρατιωτῶν ὑπονοθεύσας καὶ πρὸς τὴν αὐτοῦ ἑλκύσας εὔνοιαν, διὰ τὴν τοῦ Ἰουστινιανοῦ ἀπήνειαν καὶ ὠμότητα τοῦτον εὐφήμησαν εἰς βασιλέα καὶ μετὰ στόλου προέπεμψαν ἐν τῇ πόλει· ὅπερ γνοὺς ὁ Ἰουστινιανός, ἐπὶ πλεῖον φοβηθεὶς καὶ θυμωθείς, ἀνῆλθε μέχρι Σινώπης ἀκριβέστερον περὶ τούτου μαθησόμενος. τοῦ δὲ Φιλιππικοῦ σὺν τῷ στόλῳ τὴν πόλιν καταλαβόντος Ἰουστινιανὸς πρὸς τὸν Δαματρὺν ἀπέδρα, καταλειφθεὶς ὑπὸ πάντων· ὃν αὐτίκα Φιλιππικὸς χειρωσάμενος τὴν κεφαλὴν αὐτοῦ ἀφείλετο καὶ τοῖς Σκύθαις ἐξέπεμψε.

"super aspidem et basiliscum ambulavisti et leonem ac draconem calcavisti." inde eos in cynegium missos capite truncari iussit. Callinicum patriarcham oculis orbatum in exilium misit, multosque ex iis qui in urbe erant perdidit ita ut magnus timor oriretur. Theodoram Chazaream eiusque filium Tiberium adduxit qui una cum eo regnarunt. rupta pace, quam cum Bulgaris inierat, bellum iis intulit et victus in castrum fugit; deinde equorum suorum nervis incisis naves ingressus, cum dedecore Cpolim venit. memor malorum, quae Chersonenses contra se, quum in exilio esset, moliti erant, Mauro patricio misso eos trucidavit et infantes prostravit. Philippicus autem, qui etiam Bardanes, corruptis nonnullis militibus et in suam voluntatem tractis propter Iustiniani inimicitiam et crudelitatem faustis acclamationibus rex creatus est et cum classe in urbem missus. quibus cognitis, Iustinianus magis exterritus et iratus usque ad Sinopen profectus est, ut accuratius de re audiret. quum autem Philippicus urbem cum classe occupasset, Damatrya confugit Iustinianus, desertus ab omnibus. Philippicus extemplo eum cepit et caput abscisum Scythis misit.

Φιλιππικὸς ὁ καὶ Βαρδάνης.

ςσκη' Φιλιππικὸς ὁ καὶ Βαρδάνης ἐβασίλευσεν ἔτη δύο· ὃς ἐν μὲν ταῖς διαλαλιαῖς αὐτοῦ λόγιος καὶ ἐχέφρων ἐλογίζετο, ἐν δὲ ταῖς πράξεσιν αὐτοῦ ἀσέμνως καὶ ἀνικάνως καὶ αἰσχρῶς τὸν βίον διατελῶν πάντῃ ἀδόκιμος ἐδείκνυτο. ἦν δὲ καὶ κακόδοξος, μὴ αἰσχυνθεὶς ὁρμῆσαι τοῦ κινῆσαι ὅρια τὰ τῆς ἁγίας συνόδου ἐκτεθειμένα· ταῦτα καὶ γὰρ ἀνατρέψαι ἐσπούδαζεν, ὑπὸ ἐγκλείστου τινὸς ἐν τοῖς Καλλιστράτου καταμένοντος τὴν κακοπιστίαν ἐκδιδαχθείς, παρ' οὗ καὶ τὸ ὅτι βασιλεύσει πρότερον ἤκουσεν. ἐφ' οὗ καὶ οἱ Βούλγαροι μέχρι τῆς χρυσῆς πόρτης αἰχμαλωσίαν ποιήσαντες ὑπέστρεψαν. ὁ δέ, ἱππικοῦ τελουμένου καὶ τῶν πρασίνων νικησάντων, ἔδοξεν αὐτῷ μετὰ δοχῆς καὶ ὀργάνων εἰσελθεῖν καὶ λούσασθαι εἰς τὸ λουτρὸν τοῦ Ζευξίππου καὶ μετὰ πολιτῶν αἰσχρῶν ἑστιαθῆναι· ἐν δὲ τῷ αὐτὸν ἑστιᾶσθαι αἴφνης Γεώργιος πατρίκιος, ᾧ τὸ ἐπίκλην Βόραφος, καὶ Θεόδωρος πατρίκιος ὁ Μαϊάκης, μετὰ ταξεωτῶν ἐκ τῆς Θρᾴκης εἰσδραμόντες, καὶ ἁρπάσαντες τὸν Φιλιππικὸν καὶ ἀνενεγκόντες εἰς τὸ ἁρματούριον τῶν πρασίνων ἐτύφλωσαν, καὶ ἐπισυναχθέντος τοῦ λαοῦ τῇ ἐπαύριον εἰς τὴν μεγάλην ἐκκλησίαν ἔστεψαν Ἀρτέμιον πρωτασηκρήτις. ἐπὶ τούτου τὸν τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν Ἰωάννης διάκονος καὶ χαρτοφύλαξ ὁ αἱρετικός.

Philippicus sive Bardanes.

Philippicus, qui etiam Bardanes, regnavit annos 2, qui in colloquio facundus atque prudens habitus, sed in actionibus suis absque gravitate et industria ulla versans; turpiterque vivens extremam sibi infamiam paravit. erat etiam malae fidei, quippe quem non puduit tentare sancti concilii constituta decreta infringere. ea enim abolere voluit malam fidem doctus a monacho quodam in Callistrateis habitante, a quo audiverat antea, se regnaturum esse. sub eo Bulgari usque ad auream portam captivos abducentes venerunt. illi vero, circo finito, quum Prasini vicissent, placuit, invitato cum instrumentis ingredi et in lavacrum Zeuxippi descendere et se lavare et cum turpibus civibus coenare. quum vero coenaret, subito Georgius patricius, cui cognomen Borapho, et Theodorus patricius Maiaca natus, cum militibus e Thracia accurrentes, Philippicum arreptum et in armamentarium Prasinorum abductum oculis privant, et populo altero die in magna ecclesia collecto, Artemium principem secretariorum coronaverunt. sub hoc patriarchalem sedem tenuit Ioannes diaconus et chartarum custos haereticus.



Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος.

Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος ἐβασίλευσεν ἔτη δύο, λογιώ-
τατος ὤν· ὃς προεβάλετο στρατηγοὺς εἰς τε τὰ καβαλλαρικὰ
θέματα καὶ εἰς τὰ πολιτικὰ λογιωτάτους καὶ ἱκανωτάτους,
ὥστε τὰ πολιτικὰ ἐν ἀδείᾳ τελεῖν. οὗτος Θεόδωρον καὶ Γεώρ-
γιον τοὺς πατρικίους ἐκτυφλώσας ἐξώρισεν ἐν Θεσσαλονίκῃ.
τῶν δὲ Ἀράβων ὁπλιζομένων κατὰ Ῥωμανίας διά τε γῆς καὶ
θαλάσσης, ἀπηγγέλη τῷ βασιλεῖ κατὰ τῆς πόλεως τούτους
παραγίνεσθαι· ὁ δὲ ἤρξατο κτίζειν δρόμωνάς τε διήρεις καὶ
παράλια τείχη ἀνακαινίζειν, ὡσαύτως καὶ τὰ χερσαῖα, τοξο-
βολίστραις τε καὶ λοιπαῖς ὁπλίσεσι τὴν πόλιν κατωχύρωσε.
καὶ γεννημάτων τὰ ὠρεῖα ἐπλήρωσεν. ἐπὶ τούτου καὶ Γερ-
μανὸς ἐκ μητροπόλεως Κυζίκου μετατίθεται εἰς Κωνσταντι-
νούπολιν, καὶ κιτατώριον δὲ μεταθεσίμου ἐκπεφώνηται, ψή-
φῳ καὶ δοκιμασίᾳ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ δια-
κόνου καὶ τῆς ἱερᾶς συγκλήτου ἐκφωνηθέν. "ἡ θεία χάρις ἡ
πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπλη-
ροῦσα μετατίθησι Γερμανὸν τὸν ὁσιώτατον πρόεδρον τῆς Κυ-
ζικηνῶν μητροπόλεως εἰς ἐπίσκοπον ταύτης τῆς θεοφυλάκτου
καὶ βασιλίδος πόλεως ἐπὶ Ἀρτεμίου βασιλέως."

Μαθὼν δὲ ὁ βασιλεὺς ὅτι στόλος ἐξῆλθε τῶν Ἀγαρη-
νῶν πρὸς τὸ κόψαι ξύλα ἐπὶ τὸν Φοίνικα, ἀπέστειλε στόλον
μετὰ κληρικοῦ ὀνόματι Ἰωάννην, ὃν καὶ Ἰωαννάκην ἐκάλεσαν,

ARTEMIUS SIVE ANASTASIUS.

Artemius qui etiam Anastasius duos annos regnavit, vir prudentissimus, qui et equestribus copiis et provinciis homines prudentissimos et aptissimos praefecit, ita ut res publica quiete administraretur. hic Theodorum et Georgium patricios excaecatos Thessalonicam relegavit. Arabes quum contra Romanos terra marique bellum parārent, nuntiatum est regi, contra urbem illos proficisci. tum rex aedificare celoces et biremes coepit et maritima et terrestria moenia reparare; ballistis praeterea et aliis armis urbem firmavit et frugibus granaria replevit. sub eo Germanus ex Cyzico metropoli Cpolin transpositus est et citatorium transpositionis proclamatum, secundum suffragium et sententiam a deo amatissimi presbyteri, diaconi et sancti concilii his verbis "divina gratia, quae semper debilia firmat et manca supplet, Germanum, sanctissimum Cyzicenorum metropolis praefectum episcopum facit urbis a deo defensae et regiae sub imperio Artemii."

Rex certior factus profectum esse Agarenorum exercitum ligna in Phoenicia caesum, classem misit sub clerico quodam Ioanne, qui

πρὸς τὸ καῦσαι τὴν ξυλὴν εἰς τὸν Φοίνικα καὶ τὴν ἐξάρτησιν τῶν Ἀγαρηνῶν. ὁ δὲ στόλος στασιάσας τὸν βασιλέα ἀνέσκαψαν, τὸν δὲ Ἰωάννην ῥομφαίαις ἀνεῖλον. οἱ δὲ τοῦτο ποιήσαντες ἀντάραντες ἀνήρχοντο κατὰ τῆς βασιλίδος πόλεως. ἐλθόντων δὲ ἐν τῷ Ἀτραμυτίῳ, εὗρον ἐκεῖ Θεοδόσιον ἐκλήπτορα τῶν δημοσίων φόρων εὐσεβῆ καὶ ἀπράγμονα, καὶ ἀνηγόρευσαν αὐτὸν βασιλέα ὡς μή τινα ἔχοντες ἄρχοντα· ὁ δὲ φυγῇ χρησάμενος εἰς τὸ ὄρος ἐκρύβη. εὑρόντες δὲ αὐτὸν εὐφήμισαν βιασάμενοι εἰς βασιλέα. ὅπερ μαθὼν Ἀρτέμιος τὴν πόλιν ὀχυρώσας, ἐν Νικαίᾳ τῇ πόλει κατέφυγεν. ὁ δὲ τῆς πόλεως στόλος καὶ ὁ τοῦ Θεοδοσίου μέχρι μηνῶν ἓξ ἀλλήλους κατεπολέμουν· περάσας δὲ Θεοδόσιος ἐπὶ τὰ Θρᾳκῶα μέρη ἐν ὄχλῳ βαρεῖ τὴν πόλιν καταλαμβάνει, καὶ διὰ τῆς τῶν Βλαχερνῶν πύρτης τοῦ μονοτείχους εἰσῄει, ληιζόμενος τήν τε πόλιν καὶ τοὺς ἄρχοντας. οἱ δὲ πλώιμοι πραιδεύσαντες μεγίστην εἰργάσαντο ἅλωσιν, μηδενὸς φεισάμενοι· τὸν δὲ πατριάρχην Γερμανὸν καὶ τοὺς ἄρχοντας Ἀρτεμίου συλλαβόμενοι ἐν Νικαίᾳ ἐξορίστους ἀπήγαγον. ὁ δὲ Ἀρτέμιος τούτοις θεασάμενος, λόγον τινὰ ἀπαθείας λαβών, τὸ μοναδικὸν περιεβάλετο σχῆμα· ὃν Θεοδόσιος ἐν Θεσσαλονίκῃ ἐξώρισε. Λέων δὲ ὁ Ἴσαυρος τῶν ἀνατολικῶν στρατηγὸς ὤν, Ἀρτεμίου ὑπερμαχῶν, οὐχ ὑπετάγη Θεοδοσίῳ, ἔχων συναγωνιζόμενον Ἀρτάβασδον Ἀρμένιον στρατηγὸν Ἀρμενιακῶν, ᾧ δοῦναι συνέθετο καὶ τὴν ἰδίαν θυγατέρα.

etiam Ioannaces vocabatur, ut in Phoenicia lignum et navalia instrumenta Agarenorum combureret. classiarii vero seditione facta imperium regi abrogarunt et Ioannem gladiis obtruncarunt, quo facto seditiosi Cpolim reversi sunt. Atramytium quum venissent, Theodosium, publicorum vectigalium conductorem invenerunt, virum pium et quietum, quem regem salutaverunt, ut neminem imperantem haberent. ille vero quum fuga evasisset et in montibus se abscondisset, inventum vi regem fecerunt, quod quum Artemius audisset, munita urbe Nicaeam aufugit. per 6 menses inter classem Cpolitanam et Theodosianam certamen fuit; Theodosius tandem in Thraciae partes digressus cum magnis copiis urbem aggreditur et per Blachernarum portam, ubi simplex murus, intrat spolians urbem et magistratus; classiarii omnia diripientes neminique parcentes magnam praedam fecerunt. Germanum patriarcham et Artemii magistratus Nicaeam in exilium miserunt. quibus conspectis Artemius securitate promissa monachi habitum induit et a Theodosio Thessalonicam est relegatus. ceterum Leo Isaurus, dux Orientis, pro Artemio pugnans se Theodosio non subiecit, coniunctus cum Artabasdo Armenio Armeniorum duce, cui etiam filiam spoponderat.

Θεοδόσιος ὁ Ἀτραμυτινός.

Θεοδόσιος ἐβασίλευσεν ἔτη δύο. ἐφ' οὗ ὁ Μάσαλμος ὁ ,ϛσλβ' *τῶν Σαρακηνῶν ἀρχηγὸς ἐπεστράτευσε κατὰ Ῥωμαίων· καὶ πρὸς τὰ μέρη τοῦ Ἀμωρίου γενόμενος γράφει πρὸς τὸν Λέοντα στρατηγὸν τῶν Ἀρμενιακῶν "ἡ βασιλεία τῶν Ῥωμαίων σή ἐστιν· ἐλθὲ οὖν καὶ λαλήσωμεν τὰ πρὸς εἰρήνην, καὶ ποιῶ πάντα ὅσα θέλεις." ὁ δὲ πρὸς αὐτὸν ἀποστείλας ὑπάτους καὶ λόγους εἰρήνης ποιησάμενος, καὶ ὡς βασιλεὺς εὐφημισθείς, ἐπὶ Νικομήδειαν ἀνέρχεται μετὰ πλείστου στρατοῦ, ἐν ᾗ τῷ τοῦ Θεοδοσίου υἱῷ περιτυχὼν ἐν πολέμῳ, καὶ τοῦτον χειρωσάμενος μετὰ βασιλικῆς ὑπηρεσίας πάσης καὶ τῶν ἐν τέλει ἐπισήμων τοῦ παλατίου, καταλιμπάνει τὴν Χρυσόπολιν. ὁ δὲ Θεοδόσιος λόγον ἀπαθείας παρ' αὐτοῦ λαβὼν παρεχώρησεν αὐτῷ τὴν βασιλείαν, κληρικὸς σὺν τῷ υἱῷ γενόμενος. ἰστέον δὲ ὅτι οὗτος ὁ Θεοδόσιος ἦν ἐκλήπτωρ τῶν δημοσίων φόρων, εὐσεβὴς δὲ καὶ ἀπράγμων.*

Λέων ὁ Ἴσαυρος ὁ Σύρος, ὁ καὶ Κόνων, ὁ εἰκονομάχος.

Λέων ὁ Ἴσαυρος ἐβασίλευσεν ἔτη εἰκοσιτέσσαρα. ἔχει ,ϛσνϛ' ἰν- *δὲ τὰ κατ' αὐτὸν ὧδέ πη. Ἀράβων ἀρχηγὸς ὑπῆρχεν Ἡζίθ,* δικτ. α' *δύο δέ τινες θεομάχοι Ἑβραίων παῖδες, ὡς δῆθεν ἀστρολογικὴν ἐπιστήμην μεταδιώκοντες, καταλαμβάνουσι τὴν τῶν Ἀρά-*

THEODOSIUS ATRAMYTINUS.

Theodosius duos annos regnavit. sub eo Masalmus Saracenorum dux contra Romanos profectus est et quum prope Amoriam venisset, ad Leonem Armeniorum ducem scripsit "tuum est Romanorum imperium; veni igitur, ut de pace colloquamur, et omnia, quae voles, faciam." ille consules ad eum misit, qui de pace verba facerent, et rex declaratus cum maximo exercitu Nicomediam venit, ubi quum Theodosii filio bello obviam factus esset, eum cepit; ipse autem regio ornatu cum nobilibus palatii Chrytopolin reliquit. Theodosius, promisso securitatis accepto, regnum ei concessit, factus cum filio clericus. fuit autem hic Theodosius tributorum publicorum exceptor, pius et pacis amans.

LEO ISAURUS.

Leo Isaurus 24 annos regnavit. haec fere est eius historia. Arabum dux fuit Hesith; Hebraei quidam deo inimici, tanqnam astrologiam profitentes ad Arabum aulam venerunt et Hesith adierunt longam ei vitam oraculo praedicentes, si simulacra domini nostri Iesu

βων βασιλικὴν αὐλήν, καὶ καταμηνύοντα τῶν Ἡζίθ, καὶ τοῦτον χρησμῳδίαν πολυζωίας μυοῦνται, εἴγε τὴν θεανδρικὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς θεοτόκου μητρὸς ἐκ πάντων τῶν ἐκκλησιῶν τῶν ὑπ' αὐτὸν οὐσῶν ἀπαλείψειεν. καὶ δὴ ὁ φιλόζωος ὑπακούσας τῇ συμβουλῇ τῶν ἀπατεώνων πάσας τὰς ἐκκλησίας τὰς οὔσας ἐν τῇ ἀρχῇ αὐτοῦ διεσάλευσεν. ἀλλ' ἀπατηθεὶς ὁ δείλαιος εὗρεν ἄξια τὰ ἐπίχειρα τῆς ἀνοίας· μετῆλθε γὰρ αὐτὸν ἡ θεία δίκη, οὔπω διελθόντος ἐνὸς ἐνιαυτοῦ. οὗ ὁ υἱὸς διαδεξάμενος τὴν ἡγεμονίαν ὡς ψευδομάντεις αὐτοὺς ἠβουλήθη ἀποκτεῖναι· μαθόντες δὲ οἵτοι ἀνέκαμψαν ἐν τοῖς Ἰσαυρικοῖς μέρεσιν. εἰς πηγὴν δέ τινα ἀναψυχόντων αὐτῶν, ἰδοὺ οὗτος ὁ Λέων νεανίσκος ἔτι ὤν, καλὸς τῷ εἴδει καὶ εὐμήκης τῷ σώματι, βάναυσος τὴν τέχνην, ἐξ αὐτοῦ τὴν ζωὴν ποριζόμενος, τοῖς ὑποζυγίοις περιτιθεὶς φόρτον καὶ ἀπεμπολῶν διέζη πτωχικῶς· καὶ δὴ ἐκ τοῦ ὑποζυγίου τότε φόρτον περιελόμενος ἐκάθισε καὶ αὐτὸς ἐπὶ τῇ πηγῇ ὡς ἀριστήσων. εἶτα οἱ τῶν ἐγγαστριμύθων μύσται μυούνται αὐτὸν τοῦ κατάρξαι τῆς Ῥωμαϊκῆς βασιλείας τῶν σκήπτρων· καὶ τοῦ Λέοντος ἀναβαλλομένου, ἐπὶ τῇ εὐτελείᾳ αὐτοῦ ἀφορῶντος, ὅρκοις πληροφορεῖται ὑπὸ τῶν ἀθέων ὅτι ταῦτα οὕτως ἔχει γενέσθαι. καὶ δὴ αἰτούνιων αὐτῶν ὁμόσαι αὐτοῖς ἵνα εἰ ἄρα εἰς πέρας ἔλθοι τοῦτο, εἴ τι ἂν αἰτηθῇ παρ' αὐτῶν, ἀνυπερθέτως δώσει αὐτοῖς· ἦν δὲ πλησίον ναὸς τοῦ ἁγίου Θεοδώρου, καὶ εἰσελθὼν εὐθὺς ὁ βάναυσος

4. αὐτοῦ C 8. αὐτοῦ C 17. οἱ om C.

Christi et divinae matris ex omnibus ecclesiis quae sub eius ditione essent extrusisset. atque ille vitae amans, virorum fraudulentorum consilio obsecutus omnes suae ditionis ecclesias delevit; sed falsus miser meritam vesaniae poenam dedit; accessit eum enim ultio divina anno nondum exacto. eius filius quum ei successisset, ut falsos vates eos interfecturus erat; quod quum illi comperissent in Isauros aufugerunt. quondam quum hi prope fontem quietem sumerent, supervenit Leo, etiamtum adolescens formosus ac procero corpore, qui sordida arte sustentabat vitam et mercibus iumentis impositis venditisque misere victum quaerebat; tum iumentum onere levavit prandendi causa et ipse ad fontem consedit. huic illi genio vaticinium suggerente praedicunt, fore ut Romanorum imperio potiatur et non credenti illi et paupertatem respicienti iuramentis persuaserunt athei, ita esse futurum. tum iuri iurando eum adigunt, si ad eum finem pervenerit, sese statim facturum quod eum postulaturi essent. prope erat St. Theodori templum; in id ingressus Leo sanctos

Λέων, τῶν ἱερῶν καγκέλων τοῦ θυσιαστηρίου ἁψάμενος, δέδωκεν ἐγγυητὴν τὸν μεγαλομάρτυρα τοῦ Χριστοῦ, ἑστώτων τῶν Ἰουδαίων ἐκτὸς τῶν πυλῶν τοῦ ναοῦ, καὶ δεχομένων τὸν ὅρκον παρ' αὐτοῦ. καὶ αὖθις ᾤχετο ἕκαστος εἰς τὰ ἴδια. ἦν δὲ τῶν ἀνατολικῶν στρατηγὸς τότε Σισίνιος πατρίκιος· ἐφ' οὗ καὶ Λέων στρατολογηθεὶς ἐν ὀλίγῳ χρόνῳ εἰς προκοπὴν μεγίστην ἀναβιβάζεται, σπαθάριος προχειρισθεὶς ὑπὸ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου. καὶ τὰ ἑσπέρια ἐκπεμφθεὶς καὶ μετὰ μεγάλης νίκης ἀνελθὼν προεχειρίσθη παρὰ Θεοδοσίου στρατηγὸς εἰς ἀνατολήν. τὴν δὲ βασιλείαν αὐτοῦ κρατήσαντος τρόπῳ οἵῳ προείρηται, προσῆλθον οἱ μάντεις οἱ τοῦτον χρησμοδοτήσαντες, καὶ δεξιολαβηθέντες ἀπαιτοῦσι παρ' αὐτοῦ τὴν ὑπόσχεσιν· τοῦ δὲ ἑτοίμως ἐπαγγειλαμένου ἀποδιδόναι αὐτοῖς, εἶπον οἱ θεομάχοι "τοῦτο αἰτούμεθα παρὰ σοῦ, βασιλεῦ, ἵνα τὸν χαρακτῆρα τοῦ Ναζωραίου Χριστοῦ καὶ τῆς μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων ἐκ πάσης ἐκκλησιαστικῆς ἱστορίας ἀπαλείψῃς, καὶ τοῦτο ποιῶν μέλλεις βασιλεύειν ἄχρι χρόνων ἑκατὸν ἐν τῇ γενεᾷ σου." ὁ δὲ ἀλιτήριος, ἀστήρικτος ὢν τῇ πίστει, ἑτοιμότατα τὸ αἰτηθὲν ἐπαγγέλλεται, καὶ πρὸς τοῦτο ἤδη ἐχώρει. ἐτέχθη δὲ τῷ δυσσεβεῖ βασιλεῖ Λέοντι υἱὸς ὀνόματι Κωνσταντῖνος, ὃν ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ ἐν τῷ βαπτίζεσθαι [ὡς] φασιν ἀφοδεῦσαι, δεινὸν καὶ δυσῳδες προσημαίνων τεκμήριον. μεταστειλάμενος γὰρ μετ' οὐ πολὺ Γερμανὸν πατριάρχην ὁ βασιλεὺς ἤρξατο λόγους

13. αὐτοῦ τὴν] αὐτὴν C

cancellos amplexus per Christum iuravit, stantibus extra templum Iudaeis et iusiurandum eius accipientibus. tum quisque sua via perrexit. erat tum in Oriente dux Sisinius patricius, sub quo militans Leo brevi tempore ad summas dignitates provectus est, spatharius factus a Iustiniano Rhinometo. in occidentem missus quum victor redisset, a Theodosio dux est Orientis constitutus. postea quum ea ratione, qua diximus, regno potitus esset, adierunt eum vates qui praedixerant, et promissis ut staret postulaverunt. qui quum se facere velle significasset dixerunt illi: "hoc te poscimus, rex, ut Christi et matris eius et omnium sanctorum nomina ex tota ecclesiastica historia deleas; quod si feceris, 100 annos domus tua regnabit." insanus ille et fluctuans fide libentissime postulata fecit, et ad perficienda se accinxit. natus est impio Leoni filius nomine Constantinus, quem in sancto baptisterio, quum baptizaretur cacasse narrant, quod malum et foedum fuit omen. arcessito paulo post Germano patriarcha illatoque subdole sermone damnare coepit omnes ante se impe-

τινὰς κινεῖν μεθ' ὑπουλείας, καὶ καταγινώσκειν πάντων τῶν πρὸ αὐτοῦ βασιλέων καὶ ἱερέων ὡς εἰδωλολατρησάντων ἐν τῇ προσκυνήσει τῶν ἁγίων εἰκόνων. ὁ δὲ μέγας ἔφη Γερμανός "ἄκουσον, ὦ βασιλεῦ· τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ σαρκὸς ἐπιφανέντος πᾶσα εἰδωλολατρεία ἐκποδὼν γέγονε, καὶ πᾶν ἄγαλμα εἰδωλικὸν ἠφάνισται καὶ ἐξωστράκισται, ὥς φησι Ζαχαρίας ὁ προφήτης ὅτι λέγει κύριος Σαβαώθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι αὐτῶν ἔσται μνεία. πλὴν τὴν καθαίρεσιν τῶν ἱερῶν εἰκόνων μέλλειν ἔσεσθαι ἀκούομεν, ἀλλ' οὐκ ἐπὶ τῆς σῆς βασιλείας." τοῦ δὲ βιασαμένου εἰπεῖν ἐπὶ ποίας βασιλείας, ἔφη "ἐπὶ Κόνωνος." ὁ δὲ ἀποκριθεὶς ἔφη "ὄντως ἐγώ εἰμι, καὶ οὕτως παιδόθην ἐκλήθην." καὶ ὁ μέγας Γερμανὸς ὑπολαβὼν ἔφη "μὴ γένοιτο, δέσποτα, ἐπὶ τῆς σῆς βασιλείας πραχθῆναι τὸ θεοστυγὲς τοῦτο κακόν." ὁ δὲ θεομάχος τύραννος τοῦτο ἀκούσας, καὶ ὡς ἀνήμερος θὴρ βρύξας καὶ σφόδρα χαλεπήνας, εἰδωλολάτρην τε ἀποκαλέσας καὶ ταῖς ἰδίαις χερσὶ ῥαπίσας τῶν βασιλείων ἐξελαύνει, καὶ ἐξουσιαστικῶς τε καὶ ὑσσεβῶς τῆς αἱρέσεως ἀπάρχεται. καὶ τὴν ἐπὶ τῆς χαλκῆς πύλης εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατεάξας, καὶ σελέντιον κατὰ τῶν ἁγίων εἰκόνων ποιήσας, προσκαλεῖται πάλιν τὸν ἅγιον Γερμανὸν καὶ τίμιον, οἰόμενος πεῖσαι αὐτὸν ὑπογράψαι κατὰ τῶν ἁγίων εἰκόνων. ὁ δὲ οὐδ' ὅλως εἶξε τῇ θωπείᾳ ἢ τῇ ἀπειλῇ τοῦ τυράννου, ἀλλὰ θεὶς τὸ ὠμόφορον ἐν τῇ ἁγίᾳ

ratores et sacerdotes, quod illi in sacrarum imaginum adoratione idola sectati essent; ad haec magnus Germanus "audi," inquit, "rex, domino nostro Iesu Christo in carne exhibito, omnis idolorum cultus abolitus est, omnisque impia imago sublata est et explosa, quemadmodum Zacharias propheta praedixit dicens: sic ait dominus Sabaoth, exstinguam e terra nomina idolorum, neque erit eorum ulla memoria, sed sacras quoque imagines audivimus delectum iri, non vero te imperante." tum coactus sub cuius imperio id esset futurum dicere, "Cononem nominavit," ad quod ille "omnino is ego sum, Conon enim a puero sum dictus;" Germanus autem, "ne fiat," inquit, "ut te imperante hoc invisum deo facinus perpetretur." sed tyrannus deo adversus auditis his verbis graviter indignatus ferocis bestiae instar rugiit et Germanum simulacricolam appellans, suis manibus eum verberavit et e regia exturbavit. tum tyranni in modum et impie haeresin sectari coepit fracto Christi simulacro supra porta aenea collocato et facto contra sacras imagines adiecto, iterum sanctum et venerabilem Germanum arcessivit, sperans se ei ut subscriberet per-

τραπέζῃ τῆς μεγάλης ἐκκλησίας ἀνετάξατο τῇ ἱερωσύνῃ καὶ ὑπεχώρησεν. ὁ δὲ θεομάχος ἀντ' αὐτοῦ χειροτονεῖ Ἀναστάσιον πρεσβύτερον, συνθέμενον τῇ ἀσεβεῖ αὐτοῦ βουλῇ, πᾶσάν τε εἰκόνα τοῦ σωτῆρος ἡμῶν καὶ τῆς θεοτόκου μητρὸς καὶ τῶν ἁγίων κατέστρεψε καὶ κατέκαυσε, καὶ διωγμὸν μέγαν ἐγείρας πολλοὺς ἱερεῖς καὶ μονάζοντας· καὶ λαϊκοὺς διαφόροις τιμωρίαις καὶ θανάτοις παρέδωκε. πλησίον δὲ τῶν χαλκοπρατείων παλάτιον ἦν σεμνόν, ἐν ᾧ ὑπῆρχε κατὰ τύπον ἀρχαῖον οἰκουμενικὸς διδάσκαλος, ἔχων συλλήπτορας ἄνδρας τῶν ἐν τέλει τὸν ἀριθμὸν δώδεκα, πᾶσαν ἐπιστήμην μετερχομένους καὶ τὰ ἐκκλησιαστικὰ κρατύνοντας δόγματα, βασιλικάς τε διαίτας καὶ βίβλους ἔχοντας ὡσαύτως· ὧν οἱ βασιλεῖς ἄνευ βουλὴν ἢ γνώμην οὐκ ἐθέσπιζον. τούτους ὁ δυσώνυμος θὴρ προσκαλεσάμενος ἐπειρᾶτο πείθειν· τῶν δὲ μὴ κατα-
δεξαμένων ἀλλ' ἐλεγξάντων αὐτόν, προσέταξεν ἐνεχθῆναι πλῆθος ξύλων, καὶ τούτων ὑπαφθέντων κατακαῆναι τοὺς ἄνδρας σὺν τοῖς οἰκήμασι καὶ βιβλίοις καὶ τοῖς λοιποῖς αὐτῶν πᾶσι.

Διὰ ταῦτα ὁ πρόεδρος Ῥώμης ἀφηνίασε, καὶ πρὸς τὸν Φράγγον σπονδὴν εἰρηνικὴν ποιησάμενος τούς τε φόρους ἐκώλυσε καὶ Ἀναστάσιον καὶ τοὺς σὺν αὐτῷ ἀνεθεμάτισεν. ὁ δὲ τῶν Σαρακηνῶν ἡγούμενος Μάσαλμας ἐξεδέχετο τὰς τοῦ Λέοντος ὑποσχέσεις· μηδὲν δὲ παρὰ Λέοντος δεξάμενος, καὶ

10. ἀρχαῖος C 15. ἐνεχθῆ C

suasurum. sed Germanus nequaquam neque adulationi neque minis tyranni cessit sed humerale in sacra mensa magnae ecclesiae deponens, resignavit munus suum atque recessit. deo invisus pro eo creato. Anastasio presbytero, impii consilii socio omnia domini nostri, sanctae matris sanctorumque simulacra comminuit et combussit et magna persecutione facta multos sacerdotes, monachos et laicos variis poenis et suppliciis mulctavit. prope forum aerarium palatium fuit, in quo antiquo more oecumenicus magister cum 12 contubernalibus viris degebat omni eruditione et ecclesiastica doctrina excellentibus, qui a rege alebantur et libris regiis utebantur, et quorum sine consilio et sententia nihil reges imperabant. iis nefanda bestia arcessitis persuadere conatus est, sed resistentibus et refutantibus iussit ligna afferri iisque accensis viros cum domiciliis et libris et aliis rebus omnibus comburi.

Hanc ob rem pontifex Romanus defecit et cum Francis coniunctus tributum negavit se daturum, Anastasium praeterea cum sociis excommunicavit. Masalmas, Saracenorum dux fidem Leontis accepit; sed nihil reddente Leonte quum lusum se ab eo videret, contra prin-

γνοὺς ὅτι ἐνεπαίχθη ὑπ' αὐτοῦ, ἐπὶ τὴν βασιλεύουσαν πόλιν ἐκίνησε, καὶ τὴν Ἄβυδον καταλαβὼν καὶ ἀντιπεράσας λαὸν πλεῖστον γράφει πρὸς Σουλεϊμᾶν τὸν πρωτοσύμβουλον ἐλθεῖν ἐν τάχει μετὰ στόλου, καὶ τῷ Αὐγούστῳ μηνὶ περικαθίσας τὴν πόλιν καὶ τὸ χερσαῖον τεῖχος περιχαρακώσας ἐλυμαίνετο σφόδρα τὰ Θρᾳκῶα μέρη. τῇ δὲ πρώτῃ τοῦ Σεπτεμβρίου ἀνέβαλεν ὁ Σουλεϊμᾶν ἔχων εὐμεγέθεις ναῦς τριήρεις καὶ δρόμωνας χιλίους ὀκτακοσίους· ὁ δὲ βασιλεὺς τὸν στόλον κατ' αὐτῶν ἐκπέμψας καὶ τὰς ταχείας ναῦς μετὰ ὑγροῦ πυρός πυριαλώτους ἐποίησε τὰς πλείω καὶ φοβερὰς ναῦς ἐκείνας· καὶ αἱ μὲν εἰς τὰ παράλια τείχη πυρπολούμεναι προσερρίφησαν, αἱ δὲ εἰς τὸν βυθὸν αὐτανδροι κατεποντίσθησαν, ἕτεραι δὲ μέχρι τῆς Ὀξείας καὶ τῶν λοιπῶν νήσων ἀπηνέχθησαν καταφλεγόμεναι. ἐντεῦθεν οἱ τῆς πόλεως θάρσος ἔλαβον, τῶν πολεμίων μεγάλως καταπτωθέντων. παραχειμάσασι δὲ τῇ πόλει τῷ ἐαρινῷ καιρῷ λοιμικὴ νόσος αὐτοῖς ἐνσκήψασα μετὰ λιμοῦ πλῆθος ἀναρίθμητον ἐξ αὐτῶν διέφθειρεν· ἐξ ὧν οἱ περιλειφθέντες πόλεμον ἐν τῇ Θρᾴκῃ μετὰ Βουλγάρων συνάψαντες ἀνῃρέθησαν πλείονες. τῇ δὲ πεντεκαιδεκάτῃ τοῦ Αὐγούστου μηνὸς ἐκ τῆς πόλεως ἀπάραντες, ἀνέμου σφοδροτάτου πνεύσαντος, οἱ μὲν ἐν τῇ Προικονήσῳ καὶ ταῖς ἄλλαις ἀκταῖς ἀπώλοντο, οἱ δὲ ἐξαβυδίσαντες ἀθρόως ἐπελθόντος νέφους χαλάζης ὀλέθρου μετὰ βιαίου ἀνέμου ὑποβρύχιοι πάντες ἐγένοντο· διεσώθησαν δὲ παραδόξως ἐκ τῶν ᾱω' πέντε καὶ μόνα πλοῖα, ἃ καὶ ἀπήγγειλαν εἰς τὰ ἴδια

cipem urbem profectus est. Abydo occupato et maxima exercitus parte traiecta ad Solyman, primum consultorem litteras dedit ut celeriter cum exercitu veniret. Augusto mense urbem oppugnavit et chersaea moenibus vallo circumditis Thraciam partem admodum laesit. primo die Septembris Solyman advenit cum ingentibus triremibus et celocibus 1800. rex vero missa contra hos classi et celeribus cum aquatili igni navibus, illorum naves maiores et terribiles incendit, quarum aliae igni deletae maritimo muro adactae sunt, aliae cum hominibus submersae, reliquae usque ad Oxiam et reliquas insulas flagrantes sunt latae. hinc oppidanis animus crevit, hostibus magnopere afflictis. qui quum circum urbem hiemassent vere morbus pestilens eos invasit cum fame coniunctus et innumeros eorum attrivit; reliqui Bulgaris bello se adiunxerunt, sed maximam partem occisi sunt. 15 die Augusti ab urbe navigantes spirante fortissimo vento alii ad Praeconesum aliaque litora interierunt, alii grandini super-

τὴν τε Ῥωμαίων νίκην καὶ τὴν ἑαυτῶν πανώλεθρον κατάπτωσιν.

Σέργιος δὲ στρατηγὸς Σικελίας ἀκούσας ὅτι οἱ Ἀγαρηνοὶ ἐκπορθοῦσι τὴν πόλιν, ἔστεψε βασιλέα ἐκ τῶν ἀνθρώπων αὐτοῦ ὀνόματι Βασίλειον, ᾧ ἐπώνυμον Ὀνομάγουλος, ποιήσας καὶ προβολὰς ἀρχόντων. ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας ἀπέστειλεν ἐκεῖσε Παῦλον μετὰ κελεύσεων καὶ στόλου. μαθόντες οὖν οἱ Σικελιῶται ὅτι κατετροπώθησαν οἱ Σαρακηνοὶ καὶ Λέων βασιλεύει, τόν τε Βασίλειον καὶ τοὺς λοιποὺς ἄρχοντας παραδεδώκωσι τῷ Παύλῳ, καὶ πάντας ὁμοῦ ἐπὶ τὸ αὐτὸ ἀπεκεφάλισεν ὡς ἀντάρτας. Νικήτας δὲ ὁ πατρίκιος ὁ Ξυλινίτης μετὰ καὶ ἑτέρων πατρικίων τὸν Τέρβελιν διὰ γραμμάτων καὶ πολλῶν δώρων καὶ χρημάτων δεξιωσάμενοι παρώρμησαν ἐλθεῖν κατὰ Λέοντος· οὓς τινες τῶν Βουλγάρων προδεδώκασι καταμηνύσαντες τῷ βασιλεῖ, καὶ πάντας ἐν φόνῳ μαχαίρας ἀνεῖλεν.

Ἔστεψε δὲ Κωνσταντῖνον υἱὸν αὐτοῦ ὁ αὐτὸς Λέων ἐν τῷ τριβουναλίῳ τῶν δεκαεννέα ἀκουβίτων. ἐβάπτισε δὲ ἀναγκαστῶς καὶ τοὺς Ἑβραίους, ὥστε λέγεσθαι ἔκτοτε τοὺς Ἑβραίους καὶ Μοντάνους. Ἰωάννην τε τὸν Δαμασκηνόν, ὃν Χρυσορρόαν ἐκάλουν διὰ τὴν ἐνυπάρχουσαν αὐτῷ σοφίαν, ἐξορίσας Μανσοὺρ ἐπωνόμασεν, ὃ ἔστι βλάσφημον. ἐνυμφεύσατο δὲ εἰς τὸν υἱὸν Κωνσταντῖνον τὴν θυγατέρα τοῦ χαγάνου τοῦ Σκυθῶν δυνάστου,

veniente et ingenti vento omnes aqua sunt obtecti. praeter opinionem de 1800 navibus 5 tantum sunt servatae, quae Romanorum victoriam suamque cladem renunciarunt.

Sergius autem, dux Siciliae, quum Agarenos audiisset urbem delevisse, hominem quendam e suis, Basilium, cui Onomaguli cognomen, regem coronavit, et magistratus elegit. his compertis rex Paulum cum iussis et exercitu eo misit. Siculi autem, ubi Saracenos fugisse audiverunt et regnare Leontem, Basilium et reliquos magistratus Paulo tradiderunt, qui omnibus ut defectoribus capita abscidit. Nicetas patricius Xylinites cum aliis patriciis Terbelin literis, donis et auro hortati sunt contra Leontem surgere et proficisci; eos e Bulgaris quidam indicarunt et tradiderunt, eosque gladio interemit.

Constantinum filium Leo in tribunali 19 acubitorum coronavit. idem Hebraeos vi baptizavit, ut inde Hebraei dicerentur Montani. Ioannem Damascenum, quem Chrysorroam propter sapientiam appellabant, relegavit Masur eum dicens, quod est dei convîciator. Constantino filio Chagani, Scytharum principis, filiam in matrimonium dedit, Christianam eam faciens et Irenen nominans; quae quum sacram do-

γυναικῶν διενήνοχεν." ὦ τῆς βλασφημίας. φεῖσαι ἡμῶν, κύριε.

Ἐκ τούτων οὐ μικρά τις ἀθυμία τοὺς Χριστιανοὺς κατέλαβεν, ὥστε πάντας μισῆσαι αὐτὸν καὶ Ἀρταβάσδῳ κουροπαλάτῃ καὶ γαμβρῷ ἐπ' ἀδελφῇ αὐτοῦ προστεθῆναι. ἐξελθὼν γὰρ Κωνσταντῖνος ἐν τοῖς μέρεσι τοῦ Ὀψικίου κατὰ Ἀράβων, Ἀρταβάσδου μετ' αὐτοῦ ὄντος, ὑπεβλέποντο ἀλλήλους, καὶ συμβολῆς γενομένης μετ' ἀλλήλων, καὶ τοῦ Βισὴρ τοῦ καὶ συμμύστου Κωνσταντίνου σιραγέντος παρὰ Ἀρταβάσδου, Κωνσταντῖνος φοβηθεὶς ἔφυγεν εἰς τὸ Ἀμόριον. ἐντεῦθεν μάχαι μεταξὺ αὐτῶν γεγόνασι δεινόταται. Ἀρτάβασδος δὲ Θεοφάνην μάγιστρον, φίλον αὐτοῦ ὄντα καὶ τότε ἐκπροσωποῦντα ἐν τῇ πόλει, ἔγραψε δέξασθαι αὐτόν. καὶ δεχθεὶς ὑπὸ τῶν θεμάτων ἀνηγορεύθη βασιλεύς. εἰσελθὼν δὲ ἐν τῇ πόλει, πᾶς ὁ λαὸς σὺν τῷ ψευδωνύμῳ πατριάρχῃ Ἀναστασίῳ ἀνεθεμάτισαν Κωνσταντῖνον, Ἀρτάβασδον δὲ ὡς ὀρθόδοξον βασιλέα ἀνεκήρυξαν. καταλαβὼν δὲ Κωνσταντῖνος ἐν Χρυσοπόλει μετὰ λαοῦ, καὶ μηδὲν ἀνύσας, ὑπέστρεψε πάλιν εἰς τὸ Ἀμόριον. ὁ δὲ Ἀρτάβασδος τὰς ἱερὰς εἰκόνας πανταχοῦ ἀνεστήλωσε, καὶ τὸν πρὶν αὐτῆς κόσμον ἡ ἐκκλησία ἀπέλαβεν. Ἀναστάσιος δὲ ὁ πατριάρχης κρατήσας τὰ τίμια ξύλα ὤμοσεν ἐν τῷ ἄμβωνι ἑστὼς ὅτι μὰ τὸν προσηλωθέντα ἐν τούτοις, οὕτως μοι εἶπεν Κωνσταντῖνος ὁ βασιλεύς, ὅτι μὴ λογίσῃ υἱὸν θεοῦ εἶναι τὸν Χριστόν, ὃν ἔτεκεν ἡ Μαρία, εἰ μὴ ψιλὸν ἄν-

reliquis mulieribus praestantior fuit." quam impie dictum! parce nobis domine!

Inde non exiguus pavor Christianos invasit, ita ut omnes eum odissent et Artabasdo curopalatae, sororis eius marito sese adiungerent. Constantino enim in regionem Opsicianam profectus contra Arabes et praesente Artabasdo alter alterum suspiciebat et consertis manibus interfecto ab Artabasdo Biser, Constantini sacrorum socio, Constantinus perterritus Amorium confugit. hinc pugnae inter eos factae sunt gravissimae. Artabasdus Theophani magistro, amico suo et tum in urbe vicario scripsit ut sese exciperet. a legionibus exceptus rex est declaratus. urbem quum esset ingressus, omnis populus cum Anastasio, falso nomine patriarcha, Constantinum excommunicarunt, Artabasdum orthodoxum regem appellarunt. Constantinus cum exercitu Chrysopolin profectus infecta re Amorium rediit. Artabasdus sancta simulacra ubique erexit, et ecclesia pristinum ornatum recuperavit. Anastasius patriarcha, lignis sanctis in manus sumptis stans in ambone iuravit per eum, qui affixus est, dixisse Constantinum, non se credere dei filium esse Christum, Mariae filium, sed vulgarem hominem, sic

θρωπον, ὥς ἔτεκεν ἐμὲ ἡ μήτηρ μου Μαρία. καὶ τοῦτο ἀκούσαντες οἱ λαοὶ ἀνεθεμάτισαν αὐτόν· ὁ δὲ Ἀρτάβασδος ἐξελθὼν ἐστρατολόγει. Κωνσταντῖνος δὲ τοῦτο μαθὼν ἐκίνησε κατ' αὐτοῦ, καὶ συμβαλὼν μετ' αὐτοῦ πόλεμον τρέπει αὐτόν, καὶ καταλαβὼν τὴν Κύζικον ἐκεῖθεν ἐν τῇ πόλει διασώζεται. ὁ δὲ Κωνσταντῖνος ἐν Χαλκηδόνι ἐλθὼν ἀντεπέρασεν ἐν τοῖς Θρᾳκώοις μέρεσι, καὶ τῷ χερσαίῳ τείχει παρακαθίσας διέδραμεν ἕως τῆς χρυσῆς πόρτης, ἐπιδεικνύων ἑαυτὸν τοῖς ὄχλοις. ὁ δὲ Ἀρτάβασδος ἀνοίξας τὰς πύρτας καὶ συμβαλὼν πάλιν πόλεμον ἠττήθη κατὰ κράτος. τοῦ δὲ Κωνσταντίνου τὰ πλοῖα κρατήσαντος ἐγένετο λιμὸς ἰσχυρὸς ἐν τῇ πόλει, ὥστε πραθῆναι τὸν μόδιον τῆς κριθῆς νομισμάτων δώδεκα καὶ τὰ λοιπὰ ὁμοίως. τοῦ δὲ λαοῦ θνήσκοντος καὶ ἀπολλυμένου ἠναγκάσθη Ἀρτάβασδος ἀπολύειν καὶ ἐξέρχεσθαι αὐτοὺς ἐκ τῆς πόλεως. νικήσας δὲ ὁ υἱὸς Ἀρταβάσδου, ἐπισυνάξας λαὸν ἱκανόν, ἦλθεν ἕως τῆς Χρυσουπόλεως· καὶ περάσας ὁ βασιλεὺς ἐδίωξεν αὐτὸν καὶ καταλαβὼν ἐχειρώσατο, καὶ τοῦτον πεδήσας ἐλθὼν διὰ τοῦ τείχους τῷ πατρὶ ἐπεδείκνυεν. ἄφνω δὲ παραταξάμενος διὰ τοῦ χερσαίου τείχους τὴν πόλιν παρέλαβε. καὶ χειρωσάμενος Ἀρτάβασδον σὺν τοῖς δυσὶν υἱοῖς καὶ τὸν πατρίκιον Βακουάγιον, τὸν μὲν Ἀρτάβασδον σὺν τοῖς δυσὶν υἱοῖς αὐτοῦ ἐτύφλωσε, τοῦ δὲ Βακταγίου χεῖρας καὶ πόδας κόψας ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισε· πολλοὺς δὲ καὶ ἄλλους τῶν προυχόντων ἀνεῖλε, καὶ τὰς οὐσίας αὐτῶν

ut ipsum Maria mater peperit. quod quum populus audivisset eum excommunicavit; Artabasdus autem contra eum profectus est. hoc audito Constantinus ei obviam ivit et commissa pugna eum fugavit, Cycicum cepit et inde in urbem salvus pervenit. Constantinus Chalcedonem venit, in Thraciam traiecit et terrestria moenia obsidens usque ad auream portam penetravit, seque populo monstravit. Artabasdus ex urbe egressus iterum manum conseruit, sed graviter est victus. quum Constantinus naves cepisset, annonae caritas in urbe exstitit tanta, ut hordei modius 12 nummis venderetur, et similiter reliqua. iam quum morerentur incolae coactus est Artabasdus eos allevare et ex urbe dimittere. victor Artabasdus filius idoneo exercitu coacto usque ad Chrysopolin progressus est. rex traiecto mari eum fugavit cepitque et vinctum patri trans murum monstravit. subito impetu contra terrestria moenia facto urbem expugnavit; Artabasdum cum duobus filiis cepit et Bactagium patricium; Artabasdum cum duobus filiis caecavit, Bactagio praecisis manibus et pedibus in amphitheatro caput abscidit; multos praeterea nobiles interfecit eorumque bona publicavit. Artabasdum equo impositum cum filiis et

ἐδήμευσε. ἱππικὸν δὲ ποιήσας ἀπήγαγε τὸν Ἀρτάβασδον σὺν τοῖς υἱοῖς αὐτοῦ, ἅμα τῷ πατριάρχῃ Ἀναστασίῳ καὶ τοῖς φίλοις αὐτοῦ, τοῦ πατριάρχου ἐπὶ ὄνου ἀντιστρόφως καθεζομένου καὶ πομπευομένου. οὗτος γὰρ περιπατῶν ποτὲ ὄπισθε Γερμανοῦ τοῦ πατριάρχου σύγκελλος ὢν ἐπάτησε τὸ ὠμοφόριον αὐτοῦ· ὁ δὲ ἐπιστραφεὶς ἔφη αὐτῷ "μὴ σπεῦδε· τὸ Διίππιον ἐκδέχεταί σε." πάλιν δὲ Κωνσταντῖνος ὡς ὀμόφρονα αὐτοῦ ὄντα, ἐν τούτοις ἐκφοβήσας, ἐν τῷ θρόνῳ τῆς ἱερωσύνης καθίστησιν. ἐφ' οὗ ἤρξατο ἀθρόον καὶ ἀοράτως σημεῖα ἔν τε ἱματίοις τῶν ἀνθρώπων γίνεσθαι καὶ εἰς τὰ τῶν ἐκκλησιῶν ἱερὰ ἐνδύματα, σταυροὶ ἐλαιώδεις πλεῖστοι, καὶ οὕτως κατέλαβεν ἡ θεομηνία τοῦ βουβῶνος λοιμικὴ νόσος, οὐ μόνον τοὺς ἐν τῇ πόλει ἀλλὰ καὶ τοὺς ἐν τοῖς περιχώροις αὐτῆς δεινῶς ὀλοθρεύουσα. καὶ πρὸς τούτοις ἐγίνοντο καὶ φαντασίαι τινὲς εἰς πολλοὺς τῶν ἀνθρώπων καὶ δείματά τινα ἐξαίσια, ἃ οἱ ὁρῶντες ἐτελεύτων, ὥστε καὶ ὁλοκλήρους οἴκους κλεισθῆναι παντελῶς καὶ μὴ εἶναι τοὺς ὀφείλοντας θάπτειν τοὺς νεκρούς. παντὸς δὲ οἴκου διαφθαρέντος διὰ τὴν ἀσέβειαν τοῦ τυράννου, πάντα τὸν πλοῦτον τῆς πόλεως τῶν οἰκητόρων εἰσκομίσας ἐν τῷ παλατίῳ ἀπέθετο. ἔφθασε δὲ καὶ ἡ ὀργὴ εἰς Ἀναστάσιον τὸν ἀνίερον, καὶ οἰκτίστῳ πάθει τῷ λεγομένῳ χορδαψῷ καταλύει τὸν βίον.

Ὁ δέ γε τύραννος τῶν Σαρακηνῶν κατ' ἀλλήλων μαχομένων ἀκούσας ἐκστρατεύει πρὸς τὰ μέρη τῆς Συρίας, καὶ

Anastasio patriarcha amicisque eius abduxit, patriarcha in asino perverse sedente et irriso; hic enim, cum esset syncellus, post Germanum patriarcham quondam incedens, pallium eius proculcaverat; ille vero sese converteus "noli," inquit, "festinare; Diippium te exspectat." sed iterum Constantinus eum secum consentientem et his rebus perterrefactum episcopum fecit. sub eo subito signa in vestibus hominum existere coeperunt visu non observante atque in ecclesiasticis sacris vestimentis oleaceae cruces plurimae, et ita dei ira invasit, inguinis morbo non solum urbis incolas, sed etiam circumiacentis regionis male perdente; multis hominibus etiam visa oblata sunt et terriculamenta fatalia, quibus adspectis moriebantur, ita ut totae domus plane clauderentur et deessent, qui mortuos sepelirent; familia autem omni exstincta per tyranni impietatem omnes incolarum divitias in palatium congessit. assecuta est etiam Anastasium impium dei ira, quippe qui foedissimo morbo, quem chordapsum dicunt, vitam finivit.

Saracenorum tyrannus comperto domestico tumultu in Syriam et

τὴν Γερμανίκειαν παρέλαβε καὶ Θεοδοσιούπολιν καὶ Μελιτηνήν, αἰχμαλωτίσας πάντας τοὺς ἐκεῖσε. διὰ δὲ τὴν τοιαύτην πρόφασιν τοῦ θανατικοῦ προσλαβόμενος τοὺς συγγενεῖς αὐτοῦ Ἀρμενίους τε καὶ Σύρους αἱρετικοὺς εἰς τε τὸ Βυζάντιον μετώκισε καὶ ἐν τῇ Θρᾴκῃ, οἳ μέχρι τοῦ νῦν τὴν αἵρεσιν τοῦ τυράννου διακρατοῦσιν. ἐτέχθη δὲ τότε τῷ βασιλεῖ Κωνσταντίνῳ υἱὸς ἐκ τῆς χαγάνου τῆς Χαζάρας θυγατρός, ὃν ἐπωνόμασε Λέοντα. ἐπαρθεὶς δὲ τῷ φρονήματι διὰ τὴν παρ' αὐτοῦ γενομένην νίκην σύνοδον ἀθροίζει κατὰ τῶν ἁγίων εἰκόνων ἐν Βλαχέρναις, καὶ ἀνελθὼν ἀθέσμως ἐν τῷ ἄμβωνι, χειροκρατῶν ἐπίσκοπον τοῦ Συλαίου, ἐξεφώνησαν οὕτως "Κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη." ἐν ᾗ συνόδῳ πολλὰ κατὰ τοῦ κυρίου κενολογήσαντες οἱ ἱερεῖς τῆς αἰσχύνης, καὶ τὰς μιαρὰς χεῖρας εἰς ὕψος ἄραντες, ἔρρηξαν τὴν ἐλεεινὴν ἐκείνην φωνὴν λέγοντες "σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι σὺ βασιλεῦ ἐλυτρώσω ἡμᾶς ἐκ τῶν εἰδώλων."

Ταῦτα ἐπράξαντο οἱ ἀνίεροι καὶ χριστέμποροι. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ἀνάξια εἰς τὸν χειροτονηθέντα ὑπ' αὐτοῦ πατριάρχην διεπράξαντο ἔργα. μαθὼν γὰρ ὁ ἀλάστωρ ὅτι ὁ πατριάρχης πολλοὺς ἐπληροφόρησεν εἰπεῖν τὸν βασιλέα πρὸς αὐτὸν ὅτι οὐκ ἔστι θεὸς ὁ Χριστός, διὰ τοῦτο οὔτε τὴν μητέρα αὐτοῦ ἔχω θεοτόκον, ἐξεμάνη κατ' αὐτοῦ ὡς τὸ μυστήριον αὐτοῦ θριαμβεύσαντα, καὶ ἐπιθεὶς αὐτῷ πολλὰς πληγὰς ἐθριάμβευσεν αὐτὸν ἐπὶ λαοῦ καὶ ἱπποδρομίας ἐμπτυόμενον

Germaniciam invasit, Theodosiopolin et Melitenam occupavit et omnes incolas cepit. imperator morbum causam proferens Armenios et Syros haereticos, sibi cognatos, Byzantium traduxit et in Thraciam, ubi nunc etiam tyranni haeresin exercent. natus est eo tempore regi filius ex chagani Chasarae filia, quem Leonem vocavit. efflatus autem victoria animo synodum in Blachernis habuit contra sancta simulacra, et contra legem in ambonem ascendit Sylaci episcopum manu tenens et dicens "multa sint anni Constantini oecumenici episcopi." in synodo multa contra dominum vana dixerunt nefandi illi sacerdotes et impuras manus ad coelum tollentes futilia verba dixerunt "hodie salus mundo, quoniam tu rex idolis nos liberasti."

Haec impii illi agitaverunt. neque multo post indigna in patriarchum ab ipso electum edidit facinora. nam quum sceleratus ille comperissit, multis persuasisse patriarcham, regem negasse Christum deum esse neque propterea matrem eius habendam deiparam; contra eum furuit ut secreti proditorem, et multis verberibus ei inflictis consputum eum et raptum pompa per populum et circum duxit. deinde

γὰρ καὶ τήμερον κατὰ τὸν Ἀχελῶον κῶλα τῶν ἀνῃρημένων σαφῶς ὑποδεικνύουσι τὴν ἧτταν.

Οὗτος ὁ θεομισὴς πολλῶν ἁγίων λείψανα κατέκαυσεν, ἄλλα καὶ τῇ θαλάσσῃ παρέδωκε. διὸ καὶ τῆς ἁγίας Εὐφημίας τὸ λείψανον μὴ φέρων ὁρᾶν μύρον ἀναβλύζον, σὺν τῇ λάρνακι τιῷ βυθῷ παρέπεμψεν· ὅπερ ἐν τῇ νήσῳ τῇ Λήμνῳ σῶον διασωθὲν παρὰ τῶν οἰκητόρων ἐδέχθη ἐκ θείας ἀποκαλύψεως· τὸν δὲ ναὸν τῆς ἁγίας καὶ πανευφήμου ἁρμάμεντον καὶ κοπροθέσιον ἐποίησεν. ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης τὸ αὐτὸ λείψανον τῆς πανευφήμου πάλιν μετὰ τιμῆς πολλῆς ἀνεκομίσθη ἐν τῇ πόλει.

Οὗτος τῶν υἱῶν αὐτοῦ τοὺς μὲν δύο προεβάλετο Καίσαρας, Νικηφόρον καὶ Χριστοφόρον, τὸν δὲ Νικήταν νουβελίσιμον. εἰσελθούσης δὲ τῆς Εἰρήνης ἐξ Ἀθηνῶν ἐν τῇ βασιλευούσῃ πόλει μετὰ δρομώνων, ἔζευξεν αὐτὴν Λέοντι τῷ υἱῷ αὐτοῦ, στέψας αὐτοὺς ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τῷ τῆς βασιλείας καὶ τῷ τοῦ γάμου. ἔσχε δὲ δεξιωσάμενος φίλους κρυπτοὺς ἐν Βουλγαρίᾳ, οἳ κατεμήνυον αὐτῷ ἅπαντα τὰ τῷ ἄρχοντι αὐτῷ βουλευόμενα· οἳ δηλοῦσι τῷ βασιλεῖ ὅτι ἀποστέλλει ὁ κῦρις Βούλγαρος λαὸν πρὸς τὸ αἰχμαλωτίσαι τὴν Βερζητίαν. ὁ δὲ βασιλεὺς σχηματισάμενος κατὰ Ἀράβων κινεῖν, ἀποστείλας τοὺς ἀποκρισιαρίους τοὺς διὰ εἰρήνην παραγενομένους ἐπὶ Βουλγαρίαν, καὶ ἐπισωρεύσας πάντα τὸν στρατὸν ἅμα τοῖς τάγμασιν, ἐπέπεσε τοῖς Βουλγάροις

ignominia rediit. etiam hodie circa Acheloum exstinctorum membra clades perspicue testantur.

Hic deo invisus multorum sanctorum reliquias combussit vel etiam mari tradidit. propterea St. Euphemiae reliquias, quod myrrham provenientem videre noluit, cum arca in undas demisit; quae reliquiae in Lemno insula integrae pervenerunt et ab incolis ex divina apocalypsi sunt acceptae. aedem sanctae et illustris armamentarium et stercorarium locum fecit. sub Constantino et Irene eae ipsae sanctae reliquiae honorificentissime in urbem relatae sunt.

Hic duos filiorum Nicephorum et Christophorum Caesares fecit et Nicetam nobilissimum. advectam celocibus Irenen Athenis in principem urbem Leoni filio in matrimonium dedit easque in St. Stephani ecclesia coronavit. clam in Bulgaria amicos habuit, qui omnia contra se inita consilia sibi renunciarent. ii regem certiorem fecerunt, ducem, Bulgarorum populum emisisse ut Bersetiam caperet. rex vero simulans se contra Arabes proficisci legatos misit de pace cum Bulgaris transacturos et coacto omni exercitu et legionibus Bulgaros

ἀσαλπιγκτί, καὶ τρέψας αὐτοὺς ἐποίησε νῖκος μέγα· καὶ ὑποστρέψας ἐν τῇ πόλει καὶ θριαμβεύσας τεθωρακισμένος τὸν πόλεμον τοῦτον ἐπωνόμασεν εὐγενῆ ὡς μηδενὸς αὐτῷ ἀντιστάντος, μηδὲ σφαγῆς Ῥωμαίων γενομένης.

Ὁ δὲ ἄρχων Βουλγάρων Τέλθριχος, γνοὺς ὅτι ἐκ τῶν οἰκείων αὐτοῦ τὰς βουλὰς ὁ βασιλεὺς μανθάνει αὐτῷ ἐν δολιότητι ὅτι βουλῆς εἰμι ἐκφυγεῖν καὶ ἐλθεῖν πρὸς σέ, ἵνα δι' ἐμοῦ ὑποτάξῃς πᾶσαν τὴν Βουλγαρίαν· ἀλλὰ πέμψον μοι λόγον ἀπαθείας μοι, καὶ τίνας φίλους ἔχεις ἐνταῦθα, ἵνα θαρρήσω αὐτοῖς ἐλθεῖν σὺν ἐμοί. ὁ δὲ κουφότητι γνώμης καὶ ἀνοίᾳ κρατηθεὶς ἔγραψε τοὺς καταμηνύοντας αὐτῷ, κἀκεῖνος μαθὼν πάντας δεινῷ θανάτῳ παρέδωκεν· ὅπερ ἀκούσας Κωνσταντῖνος τὴν γενειάδα αὐτοῦ ἀπέτιλλεν.

Ἐκστρατεύσας δὲ πάλιν κατὰ Βουλγάρων, καὶ δεινῶς κατὰ τῶν σκελῶν ἀνθρακωθείς, καὶ πυρετῷ λάβρῳ καὶ διακαεῖ συσχεθεὶς κατὰ τὴν Ἀρκαδιούπολιν, ὑπέστρεψεν ἐγκλίνιος· καὶ ἐλθὼν ἐν Σηλυμβρίᾳ, καὶ πλωίσας μέχρι τοῦ στρογγύλου καστελλίου, θνησκούσῃ ψυχῇ καὶ σώματι, βοῶν καὶ λέγων ὅτι ζῶν πυρὶ ἀσβέστῳ παρεδόθην διὰ τὴν θεοτόκον Μαρίαν· ἀλλὰ ἀπὸ τοῦ νῦν τιμάσθω καὶ ἀνυμνείσθω ὡς θεοτόκος ἀληθὴς οὖσα. ταῦτα αὐτοῦ ἐπιβοωμένου, καὶ τὴν θεοτόκον Μαρίαν ἐπικαλουμένου, καὶ πᾶσι παρακελευομένου, καὶ δογματίζοντος ὡς χρὴ τιμᾶσθαι καὶ προσκυνεῖσθαι κυρίως θεοτόκον τὴν ἀειπάρθενον, δεινῷ καὶ χαλεπῷ τὴν

sine tubarum sono adortus est quibus fugatis magnam victoriam reportavit; in urbem reversus armatus triumphum egit, bellum illud illustre dicens, quod nemo sibi restisisset, neque Romanorum caedes facta esset.

Telthrichus, Bulgarorum dux, comperto ex familiaribus suis regem consilia comperisse dolo usus ei scripsit "constitui aufugere et ad te venire, ut per me omnem Bulgariam expugnes; sed fidem mihi da, nihil me abs te passurum, et quos hic amicos habeas, ut per eos audeam ad te venire." rex mentis stupiditate et amentia ductus delatores illos significavit, quos statim ille re comperta gravissimo supplicio affecit. quod quum Constantinus audisset, barbam evulsit.

Rursus contra Bulgaros profecto rege carbunculi crura eius invaserunt; febri praeterea vehementi et ardentissima correptus Arcadiopoli, in lectica reversus est. Selymbriam quum venisset et usque ad Strongylum castellum navi vectus corpus eius et anima exstincta sunt. clamavit autem, vivum se sempiterno igni traditum esse propter deiparam Mariam, iussitque in posterum eam honorari et cele-

ἀθλίαν αὐτοῦ ψυχὴν ἀπέρρηξε μόρῳ. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν Ἀναστάσιος, καὶ δεύτερος μετὰ τοῦτον Κωνσταντῖνος ὁ ἀποκεφαλισθεὶς ἐν τῷ κυνηγίῳ, τρίτος δὲ μετὰ τοῦτον Νικήτας, πάντες αἱρετικοί.

Λέων ὁ υἱὸς τοῦ Κοπρωνύμου ὁ ἐκ τῆς Χαζάρας.

Λέων ὁ ἐκ τῆς Χαζάρας, ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη πέντε. οὗτος ἤρξατο ἐφαπλοῦσθαι ἐπὶ τοῖς καταλειφθεῖσιν, ἑξευμενισάμενος τοῖς ἐν τέλει καὶ τῷ λαῷ, εὐσεβὴς εἶναι προσποιησάμενος καὶ φίλος τῆς θεοτόκου καὶ τῶν μοναχῶν, προχειρισάμενος καὶ μητροπολίτας τινὰς καὶ μοναχοὺς ἐν θρόνοις τισίν. εἰσελθόντες οὖν οἱ τῶν θεμάτων ἄρχοντες σὺν τῷ πολλῷ πλήθει ἐν τῇ πόλει ᾐτοῦντο Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ βασιλέα. ὁ δὲ διὰ τοὺς ἀδελφοὺς αὐτοὺς δεδιὼς ἀντεδήλωσεν αὐτοῖς ὅτι ὁ υἱός μου μονογενής μοί ἐστι, καὶ φοβοῦμαι τοῦτο ποιῆσαι, μή πως συμβῇ μοι θάνατος, καὶ νηπίου αὐτοῦ ὄντος θανατώσητε αὐτὸν καὶ ἄλλον ἀντ' αὐτοῦ προβάλλονται. οἱ δὲ μεθ' ὅρκων φρικτῶν ἐπληροφόρουν αὐτὸν μὴ δέξασθαι ἄλλον βασιλέα ἐκτὸς αὐτοῦ. ἀπὸ δὲ τῆς βαϊοφόρου ἕως τῆς μεγάλης πέμπτης τοῦτο ᾐτοῦντο. τῇ δὲ ἁγίᾳ παρασκευῇ ἐκέλευσεν ὀμόσαι αὐτοὺς εἰς τὰ τίμια ξύλα· καὶ ὤμοσαν οἵ τε τῶν θεμάτων καὶ τῶν ἔσω ταγμάτων καὶ

11. θεαμάτων Cramerus θεμάτων cod.

brari ut vere deiparam. ita igitur quum deiparam Mariam vocasset omnibusque mandasset, ut venerarentur et adorarentur deiparam semper virginem, gravi et misera morte animam efflavit. episcopatum tenuit Anastasius, post hunc Constantinus, cui in circu caput abscisum postremo Nicetas, omnes haeretici.

LEO COPRONYMI FILIUS.

Leo Copronymi ex Chasara filius 5 annos regnavit. hic ab initio iis, qui relicti erant, benevolum se praestitit, magistratus et populum sibi conciliaturus et pium se simulans et deiparae monachisque amicum metropolitas quosdam fecit et monachis episcopatus obtulit. adierunt eum legionum praefecti cum magno civium numero postularuntque ut Constantinum filium regem designaret; ille vero fratres timens, dixit, filium sibi esse unicum seque illud facere non audere, ne si forte moreretur, relictum puerulum interficerent et alium pro eo regem crearent. illi autem gravissimo iureiurando se obstrinxerunt, nullum alium regem nisi eum se creaturos. hoc a palmarum die usque ad quintam feriam ante pascha petierunt; sacra

τῶν πολιτῶν πάντων τοῦ μὴ δέξασθαι βασιλέα ἐκτὸς Λέοντος καὶ Κωνσταντίνου καὶ τοῦ σπέρματος αὐτῶν. καὶ τῷ μεγάλῳ σαββάτῳ προεβάλετο Εὐδόκιμον ἀδελφὸν αὐτοῦ νουβελίσιμον, καὶ προῆλθε σὺν δυσὶ Καίσαρσι καὶ τρισὶ νουβελισίμοις καὶ τῷ νέῳ Κωνσταντίνῳ εἰς τὴν ἐκκλησίαν, καὶ τὰ ἐξ ἔθους ποιήσας σὺν τῷ πατριάρχῃ καὶ τῷ υἱῷ αὐτοῦ ἀνῆλθεν εἰς τὸν ἄμβωνα. εἰσελθόντος δὲ παντὸς τοῦ λαοῦ, καὶ ἀποθεμένων τὰ ἔγγραφα αὐτῶν ἐν τῇ ἁγίᾳ τραπέζῃ, εἶπεν ὁ βασιλεὺς "ἰδοὺ ἐκ τῆς ἐκκλησίας καὶ τῆς χειρὸς τοῦ Χριστοῦ τὸν υἱόν μου παραλαμβάνετε." οἱ δὲ ἐβόησαν "Χριστὸς ἐγγύησον ἡμᾶς ὅτι ἐκ τῆς χειρός σου παραλαμβάνομεν τὸν κύριον Κωνσταντῖνον εἰς βασιλέα, τοῦ διαφυλάττειν αὐτὸν καὶ ὑπεραποθνήσκειν αὐτοῦ καὶ τοῦ πατριάρχου, ἐνώπιον παντὸς τοῦ λαοῦ." καὶ προῆλθον ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ οἱ δύο βασιλεῖς σὺν δυσὶ Καίσαρσι καὶ τρισὶ νουβελισίμοις.

Τῶν δὲ Ἀράβων ἐξελθόντων ἀποστείλας ὁ βασιλεὺς τὰ στρατεύματα ἐποίησεν νίκην μεγίστην. ἐν Σοφιαναῖς δὲ ἐλθὼν καὶ ποιήσας μαϊουμᾶν ἐθριάμβευσε τὰ ἐπινίκια· ἐκεῖ γὰρ ἦν ἔθος τοὺς βασιλεῖς δέχεσθαι τὰ λάφυρα. τοῦ δὲ Νικήτα πατριάρχου, τοῦ ἀπὸ Σκλάβων καὶ εὐνούχων, τεθνηκότος προχειρίζεται πατριάρχης Παῦλος ὁ Κύπριος καὶ τίμιος, ὁ λόγῳ καὶ πράξει τετιμημένος.

Κατεμηνύθη δὲ τῷ βασιλεῖ ὡς ὅτι Θεοφάνης ὁ παπίας

3. προσῆλθε C

autem die Veneris iurare eos in sacra ligna iussit; et iuraverunt legiones et cohortes omnesque cives nullum se praeter Leonem et Constantinum eiusque filios regem electuros. magno sabbato Eudocimum fratrem nubelisimum fecit, et cum duobus Caesaribus tribusque nubelisimis et Constantino filio in ecclesiam venit et, cum ex more omnia cum patriarcha filioque fecisset, in ambonem ascendit. omni populo ingresso et professionibus fidei in altari depositis rex, "ecce," inquit, "ex ecclesia et Christi manibus filium meum accipite;" illi exclamarunt, "Christus testis nobis esto, ex manibus tuis accipere nos Constantinum regem, eumque nos servaturos et pro eo et patriarcha morituros coram omni populo;" et venerunt in sanctam ecclesiam duo reges cum duobus Caesaribus tribusque nubelisimis.

Arabes quum invasissent, Leo exercitus misit magnamque victoriam reportavit. in Sophianas quum venisset et maiumam celebrasset, victor triumphavit; ibi enim mos erat reges spolia accipere. Niceta patriarcha Sclavo et eunucho mortuo patriarcha factus est Paulus Cyprius, vir praestantissimus ob sermones actionesque venerandus.

Nunciatum est regi Theophanem palatii papiam et tres cubicu-

τοῦ παλατίου, καὶ κουβικουλάριοι τρεῖς σὺν αὐτῷ σέβονται καὶ προσκυνοῦσι τὰς τιμίας εἰκόνας, καὶ τὴν αὐτοῦ γαμετὴν Εἰρήνην παρέπεισαν ταύτας σέβεσθαι. ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας, καὶ τὴν ἐν αὐτῷ ἐγκεκρυμμένην κακίαν ἀπογυμνώσας, τούτους ἀνηλεῶς ἔτυψε καὶ λαθραίως φονεύσας ὁμολογητὰς πεποίηκε, τὴν δὲ γυναῖκα αὐτοῦ ἐξουδενώσας ἀπώσατο, μὴ ἐγνωκὼς αὐτὴν ἔτι. ὁ δὲ Ἀαρὼν ὁ τῶν Ἀράβων βασιλεὺς ἐξελθὼν ἐν τοῖς θέμασι, καὶ κάστρα πολλὰ παραλαβὼν καὶ αἰχμαλωσίαν πολλὴν συναγαγὼν ὑπέστρεψεν. ὁ δὲ αὐτὸς Λέων λιθομανὴς ὑπάρχων λίαν ἠράσθη τοῦ στέμματος Μαυρικίου, καὶ λαβὼν ἐφόρεσεν αὐτὸ καὶ προῆλθεν. ὑποστραφέντος δὲ ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ αὐτοῦ, καὶ σφοδροτάτῳ πυρετῷ συνεχόμενος καὶ φθειρόμενος ἐτελεύτησε, τῆς ἱεροσυλίας τὰ ἐπίχειρα κομισάμενος.

Κωνσταντῖνος ὁ υἱὸς τοῦ ἐκ τῆς Χαζάρας Λέοντος καὶ ἡ μήτηρ αὐτοῦ Εἰρήνη.

Κωνσταντῖνος σὺν τῇ μητρὶ αὐτοῦ Εἰρήνῃ ἐβασίλευσεν ἔτη δέκα, τῆς εὐσεβείας καὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως ἐπ' αὐτῶν ἀναλαμψάσης. μετὰ δὲ τεσσαράκοντα ἡμέρας τοῦ κρατῆσαι αὐτὴν μετὰ τοῦ υἱοῦ αὐτῆς, συμβούλιον ποιήσαντές τινες τῶν ἐν τέλει εὐφήμισαν εἰς βασιλέα Νικηφόρον Καί-

17. Κωνσταντῖνος καὶ Εἰρήνη ,στε'. ὁ Κωνσταντῖνος μόνος ζ' καὶ μετὰ τὸ ἀποτυφλωθῆναι τοῦτον ἡ μήτηρ αὐτοῦ ἔτη ε', ἤτοι ,στιζ'.

larios venerari et adorare sancta simulacra et Irenae uxori idem ut faceret persuasisse. hoc comperto occultam improbitatem rex aperuit, nam illos sine misericordia ferivit et clam interficiens martyres fecit, uxorem autem cum contemtu dimisit, neque iterum agnovit. Aaron autem Arabum dux contra legiones profectus multis castris expugnatis multaque praeda potitus reversus est. Leo gemmarum avidus Mauricii coronam supra modum concupiscere coepit ablatamque gestavit in publicum progressus. inde domum reversi caput carbunculis graviter est affectum; vehementissima febri correptus et attritus e vita cessit sacrilegii praemium iustum consecutus.

Constantinus Leonis filius et Irene.

Constantinus cum Irene matre 10 annos regnavit, pietate et ecclesiastico ordine restituto. 40 dies postquam regnum cum filio adepta est, quidam e magistratibus consilio inito Nicephorum Caesarem, mariti eius fratrem, regem proclamarunt, quos Irene fustibus caesos,

σαρα τὸν ἀνδράδελφον αὐτῆς· οὓς δείρασα καὶ δημεύσασα ἐξώρισεν ἐν διαφόροις τύποις, τοὺς δὲ ἀνδραδέλφους αὐτῆς Καίσαράς τε καὶ νουβελισίμους ἀποκείρασα ἱερατεῦσαι καὶ μεταδοῦναι τῷ λαῷ πεποίηκεν ἐν τῇ ἑορτῇ τῆς Χριστοῦ γενήσεως, ἐν ᾗ καὶ προελθοῦσα βασιλικῶς δημοσίᾳ σὺν τῷ υἱῷ προσήνεγκε τῇ ἐκκλησίᾳ τὸ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἀρθὲν στέμμα, ἐπικαλλωπισθὲν διὰ μαργαριτῶν.

Ἐν δὲ τῷ μακρῷ τείχει ἄνθρωπός τις ὀρύττων εὗρε λάρνακα καὶ τοῦτον ἀποσκεπάσας εἶδεν ἄνδρα κείμενον μέγαν νεκρόν, καὶ γράμματα ἐγκεκολαμμένα τῷ λάρνακι γράφοντα τάδε "Χριστὸς μέλλει γεννᾶσθαι ἐκ τῆς παρθένου Μαρίας, καὶ πιστεύω εἰς αὐτόν. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν βασιλέων πάλιν ὦ ἥλιε ὄψει με."

Ἀπέστειλε δὲ Εἰρήνη πρὸς Κάρουλον τὸν ῥῆγα τῶν Φράγγων, ὅπως τὴν αὐτοῦ θυγατέρα νυμφεύσηται εἰς τὸν υἱὸν αὐτῆς. ἀλλὰ τούτου διασκεδασθέντος φθόνῳ, ἤγαγε κόρην ἐκ τῶν Ἀρμενιακῶν ὀνόματι Μαρίαν, καὶ ἔζευξεν αὐτὴν Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς, ἄκοντα καὶ μὴ βουλόμενον διὰ τὴν σχέσιν ἣν εἶχε πρὸς τὴν Καρούλου θυγατέρα. Ἀαρὼν δὲ ὁ τῶν Ἀράβων ἀρχηγὸς κατὰ τῆς πόλεως ἦλθεν ἐν μεγάλῃ δυνάμει, καὶ περιεκάθισεν ἐν Χρυσοπόλει. ὁ δὲ βασιλεὺς πέμψας λαὸν τὴν λίμνην Βανῆς ἐκράτησε, καὶ εἰρήνην διὰ τοῦτο ὁ Ἄραψ ἐξαιτεῖται. συναρπασθέντες οὖν ἐπὶ τούτου ἄνευ λόγου, πρὸς αὐτὸν ἐξῆλθον Πέτρος μάγιστρος καὶ

bonis privavit et in varia loca relegavit; Caesares autem mariti fratres et nobilissimos raso capite sacerdotes fecit eosque natalicio Christi festo sacris populum impertire coegit, quo die regio ornatu in publicum progressa obtulit ecclesia ablatam a marito coronam margaritis ornatam.

In magnis moenibus homo quidam inter fodendum in arcam incidit, in qua aperta magnum virum conspexit mortuum et verba arcae incisa haec: "Christus nascetur e Maria virgine, inque eum credo, Constantino autem et Irene regnantibus, rursus me, sol, videbis."

Misit Irene ad Carolum, Francorum regem, ut filiam eius suo filio in matrimonium posceret. sed pacto invidia rupto, ex Armenia puellam nomine Mariam adduxit et Constantino filio uxorem dedit invito et nolenti, quod Caroli filiam praeferebat. Aaron, Arabum dux, magnis copiis contra urbem profectus Chrysopolin obsedit. rex exercitum misit et Banes lacu potitus est, quam ob rem Arabes pacem petiit; hac re decepti nulla sponsione facta Petrus magister, Stauracius logotheta aliique plurimi magistratus ad eum exierunt, quos

Σταυράκιος λογοθέτης καὶ ἕτεροι πλεῖστοι τῶν ἐν τέλει, οἵτινες δέσμιοι παρ' αὐτῶν ἐκρατήθησαν. διόπερ ἀναγκασθέντες οἱ τῆς πόλεως, καὶ δῶρα πλεῖστα δόντες, ἀναλαβόμενοι τούτους εἰρήνην ἐποίησαν, καὶ ἀνεχώρησαν οἱ Ἄραβες. Σταυράκιον δὲ λογοθέτην ἀποστείλασα Εἰρήνη μετὰ δυνάμεως πολλῆς κατὰ τῶν Σκλαβηνῶν ἐθνῶν ὑπέταξε πάντας καὶ ὑποφόρους ἐποίησε τῇ βασιλείᾳ. ἐξῆλθε δὲ καὶ ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ ἐν τῇ Θρᾴκῃ μετ' ὀργάνων μουσικῶν καὶ λαοῦ πλείστου, καὶ ἀπῆλθον ἕως Βεροίας· καὶ ταύτην κτίσασα ἡ μήτηρ αὐτοῦ Εἰρηνούπολιν ἐπωνόμασεν. ἔκτισε δὲ καὶ τὴν Ἀγχίαλον, καὶ ὑπέστρεψε μετ' εὐφροσύνης.

Ὁ δέ γε πατριάρχης Παῦλος ἀρρωστήσας καὶ τὴν ἐνθένδε μετάστασιν αὐτοῦ προγνούς, τὸν θρόνον καταλιπών, ἀπελθὼν ἀπεκείρατο ἐν τῇ μονῇ τῶν Φλώρου. ἀπέρχεται οὖν πρὸς αὐτὸν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ, βουλόμενος μαθεῖν τῆς ὑποχωρήσεως τὴν αἰτίαν. ὁ δὲ μετὰ πολλῶν δακρύων ἔφη "εἴθε μηθ' ὅλως ἐκάθισα ἐν τῷ θρόνῳ τῆς ἐκκλησίας, ἀπεσχισμένης ὑπαρχούσης ἐκ τῶν λοιπῶν ἁγίων θρόνων καὶ ἀναθεματιζομένης." ταῦτα ἀκούσαντες οἱ βασιλεῖς μετὰ σκυθρωπότητος καὶ κατηφείας ἀνεχώρησαν· καὶ ἀποστέλλουσι πρὸς αὐτὸν πατρικίους ἀκοῦσαι τὰ παρ' αὐτοῦ λεγόμενα. πρὸς οὓς μετὰ παρρησίας ἐν τῷ τέλει τῆς διδασκαλίας εἶπεν "ἐὰν μὴ σύνοδος οἰκουμενικὴ γένηται καὶ τὸ σφάλμα διορθωθῇ τῆς πίστεως ἡμῶν, οὐκ ἔχετε σωτηρίαν." οἱ δὲ πρὸς αὐτὸν

προσεδέξαντο ὡς βασιλέα Ῥωμαίων. ὁ δὲ βασιλεὺς Μανουὴλ προσρυέντα τοῖς Ἀγαρηνοῖς μαθὼν ἐν πολλῇ θλίψει καὶ ἀγωνίᾳ γέγονεν, καὶ βουλὴν ἐποιεῖτο μετὰ Ἰωάννου συγκέλλου περὶ τούτου. ὁ δὲ εἶπεν "εἰ προθύμως βούλει τὸν Μανουὴλ πρὸς σὲ ἐλθεῖν, ὦ βασιλεῦ, αὐτὸς ἐγὼ ἕτοιμος τοῦτο ποιεῖν, B χρήματα λαβὼν καὶ πρὸς τὴν ἀμερουμνῆν σταλεὶς ὡς δεῦρο τοὺς ἐν εἱρκτῇ ἐπισκεψόμενος, ἔχων ἐνυπόγραφον λόγον παρὰ τῆς σῆς βασιλείας ᾧ πείσω τὸν Μανουὴλ εἰς ὄψιν ἐλθών. δοκῶ δὲ τοῦτο πράξειν τῷ τε ἐννυπογράφῳ λόγῳ καὶ τῇ ἐμῇ πειθοῖ." ὁ δὲ βασιλεὺς πάμπολλα χρήματα καὶ δῶρα πρὸς τὸν ἀμερουμνῆν δοὺς αὐτῷ ἀπέστειλεν. ὁ δὲ εἰσελθὼν μετὰ πολλῶν χρημάτων καὶ κόσμου παντοίου, ὡς καὶ τοὺς Ἀγαρηνοὺς ἐπὶ τῷ πλούτῳ αὐτοῦ ἐκπλαγῆναι, τὰ δεσμωτήρια ῥογεύσας καὶ τὸν πρωτοσύμβουλον θεασάμενος ἐδυνήθη καὶ λάθρα συνομιλῆσαι τῷ Μανουὴλ καὶ δοῦναι αὐτῷ τὸν ἐννυπόγραφον λόγον καὶ τὸ φυλακτὸν τοῦ βασιλέως. καὶ ὁ μὲν C ταῦτα πράξας ὑπέστρεψεν, ἀναγγείλας τῷ βασιλεῖ ὅσα διεπράξατο· ὁ δὲ Μανουὴλ ἐξαιτησάμενος τὸν ἀμερουμνῆ τοῦ ἐξελθεῖν κατὰ ἔθνους τινὸς πολεμίου αὐτοῖς ἔτυχε τῆς αἰτήσεως, καὶ λαβὼν τὸν τοῦ ἀμερουμνῆ υἱὸν καὶ λαὸν πλεῖστον ἀπῆλθεν καὶ νίκην μεγάλην εἰργάσατο. καὶ τοῦτον ἐν μείζονι τιμῇ ἢ τὸ πρῶτον εἰργάσατο, καὶ πάντα ἦν αὐτὸς παρὰ

7. τοὺς add Comb. 14. πρῶτον σύμβουλον P 20. καὶ λαβὼν| καταλαβὼν P

sic excipitis, securitatis indicia mittite." illi nuntio recreati, immunitatis misso libello, velut Romanorum imperatorem admisere. imperator vero ad Agarenos Manuelem defecisse audiens, multo maerore et animi angustia correptus est; et cum Ioanne syncello de hoc consiliabatur. ille vero dixit "si ex animo Manuelem ad te regredi cupis, acceptis pecuniis ad amerumnem missus, quasi in carcere detentos visitaturus, negotium hoc conficere paratus sum, et ab imperio tuo securitatis fide subscripta Manueli ut ad conspectum redeat suadebo. subscriptis autem litteris, vocisque suadela totum hoc me peracturum confido." imperator commissa pecuniarum multitudine et datis ad amerumnem litteris virum destinavit. ille cum pecuniis et vario apparatu ingressus, adeo ut obstupescerent Agareni, sparsis per ergastula pecuniis, et viso Agarenorum supremo consiliario, cum Manuele etiam clam convenire valuit, et tabulas ab eo subscriptas et salvum conductum exhibere. his ab eo gestis, quae fuisset executus imperatori nuntians, regressus est. Manuel autem adversus nationem cum amerumne inimicitiam agentem proficiscendi facultate petita, postulatis potitus est: ducto namque amerumnis filio et copioso exer-

τῷ ἀμερουμνῇ δυνάμενος. ὅθεν ἔχων φροντίδα πολλὴν τοῦ ἐξελθεῖν ἐν Ῥωμανίᾳ, μετὰ καιρόν τινα εἶπεν πρὸς τοὺς δυνάστας τοῦ ἀμερουμνῇ ὅτι ἐάν μοι τὸν υἱὸν τοῦ ἀμερουμνῇ καὶ λαὸν παρέξετε, ἐξελθὼν ὑποτάξω τὴν Ῥωμανίαν. οἱ δὲ μεγίστην χαρὰν τοῦτο ἡγησάμενοι, καὶ τῷ προτέρῳ πλεονε-
D κτήματι, εὐθὺς ἐξώπλισεν αὐτὸν καὶ κατὰ Ῥωμανίας ἀπέστειλεν. ὁ δὲ ἐλθὼν πλησίον τοῦ θέματος τῆς ἀνατολῆς, προσκαλεσάμενος τοὺς ὑποχειρίους αὐτοῦ καὶ τὸν υἱὸν τοῦ ἀμερουμνῇ ὡς δῆθεν διακινήσων καὶ κυνηγήσων, πόρρωθεν τῶν πολεμίων γενόμενος, περιπλακεὶς τῷ υἱῷ τοῦ ἀμερουμνῇ καὶ καταφιλήσας αὐτὸν εἶπεν ὅτι ἐγὼ μὲν ἀπέρχομαι πρὸς τὸν βασιλέα τε καὶ τὰ ἴδια, σὺ δὲ μετὰ τῶν σῶν, ὡς μηδὲν δεινὸν πείσεσθαι ὑποπτεύοντες παρ' ἡμῶν, ἄπιθι πρὸς τοὺς σούς. καὶ οὗτος μὲν οὕτω μετὰ δακρύων καὶ αἰσχύνης ὑπέστρεψεν, ὁ δὲ Μανουὴλ ἐχώρει πρὸς τὸν βασιλέα, προαποστείλας αὐτῷ τὸν μηνύσοντα. ὁ δὲ βασιλεὺς καὶ τὸν μηνυ-
P. 453 τὴν χρήμασί τε καὶ ἀξιώμασιν ἐφιλοφρονήσατο, καὶ τὸν Μανουὴλ ὡς ἄξιον ἦν ὑπεδέξατο, μάγιστρον εὐθὺς καὶ δομέστικον τῶν σχολῶν ποιησάμενος, καὶ τοὺς αὐτοῦ παῖδας ἐκ τοῦ ἁγίου βαπτίσματος ἀναδεξάμενος. τούτοις ἐπαρθεὶς ὁ βασι-
28 λεὺς ἐξῆλθεν μετὰ Μανουὴλ καὶ τῆς συγκλήτου μετὰ τῶν Ἀγαρηνῶν, καὶ εὐπετῶς τήν τε Ζάπετρον καὶ τὸ Σαμοσάτον

8. τοῦ om Par

citu profectionem suscepit et insignem reportavit victoriam. quod ei maiorem quam prius honorem conciliavit, cunctaque quae vellet apud amerumnem poterat. ex quo ad Romaniam regredi valde sollicitus, post temporis spatium aliquod amerumnis satrapis dixit "si amerumnis filium et exercitum praebueritis, profectus Romaniam omnem subiugabo." quo summa cum laetitia accepto, in prioris gratiae augmentum, armis confestim instruxit et adversus Romaniam misit. ad Orientale itaque thema vicine profectus, domesticis et amerumnis filio secum adlectis, quasi recreaturus se et venaturus abiit. hostibus deinde remotior factus, amerumnis filium complexus et deosculatus dixit "ad imperatorem patriamque propriam remeo: tu cum tuis nihil iniuriae pati suspicantibus redi: ad tuos abi." hic quidem eo pacto cum lacrimis et verecundia reversus est. Manuel vero praemisso ad imperatorem nuntio rediit. imperator muneribus et dignitate nuntium donans Manuelem prout aequum erat, suscepit, et magistrum confestim scholarumque domesticum instituens, etiam filios eius ex sancto baptismate suscepit. his elatus imperator abiit cum Manuele et senatu adversus Agarenos, et Zapetro Samosatoque civitatibus divitiarum copia muroque valido ab amerumne munitis praeclara poti-

πλούτῳ κομῶν καὶ δυνάμει τότε διὰ τοῦ dμερουμνῆ ἐκεῖ- 20
θεν παραλαβὼν ἐπανήει, τῇ νίκῃ καὶ τοῖς λαφύροις γαυρού-
μενος. καὶ ἐλθὼν μέχρι τοῦ Βρύα προσέταξεν οἰκοδομηθῆ-
ναι παλάτιον, παραδείσους φυτεῦσαι καὶ ὕδατα ἀγαγεῖν· ἃ
καὶ γέγονεν. ἐκεῖθεν δὲ ἀφικόμενος εἰς τὴν πόλιν τὰ λάφυρα B
ἐθριάμβευσεν ἱππικὸν ποιήσας, καὶ τὸ πρῶτον βαῖον παίξας,
ἅρματι μὲν οὖν λευκῷ ἐποχησάμενος, χρώματι δὲ τῷ Βενέτῳ
ἀμφιασάμενος καὶ νικήσας ἐστεφανώθη, τῶν δήμων ἐπιβοών-
των "καλῶς ἦλθες, ἀσύγκριτε φακτονάρη."

Τοῦ δὲ πατριάρχου Ἀντωνίου τελευτήσαντος ἀντ' αὐτοῦ
χειροτονεῖται Ἰωάννης ὁ σύγκελλος, ἵν' εἴπω ὁ νέος Ἰαννῆς
καὶ Ἰαμαρῆς, βεβοημένος ἐπί τε μαντείαις καὶ λεκανομαντεί-
αις καὶ πάσῃ ἀσεβείᾳ· ὃς ὄργανον ἐπιτήδειον εὑρεθεὶς τῆς
τοῦ βασιλέως ἀσεβείας τε καὶ ῥοπῆς αὐτῷ πάντα τὰ πρὸς C
ἀπώλειαν συνειργάσατο, καὶ ὧν ὤδινε μὲν κατεῖχε δὲ βασιλί-
σκον τῆς ἀσεβείας ὁ βασιλεύς, ἐξέρρηξεν καὶ ἀπέτεκεν, τὰς
ἁγίας εἰκόνας ἀναχρίεσθαι προστάξας ἢ ἀπαλείφεσθαι. οὗ-
τος ὁ Ἰωάννης πρὸ τοῦ ἄστεως οἴκημα ἐκ λίθων λαξευτῶν
κατασκευάσας, ὃ Τροῦλλος μέχρι τοῦ νῦν ὀνομάζεται, διά τι-
νων θυσιῶν ὡμίλει τοῖς δαίμοσι καὶ τῷ βασιλεῖ τὰ μέλλοντα
διεσήμαινε· ὃ καὶ ἀοίκητον ἔμενεν διὰ τὰς ἐν αὐτῷ γενομέ-
νας τότε τῶν δαιμόνων ἐπιφοιτήσεις.

12. *μαντείοις* Par

tus victoria, spoliisque inclytus, regressus est. porro reversus ad Bryae locum palatium exstruxit, plantavit hortos, aquas deduci iussit; quod et factum est. inde in urbem reversus, onustus spoliis, Circensibus ludis exhibitis triumphum egit, et curru candido vectus Venetoque colore insignis primo munere lusit, victorque coronatus est, factionibus acclamantibus "feliciter adveneris, o incomparande factionarie."

Ceterum patriarcha Antonio vita functo, in eius locum ordinatus est Ioannes syncellus, vere dicam novus Iannes et Iamares, praestigiis et per pelves divinationibus omnique impietate nominatissimus. hic velut instrumentum aptissimum imperatoris impietatis et propensionis repertus, ipsi per omnia in perniciem cooperabatur; et quem conceperat animo, occultabat vero venenatum impietatis basiliscum imperator, emisit et peperit, cum sacras imagines uno colore infici, verius dicam deleri praecepit. Ioannes ipse politis et sculptis lapidibus ante urbem extructa domo (Trullus nunc usque appellatur) sacrificiis quibusdam familiares asciscebat daemones, et futura imperatori renuntiabat. domus autem propter daemonum ad eam frequentiam sine habitatore mansit.

ἦλθεν αὐτῷ μήνυμα παρὰ τοῦ στρατηγοῦ τῶν ἀνατολικων ὡς
33 ὁ πρωτοσύμβουλος ἐξελθὼν μετὰ πλήθους ἐκπορθήσων ἀπέρ-
χεται τὸ Ἀμώριον. ὁ δὲ τὰ νενομισμένα τῷ τε στρατῷ καὶ
τοῖς ἄρχουσι ποιήσας συντόμως μέχρι Καππαδοκίας ἐξήλατο.
ὁ δὲ ἀμερουμνῆς ἀποχωρίσας ὀκτὼ χιλιάδας λαοῦ, καὶ τὸν
D Σονδὲμ ὀνομαστότατον ἐν τοῖς Ἀγαρηνοῖς ὄντα ἐπί τε ἀνδρείᾳ
καὶ φρονήσει δοὺς αὐτοῖς κεφαλήν, ἀπέστειλεν κατὰ τοῦ βα-
σιλέως. συμβαλόντων δὲ πόλεμον ἡττηθεὶς ὁ βασιλεὺς ἔφυ-
γεν καὶ μετ' αἰσχύνης ὑπέστρεψεν, μόλις διασωθείς· ὁ δὲ
ἀμερουμνῆς ἀπελθὼν μετὰ δυνάμεως πολλῆς, περιχαρακώσας
τὸ Ἀμώριον καὶ πολέμους πολλοὺς ποιήσας, οὐκ ἴσχυσεν αὐ-
τὸ ἐκπορθῆσαι γενναίως καὶ σταθερῶς ἀγωνιζομένων τῶν ἔν-
δοθεν. μαθητὴς δέ τις Λέοντος τοῦ φιλοσόφου ἦν ἐν τῷ
κάστρῳ, καὶ βουληθέντος ὑποχωρῆσαι τοῦ ἀμερουμνῆ διά τινος
ἐμήνυσεν ὁ αὐτὸς ἀστρονόμος ὅτι εἰ προσκαρτερήσεις τῷ κά-
34 στρῳ δύο ἡμέρας, ἐκ πορθήσεις ἡμᾶς. ὃ καὶ γέγονεν· προε-
δόθη γὰρ ὑπό τε τοῦ λεγομένου Βοϊδίτζη καὶ τοῦ Μανικοφά-
γου. κατεσχέθησαν δὲ τῶν ὀνομαστῶν ἄνδρες οὐκ ἀγεννεῖς
P. 455 ἀπελθόντες ἐν Συρίᾳ αἰχμάλωτοι, Θεόφιλος ὁ πατρίκιος, καὶ
35 στρατηγοὶ ὅ τε Μελισσηνὸς καὶ ὁ Ἀέτιος, καὶ Θεόδωρος πρω-
36 τοσπαθάριος ὁ Κρατερός, καὶ Κάλλιστος τουρμάρχης καὶ Κων-
σταντῖνος δρουγγάριος καὶ Βασσόης, καί τινες ἄρχοντες τῶν
ταγμάτων, οἳ παρὰ τοῦ πρωτοσυμβούλου ἀναγκασθέντες ἀρνή-

tiatum est ab Orientalium duce Saracenorum protosymbulum cum exercitu ad Amorium obsidendum venire. ille consueta exercitui proceribusque largitione facta, brevi tempore versus Cappadociam contendit. amerumnes selectis militum octo milibus Sudem, inter Agarenos virtute prudentiaque nominatissimum, ducem instituens adversus imperatorem summisit. manibus consertis profligatus imperator fugit et cum dedecore rediit, vixque salutem nactus est. amerumnes vero virtute multa stipatus abiit, et Amorium obsedit, variisque certaminibus editis obtinere non potuit, fortiter et generose civibus in adversum praeliantibus. philosophi vero Leonis discipulus quidam in castro habitans amerumni recedere volenti, cuiusdam ope, ceu astrologiae peritus significavit "si dies tantum duos ad castrum stationem habueris, obtinebis nos." quod et contigit. a Boïditze quippe vocato et Manicophago proditum est. capti sunt etiam virorum nominatorum et non ignobilium plurimi, et in Syriam abducti captivi. Theophilus patricius et duces isti, Melissenus, Aetius, Theodorus protospatharius Craterus, Callistus turmarcha, Constantinus drungarius, et Bassoes, et quidam agminum proceres, qui a protosymbulo tormentis

σασθαι τὴν αὐτῶν πίστιν, καὶ τούτου μὴ πεισθέντος ξίφει τὰς ἑαυτῶν κεφαλὰς ἀπετμήθησαν, ἀντὶ προσκαίρου ζωῆς τὴν αἰώνιον ἀγαπήσαντες. ὁ δὲ τὴν αἰσχρὰν σωτηρίαν τῆς καλλίστης ἀνταλλαξάμενος, ὁ τοῦ φιλοσόφου Λέοντος μαθητὴς προσ-
5 ρυεὶς τῷ ἀμερουμνῇ ἠρωτήθη παρ' αὐτοῦ περὶ τῆς ἐπιστή- B
μης αὐτοῦ. ὁ δὲ εἶπεν μαθητὴν εἶναι τοῦ φιλοσόφου Λέοντος. οὗτος τε ὅστις ὁ Λέων καὶ ὁποῖον αὐτὸν ἐπεθύμει ἰδεῖν. καὶ δή τινα τῶν αἰχμαλώτων δοὺς γράμματα πρὸς Λέοντα τὸν φιλόσοφον ἀπέστειλεν ἐν Κωνσταντινουπόλει, ὑπο-
10 σχόμενος αὐτῷ ὅτι εἰ ἐξέλθοι πρὸς ἐκεῖνον, αὐτὸν εἶναι ἐν τιμῇ. ὁ δὲ Λέων τὰ γράμματα ἀπολαβών, καὶ φοβηθεὶς μή πως διαγνωσθῇ, ἀνήγαγεν αὐτὰ Θεοφίλῳ τῷ βασιλεῖ. ὁ δὲ γνοὺς τὰ τῆς αὐτοῦ ἐπιστήμης, προσλαβόμενος αὐτὸν εἶχεν ἐν τῷ παλατίῳ τῆς Μαναύρας, παραδοὺς αὐτῷ διδάσκειν καὶ
15 μαθητάς, παρέχων αὐτῷ τὰ πρὸς ὑπηρεσίαν ἅπαντα· ὃς καὶ C
μητροπολίτης ἐν Θεσσαλονίκῃ γέγονεν.

Ὁ δὲ αὐτὸς βασιλεὺς τὸν Τρίκογχον ἐν τῷ παλατίῳ καὶ τὸ λεγόμενον Σίγμα καὶ τὰς ἀναβάθρας ἔνθα οἱ δῆμοι ἵστανται στήσας, καὶ φιάλην ἐν ᾗ γίνεται τὸ Σαξιμοδέξιμον λεγό- 37
20 μενον, τῶν ἵππων ἀμφοτέρων τῶν μερῶν διερχομένων μετὰ χρυσῶν σαγισμάτων. ὑπὸ δὲ τὸν Τρίκογχον κάτωθεν διὰ μηχανῆς ἐποίησεν τὸ λεγόμενον μυστήριον, ἐν ᾧ ἐν τῇ μιᾷ γωνιᾷ ὃ ἐὰν εἴπῃ τις, ἐξακούεται ἐν τῇ ἑτέρᾳ.

1. ὁποῖον] ὁποῖος μαθὼν? 1. πρὸς] ἀπ. Par.

adacti, ut fidem negarent, ipsi morem non gerentes gladio capitibus praecisi sunt, vitae temporalis vice aeternam consecuti. discipulus autem Leonis philosophi, salutem honestissimae turpem praeferens, cum ad amerumnem transisset, ab eo de scientia sua interrogatus Leonis discipulum esse professus est. amerumnes quis, et qualis esset iste Leo probare cupiens, captivorum nonnemini datis litteris ad Leonem philosophum Cpolim misit, pollicitus, si veniret, in honore futurum. acceptis litteris, veritus Leo ne dignosceretur, Theophilo imperatori cuncta detulit. Theophilus, eius agnita scientia, vocatum detinuit in Magnaurae palatio, docendi facultate discipulisque et cunctis necessariis ad ministerium exhibitis; qui deinceps metropolita Thessalonicensis exstitit.

Idem imperator Triconchum in palatio, et quod dicitur Sigma, gradusque quibus factiones consistunt, et fontem aedificavit, quo peragitur Saximo-deximum dictum, utriusque partis equis aureis stragulis instructis et pertranseuntibus. sub Triconcho vero et machina Secretum (ita vocant) posuit, in cuius angulo quovis quidquid dixerit aliquis, in altero exauditur.

Μαθὼν δὲ αὐτὸς Θεόφιλος ὅτι Θεοφάνης ποιητὴς καὶ Θεόδωρος ὁ ἀδελφὸς αὐτοῦ καθ' ἑαυτοὺς ζῶντες τὴν ἀσέβειαν αὐτοῦ κωμῳδοῦσιν καὶ διελέγχουσιν, ἀποστείλας μετ' ὀργῆς ἤγαγεν αὐτοὺς πρὸς αὐτόν, εἰπὼν τάδε "πόθεν ἐστέ;" οἱ δὲ
D *εἶπον "πόθεν; ἐκ Παλαιστίνης." ὁ δὲ ἀλιτήριος "καὶ διὰ τί τὴν γὴν ὑμῶν ἀφέντες καὶ εἰς τὴν ἡμετέραν ἐλθόντες οὐ πειθαρχεῖτε τῇ βασιλείᾳ ἡμῶν;" τῶν δὲ μηδὲν ἀποκριθέντων ἐπέτρεψεν παίεσθαι τὰς ὄψεις αὐτῶν σφοδρῶς. εἶτα μετὰ τοῦτο βουνευρήσας αὐτοὺς μέχρις αὐτοῦ τοῦ θανάτου, μετὰ θυμοῦ καὶ τραχείας τῆς φωνῆς πρὸς τὸν ὕπαρχον ἔφη "ἆρον αὐτοὺς εἰς τὸ πραιτώριον, καὶ γράψον τὰ πρόσωπα αὐτῶν τούσδε τοὺς στίχους," προσθεὶς ὅτι κἂν οὐκ εἰσὶ καλοί, σοι μὴ μελέτω. τοῦτο δὲ εἶπεν εἰδὼς αὐτοὺς ὡς σοφωτάτους καὶ ἄριστα διησκημένους. οἱ δὲ εἶπον "γράφε, γράφε, βασιλεῦ, τὸ δοκοῦν σοι, ὡς μέλλων τοῦτο ἀναγνῶναι ἐπὶ τοῦ φοβεροῦ*
P. 456 *κριτοῦ." ὁ δὲ ὕπαρχος τούτους ἀγαγὼν εἰς τὸ πραιτώριον μετὰ δύο ἡμέρας ἁπλώσας, καὶ δήσας αὐτῶν χεῖρας καὶ πόδας, κατακεντήσας τε καὶ ἐγκολάψας τοὺς στίχους εἰς τὰς ὄψεις αὐτῶν ἐξώρισεν. καὶ ἐν μὲν τῇ ἑξορίᾳ τελευτᾷ ὁ ἐν ἁγίοις Θεόδωρος, ὁ δὲ ἀοίδιμος Θεοφάνης ὁ ποιητὴς διήρκεσεν μέχρι Μιχαὴλ καὶ Θεοδώρας, ἀγωνισάμενος πλεῖστα ἐν τῇ γενομένῃ ὀρθοδοξίᾳ· ὃς καὶ μητροπολίτης εἰς Νίκαιαν γέ-*

Theophilus autem cum didicisset Theophanem poetam et Theodorum eius fratrem ipsius impietatem sugilare et arguere, mittens cum furore eos ad se accersivit, dicens "undenam estis?" dixerunt illi "unde? ex Palaestina." scelestus autem "quam ob causam patria vestra deserta in dicionem nostram venientes non obeditis imperio nostro?" illis nihil respondentibus, iussit eorum facies dure percuti. deinceps vero eisdem ad mortem ferme nervis bubulis per corpus caesis, cum furore et aspera voce dixit ad praefectum "tolle istos in praetorium, et facies eorum inscribe, versibus huiusmodi appositis, qui licet inelegantes sint, nulla sit tibi cura." hoc autem dixit, sciens eos litteris peritissimos et exercitiis religiosis versatissimos. responderunt illi "scribe, scribe, imperator, quod placuerit, ceu coram tremendo Iudice illud idem lecturus." praefectus viros in praetorium abductos post dies duos, corpore extento, manibus et pedibus ligatis, acubus suffixit, et versibus in eorum frontibus insculptis in exilium misit. et in exilio quidem moritur Theodorus, et sanctorum numero ascribitur. illustris vero Theophanes poeta ad Michaelis et Theodorae tempora superfuit pro fide orthodoxa, id est orthodoxia instituenda plurimum contendens; qui postmodum metropolita Nicaenus

γονεν τῶν πραγμάτων ἀποκαταστάντων ἤδη πρὸς τὸ εὐσεβέστερον.

Ἐπὶ αὐτοῦ ἔπεσεν ἡ χρυσῆ τοῦφα Ἰουστινιανοῦ τοῦ λεγομένου Αὐγουστέως. ἀμηχανούντων δὲ πάντων, καὶ πῶς ἀνέλθοιεν διαλογιζομένων, εὑρέθη τις σκαλωτὴς τεχνίτης, καὶ ἀνελθὼν ἐν τοῖς κεράμοις τῆς μεγάλης ἐκκλησίας βέλος ἀφῆκεν μετὰ σχοινίου εἰς τὸν ἱππότην Ἰουστινιανοῦ, καὶ τοῦ βέ- B
λους παγέντος ἐκεῖσε αὐτὸς διὰ σχοινίου διαδραμὼν θάμβος μὲν τοῖς ὁρῶσι παρέσχετο καὶ τὴν τοῦφαν προσήρμοσεν καὶ τὴν τοῦ βασιλέως ἐπεσπάσατο εὔνοιαν, φιλοτιμηθεὶς παρὰ τοῦ βασιλέως νομίσμασιν ἑκατόν.

Στέφει δὲ Θεόφιλος τὸν υἱὸν αὐτοῦ Μιχαὴλ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. κατεσκεύασε δὲ ξενῶνα τὸν νῦν μὲν τὰ Θεοφίλου λεγόμενον. πρὸ δὲ τῆς αὐτοῦ τελευτῆς ὁ Θεομισὴς οὗτος βασιλεὺς βουλὴν μεγίστην ποιησάμενος μετὰ τῶν ὁμοφρόνων αὐτοῦ περὶ Θεοφόβου τοῦ Πέρσου, ὡς ὅτι πολλὴν ἀγάπην ἔχουσιν καὶ πίστιν αὐτὸν οἵ τε ὑπ' αὐτὸν Πέρσαι, καὶ 38
μήπως ἐμοῦ τελευτήσαντος μελετήσωσι τυραννίδα κατὰ τοῦ C
ἐμοῦ παιδὸς νηπίου ὄντος καὶ τῆς γυναικός, ἀποστείλας ἀνήγαγεν Θεόφοβον εἰς τὸ παλάτιον καὶ εἶχε μετ' αὐτοῦ. βαρυνθείσης δὲ τῆς νόσου καθεῖρξεν Θεόφοβον ἐν ταῖς καμάραις τοῦ Βουκολέοντος. τῶν δὲ Περσῶν ἐπιζητούντων αὐτόν, τί ἄρα γέγονεν, ἀποστείλας τῇ νυκτὶ ὁ βασιλεὺς Πετρω-

exstitit, rebus iam in meliorem statum et maiorem pietatem compositis.

Eius tempore ad Augustaeum statuae Iustiniani aureus globus in terram decidit; cunctisque anxiis, et quomodo ad culmen illud conscenderent disceptantibus, artifex quidam scandularius iuventus est, qui magnae ecclesiae conscensis tegulis cum fune telum immisit in Iustiniani equum, infixoque ibidem telo ipse per funem excurrens stuporem cunctis spectantibus exhibuit, et globo reposito imperatoris animum sibi conciliavit, numismatis centum ab eo donatus.

Theophilus autem filium suum Michaelem in magna ecclesia coronavit; exstruxitque hospitium recipiendis peregrinis, qui eius de nomine Theophili dicitur. ante mortem porro imperator ille deo exosus, maximo cum hominibus eiusdem sententiae habito consilio de Persa Theophobo, ut nimirum ab ipsis diligeretur, eamque fidem, aiebat, ipsi praestant Persae subditi, ut me defuncto adversus filium pueriles annos nondum excedentem et in uxorem meditentur tyrannidem: eam ob rem misit qui Theophobum in palatium adducerent, eumque secum habuit. morbo autem ingravescente Theophobum carcere inclusit in Bucoleontis fornicibus. Persis autem inquirentibus

νᾶν τὸν τῆς Λυγούστης ἀδελφὸν σὺν τῷ λογοθέτῃ ἀπέτεμε τὴν κεφαλὴν τοῦ Θεοφόβου. ἔπεισαν δὲ οὗτοι τοὺς Πέρσας ὡς μετὰ τοῦ βασιλέως ἐστὶν ἐν τῷ παλατίῳ. τοῦ δὲ βασιλέως δυσεντερίᾳ νόσῳ τὴν ψυχὴν κακῶς ἀπορρήξαντος, ἀπεκομίσθη τὸ δύστηνον αὐτοῦ σῶμα εἰς τοὺς ἁγίους ἀποστόλους. τὸ δὲ σῶμα τοῦ Θεοφόβου διὰ τοῦ Βουκολέοντος ἐξάγοντες λαθραίως διέσωσαν πλησίον τὰ Ναρσοῦ ἐν τῇ λεγομένῃ νῦν μονῇ τῆς Θεοφοβίας, καὶ τοῦτο ἐκεῖσε κατέθηκαν.

Μιχαήλ.

P. 457 Μιχαὴλ ἐβασίλευσεν σὺν τῇ μητρὶ αὐτοῦ Θεοδώρᾳ ἔτη δεκαπέντε, μόνος δὲ ἔτη ι', σὺν Βασιλείῳ δὲ ἔτος ἓν μῆνας τέσσαρας. ἡ δὲ Θεοδώρα οὕτως ἦν πιστὴ καὶ ὀρθόδοξος ὡς καὶ τοῦ ἀνδρὸς αὐτῆς ἔτι περιόντος λάθρᾳ ταύτην τὰς ἁγίας εἰκόνας τιμᾶν τε καὶ σέβεσθαι· ἥτις γνώμῃ μὲν ἑαυτῆς, ὑποθήκῃ δὲ καὶ παραινέσει Θεοκτίστου κανικλείου καὶ λογοθέτου ἐξελαύναι τε τῆς ἐκκλησίας καὶ τῆς πόλεως τὸν πα-
B τριάρχην Ἰωάννην, σύντεκνον αὐτῆς ὄντα, περιορίσασα τοῦτον ἐν τῷ Στενῷ εἰς τὸ Κλείδιον οὕτω καλούμενον. εἰσάγει δὲ τὸν ἐν ἁγίοις Μεθόδιον μοναχὸν ὄντα, καὶ πατριάρχην καθίστησιν. καὶ πάντας τοὺς ὑπὸ Θεοφίλου ἐξορισθέντας μοναχοὺς καὶ ἐπισκόπους ἐνώσασα, τὴν ὀρθόδοξον ἐβεβαίωσεν

quid de illo actum foret, misit imperator noctu Petronam Augustae fratrem cum logotheta, et Theophili caput amputari iussit. isti vero cum imperatore in palatio versari Persis denuntiaverunt. imperatore vero dysenteriae morbo animam misere proiiciente, execrandum eius corpus ad sanctos apostolos delatum est. corpus autem Theophobi per Bucoleontem clam subductum in monasterium, Theophobiae nunc dictum, Narsetis aedi vicinum deportaverunt, et illud ibidem deposuerunt.

Michael.

Michael una cum matre sua Theodora annos quindecim regnavit, solus decem, cum Basilio vero annum unum et menses quattuor. Theodora vero adeo fide rectisque in ecclesiam sensibus praestabat, ut eius viro adhuc superstite sanctas imagines coleret et veneraretur. haec tum proprii animi motu, tum etiam suggestione et sententia Theoctisti canicleo praepositi et logothetae, ex ecclesia et urbe Ioannem patriarcham proprium compatrem in Clidii, monasterium ita dictum, ad Stenum exulem eiecerit. in eius locum Methodium monachum inducit et patriarcham instituit. monachis vero episcopis a

πίστιν καὶ τὴν ἐκκλησίαν εἰρήνευσεν. τῇ δὲ πρώτῃ κυριακῇ 39
τῶν ἁγίων νηστειῶν ἀπέστειλεν Θεόκτιστον λογοθέτην κατὰ
τῆς Κρήτης, ὃς ἀπελθὼν μετὰ πολλοῦ πλήθους καὶ στόλου
μεγάλου σφόδρα μὲν ἐπτόησεν τοὺς Ἀγαρηνούς, σφοδρότερον
δὲ αὐτὸς ἐπτοήθη, καὶ τὴν φυγάδα προεχειρίσατο, τὴν Αὐ- 40
γούσταν μαθὼν ὡς ἄλλον βασιλέα προεχειρίσατο, ὅπερ με- C
θόδῳ Σαρακηνῶν καὶ δωροληψίᾳ τῶν μετ' αὐτοῦ ἐκπλῆξαν
αὐτὸν πέπεικεν πρὸς τὴν πόλιν ἐπανελθεῖν καὶ καταλιπεῖν τὸν
στρατὸν μαχαίρας ἔργον τοῖς ἐν Κρήτῃ γενομένοις, οὕτω δὴ
κακῶς ἐν Κρήτῃ φανείς . . . ὡς γὰρ ἐξελθὼν τότε κατὰ Ῥω- 41
μανίας ὁ Ἀμὲρ ἐληΐζετο τὸ πᾶν ἐν ποσὶ καὶ κατέστρεφεν, τὸν
αὐτὸν πάλιν Θεόκτιστον ὡς πιστότατον καὶ οἰκειότατον ὄντα
μετὰ δυνάμεως πολλῆς κατὰ τοῦ Ἀμὲρ Θεοδώρα καὶ Μιχαὴλ
ἀπεστάλκασιν. καὶ παραγεγονὼς οὗτος καὶ πόλεμον προσβα-
λὼν τῷ Ἀμὲρ * * * * διὰ τὴν τοῦ λογοθέτου βαρύτητα καὶ D
ἀπειθείαν, ὧν εἷς ἦν Θεοφάνης ὁ ἐκ Φαργάνων, ἀνδρεία τε 42
καὶ ῥώμῃ διαφέρων πολλῶν, ὃς ὕστερον λόγον ἀπαθείας λα-
βὼν προσφεύγει τοῖς Χριστιανοῖς. ἤδη δὲ ὁ βασιλεὺς ἀνδρω-
θεὶς ἐσχόλαζε τοῖς τε κυνηγίοις καὶ ταῖς τῶν ἵππων ἁμίλλαις
ἐν τῷ διαύλῳ τοῦ ἱππικοῦ καὶ ταῖς λοιπαῖς ἀκαθαρσίαις. βου-
λὴν οὖν ποιεῖται Θεοδώρα Αὐγούστα μετὰ Θεοκτίστου λογο-
θέτου δοῦναι γυναῖκα τῷ υἱῷ αὐτῆς· ἔγνω γὰρ ὡς συνεφι-

11. τὸ πᾶν] πᾶν τὸ?

Theophilo in exilium missis postliminio revocatis, fidem orthodoxam firmavit et ecclesiae pacem restituit. ceterum prima sanctorum ieiuniorum dominica Theoctistum logothetam in Cretam misit. hic cum valido exercitu et ingenti classe profectus magnum Agarenis terrorem incussit. vehementius autem ipse territus est, Augustam urbe fugisse audiens, alio in imperatorem substituto; quod dolis et arte Saracenorum paratum fuit, muneribus videlicet ab eis qui in comitatu erant acceptis, qui vano hoc terrore incusso in urbem regredi et exercitum Agarenis Cretes incolis ceu gladii pabulum obiicere persuaserunt. ita per Cretam infelix visus. ameras autem profectione suscepta adversus Romaniam obvium quemque locum depopulabatur et vastabat. eundem porro Theoctistum ceu fidelissimum et dilectum cum valida exercitus manu adversus ameram Theodora et Michael miserunt. profectus ille et manibus cum amera consertis * * * * propter infensum in logothetam animum et inimicitias: quorum unus fuit Theophanes Pharganensis, virtute et robore plurimis praestans, qui postmodum securitatis fide accepta in Christianorum partes remeavit. imperator porro virilem ingressus aetatem venationibus et equorum certaminibus in Circi stadio aliisque impuris studiis vacabat. ceterum

λιώθη Εὐδοκίᾳ τῇ τοῦ Ἴγγερος, μισουμένῃ τῷ λογοθέτῃ καὶ τῇ δεσποίνῃ σφοδρῶς δι' ἀναίδειαν. διὸ συζευγνύουσιν αὐτῷ Εὐ-
P. 458 δοκίαν τὴν τοῦ Δεκαπολίτου, μεθ' ἧς στεφανοῦται ἐν τῷ ἁγίῳ Στεφάνῳ τῷ εἰς τὴν Δάφνην, γενομένου τοῦ πάστου εἰς τὴν Μαγναύραν, τῆς δὲ συγκλήτου ἀνακλιθείσης ἐν τοῖς δεκαεννέα κουβίτοις. μετὰ δὲ μικρὸν ὁ τῶν Βουκελλαρίων στρατηγὸς ἤγαγεν ἵππον τῷ βασιλεῖ θυμοειδῆ καὶ γενναῖον. ὁ δὲ τοῦτον τῷ ἱππικῷ βουλόμενος ὑποζεῦξαι ἠβούλετο καταμαθεῖν τούς τε ὀδόντας, ἐξ ὧν τῶν ἐτῶν ἡ ποσότης διαγινώσκεται. τοῦ δὲ ἵππου θρασυνομένου καὶ σκιρτῶντος ἦν ἀχθόμενος διὰ τοῦτο ὁ βασιλεὺς ὡς μηδενὸς εὐπορῶν γενναιότητος τὸν ἵππον ἐξημερώσαντος. ὡς οὖν ἤχθετο, παρὼν ὁ Θεοφιλίτζης
B ὅτι δὲ ἔχω νεώτερον ἐμπειρότατον καὶ ἀνδρεῖον εἰς τοὺς ἵππους, οἷον ἐπιζητεῖ ἡ βασιλεία σου, τοὔνομα Βασίλειον. τοῦ δὲ βασιλέως ἐλθεῖν πρὸς αὐτὸν κελεύσαντος, ἀπεστάλη κοιτωνίτης ἐν τῇ σιδηρᾷ πύλῃ, καὶ τὸν Βασίλειον εὑρὼν μετὰ σπουδῆς ἤγαγεν πρὸς τὸν βασιλέα. καὶ κελευσθεὶς τὸν ἵππον κρατῆσαι τῇ μὲν μιᾷ χειρὶ τὸν χαλινὸν κρατήσας, τῇ δὲ ἑτέρᾳ τοῦ ὠτὸς δραξάμενος εἰς ἡμερότητα προβάτου μετέβαλεν· ᾧ ἀρεσθεὶς καὶ θεραπευθεὶς ὁ βασιλεὺς παρέδωκεν τῷ Ἀνδρέᾳ ἑταιριάρχῃ τοῦ εἶναι εἰς τὴν ἑταιρίαν καὶ δουλεύειν ἐν τοῖς ἵπποις αὐτοῦ.

Theodora Augusta uxoris filio suo providendae cum Theoctisto logotheta consilium habuit; noverat quippe cum Eudocia Ingeris filia, logothetae et imperatrici propter impudicitiam vehementer exosa, familiaritatem contraxisse. eam ob rem Eudociam Decapolitae filiam ei matrimonio coniungit, cum qua in aede S. Stephani, quae ad Daphnem, corollas nuptiales subiit, thalamo ad Magnauram posito, senatu ad novemdecim accubita recumbente. modico post Buccelariorum dux equum animosum et nobilem obtulit imperatori. ille equi ad Circenses ludos mittendi cupidus, dentes quibus equorum aetas dignoscitur et annorum numerum explorare moliebatur. equo vero ferociente et calcitrante angebatur imperator, generosi sessoris expers, qui equum redderet mansuetum. anxio itaque imperatori adest proximus Theophilitzes. "est mihi" inquit "peritissimus iuvenis et generosus equis subigendis, qualem imperium tuum expetit, idoneus, cui nomen Basilius." imperatore advocari iubente, ex cubiculariis unus ad ferream portam missus est, qui Basilium inventum cum festinatione ad imperatorem adduxit. ille equum tenere iussus, manu quidem frenum apprehendit, altera vero aurem capiens ad ovis mansuetudinem adegit; quo delectatus et gavisus imperator Basilium Andreae hetaeriarchae, ut comitatui allegeretur et equis subserviret, commendavit.

Ἀναγκαῖον δὲ ἡγησάμην διηγήσασθαι περὶ τοῦ αὐ- C
τοῦ Βασιλείου τήν τε ἀνατροφὴν καὶ ὅθεν ἐστίν. ὁ αὐ-
τὸς γεννᾶται ἐν Μακεδονίᾳ ἐν τοῖς χωρίοις Ἀδριανουπό-
λεως ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Ῥαγκάβε, πατρὸς Ἰγνα-
τίου τοῦ πατριάρχου. ἐπὶ τούτου ἐξῆλθεν ὁ Κροῦμμος ἄρ-
χων Βουλγαρίας κατὰ τῶν Χριστιανῶν· καὶ τραπεὶς Μι-
χαήλ, καὶ Λέων Ἀρμένης τυραννήσας αὐτὸν καὶ βασιλεύσας,
ἐλθὼν Κροῦμος περιεκύκλωσεν τὴν πόλιν· λογχευθεὶς δὲ
ὑπὸ Λέοντος τοῦ Ἀρμένη καὶ ὑποστρέφων ἐν τῇ Βουλγαρίᾳ
ἔπεμψεν εἰς τὸν ἅγιον Μάμαντα ἀφελόμενος τὰ ἐκεῖσε χαλκᾶ
ζῶδα. ἀπελθὼν δὲ καὶ ἐν Ἀδριανουπόλει παρέλαβεν αὐτήν, D
καὶ μετέστησεν ἀνδρῶν χιλιάδας δώδεκα χωρὶς γυναικῶν,
καὶ τούτους κατῴκισεν μέχρι τοῦ Δανουβίου. ἐν δὲ ταῖς
ἡμέραις Θεοφίλου τοῦ βασιλέως ἦν στρατηλάτης ἐν Μακεδο-
νίᾳ ὁ Κορδύλης προσαγορευόμενος· εἶχεν δὲ καὶ υἱὸν Βάρ-
δαν ὀνόματι, ἡνδρωμένον πάνυ, ὃν κατέλιπεν ἀντ' αὐτοῦ ἄρ-
χειν τῶν Μακεδόνων τῶν ὄντων πέραν τοῦ ποταμοῦ τοῦ Δα-
νουβίου. αὐτὸς δὲ μετὰ μηχανῆς τινὸς εἰσῆλθεν εἰς Θεόφι-
λον. ὃν δεξάμενος χαίρων, καὶ γνοὺς ὃ θέλει, ἀπέστειλεν
πλοῖα ἀναλαβέσθαι αὐτοὺς καὶ ἐλθεῖν ἐν τῇ πόλει. ἦν δὲ
ἄρχων Βουλγαρίας Βαλδίμερ, ἔγγονος Κρούμμου, πατὴρ Συ-
μεῶνος. ἐποίησαν δὲ βουλὴν ὁ λαὸς σὺν γυναιξὶ καὶ τέκνοις P. 159

7. λοχευθεὶς?

De Basilio vero quae fuerit eius educatio, et unde fuerit ortus, enarrare necessarium duxi. is Macedoniam habuit patriam in Adrianopoleos pagis, sub Michaelis Rangabe, Ignatii patriarchae parentis imperio. eius tempore Crummus Bulgariae princeps adversus Christianos arma movit, et Michaele in fugam verso, Leoneque Armenio subinde tyrannidem arripiente et imperante, profectus Crummus urbem obsedit. a Leone autem Armenio telo petitus et in Bulgarium reversurus, misit qui ad S. Mamantis loca praedas agerent et animalia aerea ibidem posita raperent. inde Adrianopolim declinans armorum vi cepit, et virorum milia duodecim absque mulieribus transtulit, et eos ad Danubium iussit habitare. tempore deinde Theophili imperatoris erat magister militiae Cordyles nominatus in Macedonia. is habebat filium Bardam nomine et virili aetate provectum, quem vice sua Macedonibus trans Danubii fluminis ripas habitantibus dominari reliquit. ipse quodam invento et arte ad Theophilum accessit; quem gaudens excepit, et eo quod expetebat cognito, ut navigia consequerentur et in urbem redirent, mandavit. erat porro Baldimer Bulgariae princeps, Crummi nepos et pater Simeonis. captivorum vero turmae de reditu in Romaniam cum uxoribus et filiis inierunt consilium, et Michaele

ἐξελθεῖν ἐν Ῥωμανίᾳ. ἐξελθόντος δὲ Μιχαὴλ Βουλγάρου ἐν Θεσσαλονίκῃ, ἤρξαντο διαπεραῦν σὺν ταῖς ὑποστάσεσιν αὐτῶν. 43 μαθὼν δὲ ὁ κόμης τοῦτο ἀντεπέρασεν πολεμήσων αὐτούς. ἀπογνόντες οὖν οἱ Μακεδόνες ἐποίησαν κεφαλὴν τόν τε Τζάντζην καὶ τὸν Κορδύλην, καὶ συμβαλόντες πόλεμον ἀπέκτειναν πολλούς, τινὰς δὲ καὶ ἐκράτησαν. οἱ δὲ μὴ δυνηθέντες περᾶσαι Βούλγαροι περιερρύησαν τοῖς Οὔγγροις, ἀναγγείλαντες αὐτοῖς πάντα τὰ τῶν Μακεδόνων. ἦλθον δὲ καὶ τὰ πλοῖα τοῦ βασιλέως πρὸς τὸ ἀναλαβέσθαι αὐτοὺς καὶ ἀναγαγεῖν ἐν Β τῇ πόλει. παρευθὺ οὖν ἀνεφάνησαν Οὖννοι τῷ πλήθει ἄπειροι. οἱ δὲ ἰδόντες αὐτοὺς μετὰ δακρύων ἐβόων λέγοντες "ὁ θεὸς τοῦ ἁγίου Ἀδριανοῦ, βοήθει ἡμῖν," καὶ παρετάσσοντο πρὸς συμβολὴν πολέμου. οἱ δὲ Τοῦρκοι εἶπον πρὸς αὐτούς "δότε ἡμῖν τὴν ὕπαρξιν ὑμῶν πᾶσαν καὶ ἀπέλθετε ὅπου βούλεσθε." οἱ δὲ τοῦτο οὐκ ἐδέξαντο, ἀλλὰ παρατεταγμένοι ὑπῆρχον ἐν τρισὶν ἡμέραις, καὶ τῇ τετάρτῃ ἤρξαντο εἰς τὰ πλοῖα αὐτῶν εἰσέρχεσθαι. θεασάμενοι δὲ τοῦτο οἱ Τοῦρκοι συνέβαλλον πόλεμον ἀπὸ ὥραν πέμπτην μέχρις ἑσπέρας· καὶ C τραπὲν τὸ ἔθνος κατεδίωκον αὐτοὺς οἱ Μακεδόνες. καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ βουλομένων αὐτῶν ἀναχωρῆσαι, ἀνεφάνησαν πάλιν Οὖννοι πρὸς τὸ πολεμῆσαι αὐτούς. ἀναστὰς δὲ Μακεδόνων ἕτερος, Λέων ὀνόματι, ἐκ γένους τῶν Γημοστῶν, ὃς μετὰ ταῦτα γέγονεν ἑταιριάρχης, καὶ ἕτεροι ὀνομαστοὶ τῶν

Bulgaro versus Thessalonicam profecto cum facultatibus suis traiicere ceperunt. quod cum rescisset Comes, in adversam fluminis ripam transiit, bellum illaturus. Macedones re desperata Tzantzem et Cordylem sibi duces praeficiunt, et conserto praelio quosdam occiderunt, quosdam etiam captivos abduxerunt. Bulgari qui traiicere non potuerunt, res a Macedonibus gestas annuntiaturi, ad Hungaros deflexerunt. interim navigia ab imperatore missa captivosque susceptura, ut in urbem deveherent, appulerunt, et una pariter Hunni numero infiniti adventare visi sunt. Macedones iis conspectis cum lacrimis vociferabantur, dicentes "deus sancti Adriani, succurre nobis;" et ad belli pugnam se praepararunt. Turci vero dicebant "supellectilem omnem vestram tradite, et quo desideratis abite." non consenserunt illi, verum diebus continuis tribus ad praelium parati consistebant: quarta vero navigia conscenderunt. eo cognito Turci ab hora diei quinta ad vesperam usque praelium inierunt, eorumque gens fugantibus Macedonibus terga dedit. insequenti die discessum illis aggredientibus, Hunni rursum ad praelium dispositi apparuerunt. Macedonum vero quidam nomine Leo, ex Gemostorum genere, qui deinde hetaeriarches fuit, sumptis animis se opposuit; adiunctique alii Macedonum prae-

Μακεδόνων ἔτρεψαν αὐτοὺς καὶ ἐξήλασαν, καὶ ὑποστρέψαντες εἰσῆλθον εἰς τὰ πλοῖα, καὶ ἀπεσώθησαν πρὸς τὸν βασιλέα, καὶ φιλοτιμηθέντες παρ' αὐτοῦ ὑπέστρεψαν εἰς τὴν Μακεδονίαν, εἰς τὴν ἰδίαν χώραν. ἦν δὲ τότε Βασίλειος νεανίας ἐκ τῆς αἰχμαλωσίας ἐλθών· ἐποίησε δὲ ἐν τῇ αἰχμαλωσίᾳ ἐπὶ Λέοντος τοῦ βασιλέως καὶ Μιχαὴλ τοῦ Ἀμορραίου, καὶ D *εἰσῆλθεν ἐπὶ Θεοφίλου τοῦ βασιλέως, ὡς εἶναι τὰ ἔτη αὐτοῦ ἔτη εἴκοσι πέντε. ἀποκατασταθεὶς δὲ ἐν τῇ ἰδίᾳ χώρᾳ προσεκολλήθη δουλεύειν στρατηγῷ Μακεδονίας τῷ ἐπιλεγομένῳ Τζάντζῃ, καὶ μηδὲν παρ' αὐτοῦ ὠφεληθεὶς μέχρι τῆς Χρυσῆς πόρτης. εἰσελθὼν δὲ κεκοπιασμένος ἀπὸ τῆς ὁδοιπορίας (κυριακὴ γὰρ ἦν, καὶ ὁ ἥλιος πρὸς δυσμὰς) ἀνεκλίθη ἐν τῷ πεζουλίῳ τοῦ ἁγίου Διομήδους· καθολικὴ γὰρ ἦν τότε ἡ ἐκκλησία, ἔχουσα προσμονάριον ὀνόματι Νικόλαον. τῇ δὲ νυκτὶ ἐκείνῃ ἐκάλεσεν θεία φωνὴ τὸν προσμονάριον, λέγουσα "ἐγερθεὶς εἰσάγαγε εἰς τὸ εὐκτήριον τὸν βασιλέα." ὁ δὲ ἐγερθείς, οὐδένα εὗρας πλὴν αὐτὸν τὸν Βασίλειον κείμενον* P. 460 *ὡς πένητα, καὶ ἐπιστραφεὶς ἔκλεισεν τὸν πυλῶνα καὶ ἀνέπεσεν. καὶ εὐθέως μετὰ ῥομφαίας τις δέδωκεν αὐτῷ εἰς τὴν πλευρὰν αὐτοῦ, λέγων "ἔξελθὼν εἰσάγαγε ὃν βλέπεις ἔξωθεν τοῦ πυλῶνος κείμενον· οὗτός ἐστιν ὁ βασιλεύς." ἐξελθὼν οὖν μετὰ σπουδῆς σύντρομος, καὶ εὑρὼν Βασίλειον μετὰ τῆς πήρας καὶ τῆς ῥάβδου εἰσήγαγεν ἔσωθεν τῆς ἐκκλησίας. καὶ τῇ δευτέρᾳ*

cipui adversarios in fugam verterunt, et impetum in eos fecerunt, ac tandem reversi naves, imperatorem adituri, repetierunt incolumnes, et humane ab eo recepti in Macedoniam patriam sibi propriam regressi sunt. erat autem Basilius aetate iuvenili florens, e captivitate redux, in qua Leonis imperatoris et Michaelis Amorii toto tempore permansit, et Theophilo imperante rediit; adeoque anni eius numerabantur viginti quinque. patriae propriae restitutus Macedoniae duci, cognominato Tzantzi, obsequium redditurus adhaesit; a quo nihil lucratus urbis regiae experiri cupiens ubertatem, ad eam profectus est, et ad Chrysen usque portam pervenit. ex itinere porro fatigatus (erat autem dominica dies, et iam sol ad occidentem vergebat) recubuit in exedra ad S. Diomedis. erat templum illud aedes sacra publica, viris et mulieribus communis, quae mansionarium nomine Nicolaum habebat. nocte illa mansionarium appellavit divina vox, dicens "exurgens induc imperatorem in oratorium." ille strato relicto praeter Basilium pauperum more iacentem nullum reperit, regressusque valvas occlusit et recubuit. protinus ictum gladio impegit quidam ad latus, dicens "egressus introduc quem vides extra ianuam iacentem: hic est imperator." egressus ille festinus ac tremens Basilium, cum pera et ba-

τὰ Ἀσηκρητία κρατῶν τὰς ἀναφορὰς εἰσῆλθεν εἰς τὸ Λαυσιακόν· καὶ περιβλεψάμενος εἶδεν Βάρδαν καθεζόμενον ἔμπρα-
B κτον. καὶ ταραχθεὶς σφοδρῶς ἔφη ὅτι ἐγὼ εἰσελθὼν εἰς τὴν Αὐγούσταν πάλιν ἐκδιώκω αὐτόν. εἰσελθόντος δὲ αὐτοῦ εἰς τὸ ὡρολόγιον προϋπήντησεν αὐτῷ Μιχαὴλ ἅμα Δαμιανῷ, καὶ οὐκ εἴασεν εἰσελθεῖν πρὸς Θεοδώραν, ἀλλ' ἐκελεύσθη μετ' ὀργῆς ἀνοῖξαι τὰς ἀναφορὰς καὶ ἀναγνῶναι ἔμπροσθεν αὐτῶν· καὶ ἄκοντα τοῦτο ποιήσαντα ἀντέστρεψεν αὐτὸν εἰς τοὐπίσω ἐξελθεῖν. ὁ δὲ πικρῶς δακρύων καὶ ὀλοφυρόμενος ἐξῆλθεν. συνήντησε δὲ αὐτῷ Βάρδας κατὰ τὸ Λαυσιακόν, καὶ ἤρξατο κατὰ κόρρης παίειν αὐτὸν καὶ τίλλειν τὰς τρίχας αὐτοῦ. ἰδὼν δὲ ὁ δρουγγάριος τῆς βίγλας ὁ Μανιάκης ἀναστὰς ἀντέλεγεν
C τῷ Βάρδᾳ μὴ τύπτειν τὸν λογοθέτην. ὁ δὲ Βάρδας ἀποκριθεὶς κελεύσει τοῦ βασιλέως τοῦτο ποιεῖν. ἀνεφάνη δὲ καὶ ὁ βασιλεὺς τῇ βουλῇ τοῦ Δαμιανοῦ, καὶ τοῦτον ἰδὼν Βάρδας ἅμα τῷ Θεοφάνῃ τῷ Φαλγάνῳ, ἅραντες τὸν λογοθέτην σφάζουσιν αὐτὸν καὶ μεληδὸν κατακόπτουσιν εἰς τὰ Σκύθα. τοῦτο μαθοῦσα παρὰ τοῦ παπίου Θεοδώρα, ἐξελθοῦσα κατὰ τοῦ Μιχαήλ, ὡς εἰκός, ἠγανάκτησεν· καὶ τοῦ βασιλέως παντὶ τρόπῳ μηχανωμένου τὴν μητέρα ἐξιλεώσασθαι, αὕτη ἀπαρηγόρητος ἔμεινεν, μήτε τὴν ὀργὴν ὑφιεμένη μήτε παραμυθουμένη τισίν. ὅθεν μεταβαλὼν ὁ βασιλεύς, ὥσπερ τὴν ψυχὴν καὶ τὴν γνώμην, οὕτω δὴ καὶ τὸ σχῆμα καὶ τὴν ἐνέργειαν, τοσούτοις

ut solebat, deinde in Secretum se recipiens, relationum libellos manibus tenens Lauziacum ingressus est, et hinc inde circumspiciens Bardam sedentem et sumptuose vestitum vidit; vehementerque turbatus dixit "ingressus ad Augustam rursus hominem eiiciam et deturbabo. "ei vero ad horologium progresso Michael cum Damiano venit obviam, nec ad Theodoram ingredi permisit, sed libellos aperire et coram legere cum furore imperavit. id vero exequentem domum regredi et retro abire praecepit. ille amare flens et eiulans discessit ad Lauziacum. porro Bardas occurrit, colaphisque ad genas incessere et capillos eius vellere. eo conspecto drungarius excubiarum Maniaces Bardae assistebat, et ne logothetam percuteret in adversum monebat. Bardas imperatoris iussu id se facere respondit. tunc imperator ex Damiani consilio in medium se protulit, eoque viso una cum Theophane Phalgano logothetam hinc inde impetitum ad Scyla occisum membratim minutimque dividunt. quod cum a papia didicisset Theodora, progressa adversus Michaelem, prout aequum erat, indignata est; et imperatore modis omnibus placare moliente, nullum ipsa solamen admisit, neque iram relaxavit aut leniit dolorem; ex quo imperator in alium mutatus, ut priorem animum et consi-

τρόποις λυπεῖν αὐτὴν κατηπείγετο ὅσοις πρὸ τούτου θεραπεύειν D
ἐσχηματίζετο. καὶ δὴ τὰς μὲν ἀδελφὰς αὐτοῦ Θέκλαν Ἀνα-
στασίαν καὶ Ἄνναν ἐξωθεῖ τοῦ παλατίου, καταγαγὼν εἰς τὰ
Καριανοῦ, Πουλχερίαν δὲ ὡς ἠγαπημένην τῇ μητρὶ ἀπέστει-
λεν ἐν τῇ μονῇ τῶν Γαστρίων· εἶθ' οὕτω μετ' ὀλίγον ἑνώσας
πάσας ἐν τῇ μονῇ τῶν Γαστρίων ἀπέκειρεν. ὑπὸ δὲ τῆς συγ-
κλήτου πάσης εὐφημισθεὶς μόνος αὐτοκρατορεῖ, καὶ προβάλ-
λεται Βάρδαν μάγιστρον καὶ δομέστικον τῶν σχολῶν. μὴ
διαλλαττομένης δὲ τῆς μητρὸς αὐτοῦ ἔχθρα ὑπῆρχεν ἀναμε-
ταξὺ αὐτῶν ἄσπονδος. ὁ δὲ αὐτὴν καταγαγὼν εἰς τὸ μονα-
στήριον τὸ οὕτω τὰ Γαστρία καλούμενον ἀπέστειλεν, ἥτις
ἀθυμίᾳ μετεωρισθεῖσα τὸν νοῦν ἀναξίαν ἑαυτὴν συσκευάζει
βουλὴν κατὰ Βάρδαν, βουλομένη σὺν πολλῶν καὶ ἄλλοις κοι- P. 462
νωνὸν καὶ τοῦ βασιλέως τὸν πρωτοστράτορα ὅπως ὑποστρέ-
φοντα Βάρδαν ἀπὸ τοῦ προαστείου αὐτοῦ ἀναιρήσωσιν αὐ-
τόν. ὧν ἡ μελέτη πρὸ τοῦ ἔργου φανερωθεῖσα κατ' αὐτῶν
ἐκείνων τῶν μελετησάντων τὸ κακὸν ἐξενήνοχεν· φωραθέντες
γὰρ καὶ κατασχεθέντες ἐν τῇ Σφενδόνῃ τὰς κεφαλὰς ἀπετμή-
θησαν. καὶ προβάλλεται τὸν Βασίλειον Μιχαὴλ ἀντὶ τοῦ τε-
λευτήσαντος πρωτοστράτορα, ὁμοίως καὶ Βάρδαν θεῖον αὐτοῦ
κουροπαλάτην. ἔπεσε δὲ τότε κόνις ἐκ τοῦ οὐρανοῦ κατενε-
χθεῖσα ἐπὶ τοὺς κεράμους αἱματώδης πλήρης. καὶ πολλοὶ

13. βουλευομένη? 19. βασιλέα P

lium, ita corporis habitum factaque nova induit, ut tot modis eam contristare contenderet, quot rationibus eam colere prius simularet. ac sorores quidem suas, Theclam Anastasiam et Annam, ad Cariani aedes deductas palatio eiicit: Pulcheriam velut matri dilectam in Gastriorum monasterium delegavit. paulo post vero cunctas in unum collectas in eodem Gastriorum monasterio in monachas detondit. a senatu deinde faustis acclamationibus exceptus imperium nullo consorte solus gessit, et Bardam magistrum scholarumque domesticum instituit. cum matre vero nondum reconciliata inimicitiae intercesserunt perpetuae. ipse aula eiectam in monasterium, cui Gastria nomen, demisit. ipsa animi moerore extra se facta et abrepta, propositum matre indignum induit; et adversus Bardam cum pluribus consilium iniit, cuius participes et alios fecit et imperatoris protostratorem, ut nimirum Bardam e suburbano redeuntem interimerent. consilium, antequam perficeretur opere in lucem detectum, in caput eorum qui facinus fuerant meditati periculum transtulit, in suspicionem siquidem venientes et comprehensi ad Circi metam capitibus truncati sunt. imperator vero demortui vice Michaelem protostratorem instituit, Bardamque pariter avunculum curopalatem. tunc temporis pul-

τοῦ ἐπαίνων καὶ ὀργισθεὶς τυπτόμενον καὶ συρόμενον ἐξήγαγεν τὸν πτωχομάγιστρον.

Φήμης δὲ διαθεούσης περὶ Βάρα Καίσαρος ὅτι τῇ νύμφῃ αὐτοῦ συμφθείρεται, τοῦτο ἀκούσας Ἰγνάτιος ὁ πατριάρχης πολλάκις παρῄνεσεν αὐτὸν ἀποσχέσθαι τοῦ τοιούτου μιάσμα-5 τος καὶ μὴ πρόσκομμα εἶναι πολλῶν τὸν ἀρετῆς ὑπόδειγμα καὶ σώφρονος βίου εἶναι ὀφείλοντα. ὁ δὲ μὴ πειθόμενος ἐνεῖχε τῷ πατριάρχῃ. καὶ δή ποτε μέλλοντος κοινωνεῖν τὸν Βάρδαν ὁ πατριάρχης ἀπώσατο ὡς μὴ πειθόμενον κανόσιν ἢ
B παραινέσεσιν· ὃς ὀργῇ πληγεί, τὴν ψυχὴν τὴν παραινέτην 10
46 ὡς ἄνομόν τινα καὶ φθορέα τῆς ἐκκλησίας ἐξέωσεν καὶ βασάνοις ἀπείροις καὶ ἀνημέροις ὑπέβαλεν, ὥστε ποιῆσαι παραίτησιν. τοῦ δὲ μὴ πεισθέντος Φώτιον πατριάρχην ἀντ' αὐτοῦ χειροτονεῖ, πρωταρηκρῆτιν ὄντα κατ' ἐκεῖνο καιροῦ καὶ λογιώτατον πάνυ. 15

Ὁ δὲ βασιλεὺς ἐπεστράτευσεν κατὰ τῶν Ἀγαρηνῶν, καταλιπὼν ἐν τῇ πόλει ταύτῃ φυλάττειν Ὡορύφαν ὕπαρχον ὄντα, ὅστις οὔπω τοῦ βασιλέως οὐδὲν ἐξ ὧν ἐμελέτα καὶ κα-
C τὰ νοῦν εἶχεν κατεργασαμένου, τὴν τῶν ἀθέων Ῥῶς ἐμήνυσεν ἄφιξιν, γεγενημένους ἤδη κατὰ τὸν μαῦρον ποταμόν. καὶ 20
47 ὁ μὲν βασιλεὺς καὶ τῆς ἐχομένης ἐπεσχέθη ὁδοῦ, καὶ δι' ἣν ταύτην ἀφῆκεν, οὐδὲν βασιλικὸν καὶ γενναῖον εἰργάσατο· οἱ

posteritati te futurum asseris." ille laudibus quas ex eius ore venabatur frustratus, accensus ira verberatum et per vim tractum pauperem magistrum conspectu expulit.

Rumore vero per urbem sparso Bardam Caesarem cum nuru propria corruptam tenere consuetudinem, eoque ad patriarcham delato, Ignatius, ut hoc scelere abstineret, frequentius admonuit, ne plurimis offendiculum praeberet, qui virtutis et omnis temperantiae exemplo esse debuerat. ille autem patriarchae morem non gessit. ad communionem igitur Bardam certo tempore accedentem repulit patriarcha, ceu qui canonibus et monitis non obtemperaret. hic irae plaga percussus animum, monitionem velut sceleratum et morum corruptorem ecclesia eiecit, infinitisque vexationibus et tormentis crudelibus subiecit, adeo ut dignitate se abdicaret. Ignatio resistente, loco ipsius Photium secretariorum ducem, virum eius temporis eruditissimum, patriarcham ordinari curat.

Porro imperator Oorypha praefecto, ut eam custodiret, in urbe relicto, adversus Agarenos expeditionem suscepit. Ooryphas imperatori nondum longe posito, neque eorum quae meditabatur et in mente habebat quidquam executo, impiorum Russorum ad Nigrum fluvium profectorum adventum nuntiat. imperator arreptae viae poenitens

δὲ Ῥῶς φθάσαντες ἔνδον τοῦ Ἱεροῦ πολὺν εἰργάσαντο φθόρον Χριστιανῶν καὶ ἀθῶων αἷμα ἐξέχεον. ὑπῆρχον δὲ πλοῖα διακόσια, ἃ περιεκύκλωσαν τὴν πόλιν καὶ πολὺν φόβον τοῖς ἔνδοθεν ἐνεποίησαν. ὁ δὲ βασιλεὺς καταλαβὼν μόλις ἴσχυσεν διαπερᾶσαι, καὶ δὴ σὺν τῷ πατριάρχῃ Φωτίῳ εἰς τὸν ἐν Βλαχέρναις ναὸν τῆς τοῦ θεοῦ μητρὸς παρεγένοντο κἀκεῖ τὸ θεῖον ἐξιλεοῦνται. εἶτα μεθ' ὑμνῳδίας τὸ ἅγιον ἐξαγαγόντες τῆς θεοτόκου ὠμοφόριον τῇ θαλάσσῃ ἄκρῳ προσέβαλον. καὶ νη- P. 464
νεμίας οὔσης εὐθὺς ἀνέμων ἐπιφορὰ καὶ τῆς θαλάσσης ἠρεμούσης κυμάτων ἐπαναστάσεις ἀλλεπάλληλοι ἐγεγόνεισαν, καὶ τὰ τῶν ἀθέων Ῥῶς πλοῖα κατεάγησαν, ὀλίγων ἐκπεφυγότων κίνδυνον.

Βάρδα δὲ τοῦ Καίσαρος ἐν τῇ προελεύσει διερχομένου μετὰ σκαραμαγγίου ὀξέος εἰς τὸ ὡρολόγιον, καθεζόμενος ἐκεῖσε Δαμιανὸς πατρίκιος καὶ παρακοιμώμενος οὐκ ἐπηγέρθη τιμῆσαι αὐτόν. τοῦτον ἰδὼν ὁ Καῖσαρ ἐθυμώθη λίαν· καὶ εἰσελθόντος αὐτοῦ εἰς τὸ Χρυσοτρίκλινον καὶ συγκαθεσθέντος τῷ βασιλεῖ καὶ δακρύοντος ἀπὸ ὀργῆς καὶ θυμοῦ, ἠρώτησεν τὴν αἰτίαν ὁ βασιλεύς. ὁ δὲ ἔφη ὅτι τῇ κελεύσει τῆς βασι- B
λείας σου ἠξιώθην τιμῆς μεγάλης, Δαμιανὸς δὲ εἰς σὸν ὄνειδος καὶ τῆς σῆς βασιλείας οὐκ ἐπηγέρθη μοι ἐπὶ τῆς συγκλήτου. θυμωθεὶς δὲ ὁ βασιλεὺς Μαξιμιανόν τινα κοιτωνίτην

expeditionem remittit, nihil regium vel generosum exbcutus. Russi Hierum usque penetrantes plurimam Christianorum caedem ediderunt et innoxium effuderunt sanguinem. erant illis navigia ducenta, quibus urbem circumdederunt et civibus terrorem incusserunt ingentem. urbem versus appellens imperator vix potuit pertransire et ingredi, et exinde cum patriarcha Photio ad sanctae dei genitricis templum Blachernense accessit, ubi divinum numen placare contendunt. deinde cum hymnorum cantibus sacram deiparae vestem efferentes, extremo maris littori eam admoverunt; magnaque prius data aëris tranquillitate, confestim ventorum impetus vehemens excitatus, et in mari prius pacatissimo fluctuum insultus ad invicem facti sunt ingentes, adeo ut impiorum Russorum navigia confringerentur, paucis eorum periculo ereptis.

Bardae vero Caesari celebri processu delato, et violacei coloris scaramangio induto, Damianus patricius et accubitor, ad horologium sedens, honorem exhibiturus, non assurrexit. eo viso Caesar ira exc anduit, deauratumque triclinium ingressus, et ad imperatorem considens, ex maerore et furore lacrimis perfusus est. causam imperatori roganti dixit ille "mihi imperii tui iussu dignitate magna proveeto Damianus contemptum et imperio tuo probrum illaturus senatu

παρευθὺς προστάσσει ἆραι Δαμιανὸν καὶ ἐν τῷ ἐμπορίῳ τοῦ ἁγίου Μάμαντος ἀπαγαγεῖν, καὶ τοῦτον ἀποκεῖραι πρῶτον, καὶ εἶναι ἐν φρουρᾷ· καὶ τῇ αὐτῇ ἡμέρᾳ προβάλλεται τὸν πρωτοστράτωρα Βασίλειον παρακοιμώμενον. ἐζηλοτύπησεν δὲ Καῖσαρ τοῦτο ἀκούσας, καὶ ἔκτοτε ἐζήτει ἀποκτεῖναι Βασίλειον. ἐχώρισεν Βασίλειον Μιχαὴλ τῆς ἰδίας γυναικὸς Μαρίας, δεδωκὼς αὐτῷ γυναῖκαν Εὐδοκίαν τὴν Ἰγγιρίναν, διορισάμενος
49 αὐτῷ κυρίαν αὐτὴν ἔχειν· ἦν γὰρ αὐτὴ τοῦ βασιλέως παλλακὴ
C καὶ πάνυ ἠγάπα αὐτὴν ὡς εὐπρεπῆ. τὴν δὲ πρώτην αὐτοῦ γυναῖκα Μαρίαν δοὺς χρυσίον καὶ ἄλλα τινὰ ἀπέστειλεν ἐν Μακεδονίᾳ εἰς τὰ ἴδια. Θέκλαν δὲ τὴν ἰδίαν ἀδελφὴν προσήρμοσεν τοῦ ἔχειν αὐτὴν ἰδίως. ἔκτοτε δὲ ὑπεβλέποντο ἀλλήλους ὅ τε Καῖσαρ καὶ ὁ Βασίλειος, ζητοῦντες πῶς ἕτερος τὸν ἕτερον ἀνέλῃ. ἰδίως δὲ ἐλοιδόρει ὁ Βασίλειος τὸν Καίσαρα ὡς κατ' αὐτοῦ μελετῶντα. ὁ δὲ Βασίλειος σπεύδων
D πληροφορῆσαι τὸν βασιλέα συμφιλιοῦται Συμβατίῳ πατρικίῳ καὶ λογοθέτῃ τοῦ δρόμου, γαμβρῷ δὲ Καίσαρος, καὶ δι' ὅρκων ἐβεβαιώσαντο ἀλλήλους ἐν ὁμονοίᾳ καὶ διηνεκεῖ ἀγάπῃ εἶναι. ἐπληροφόρησε δὲ καὶ Συμβάτιον Βασίλειος δι' ὅρκων φρικτῶν, ὡς τοῦ βασιλέως ἀγάπην πολλὴν ἔχοντος πρὸς σέ, καμοῦ σπουδάζοντος τὰ ὑπὲρ σοῦ, μελετᾷ μὲν προβαλέσθαι σε Καίσαρα, ἀλλὰ διὰ τὸν πενθερόν σου ἀδυνατεῖ τοῦτο ποιῆ-

3. τὸν om P 21. προβάλλεσθαι?

comitatuque praesente non assurrexit." iratus imperator Maximianum quondam cubicularium Damianum tollere et ad S. Mamantis emporium abductum detondere et in custodiam mittere confestim iubet; eodemque die Basilium protostratorem in accubitorem evehit. hoc audito Caesar invidit, et ab eo momento Basilium occidere meditabatur. Michael autem Basilium cum uxore Maria divortium inire coëgit, data ei Eudocia Ingerina, et dominam germanamque coniugem habere iussit. erat quippe imperatoris pellex, et ab eo ceu venustate praestans dilecta. priori vero eius uxori Mariae certo auri pondere et aliis quibusdam collatis, in Macedoniam ad parentes remisit. Theclam vero propriam sororem sibi ascivit, ut eam privatim haberet. ab eo tempore inter se dissidentes, et sinistrum aliquid alter de altero suspicantes Caesar et Basilius, quomodo alter alterum perderet, quaerebant: privatim vero Basilius Caesarem quasi adversum se machinantem conviciabatur. Basilius imperatorem sibi conciliare meditatus, cum Symbatio patricio et cursus publici logotheta Caesarisque genero amicitiam iniit; et datis iuramentis consensum perpetuum et foedus inviolabile inter se habituros promiserunt. certiorem autem reddidit Basilius Symbatium, horrendis iuramentis asserens "te

σαι. ὁ δὲ ἀπατηθεὶς τοῖς ὅρκοις τοῦ Βασιλείου γέγονε κατὰ τοῦ Καίσαρος Βάρδα τοῦ ἰδίου πενθεροῦ, καὶ εἰσελθὼν εἰς τὸν βασιλέα ἐξωμόσατο πληροφορήσας αὐτὸν ὡς ὁ Καῖσαρ βούλεταί σε ἀνελεῖν, ἐξειπὼν καὶ τὰ τῆς βουλῆς. ὁ δὲ βασιλεὺς τοῖς ὅρκοις τοῦ Συμβατίου πεισθεὶς καὶ τοῖς λόγοις τοῦ Βασιλείου βεβαιωθεὶς ἐνδομύχει κατὰ τοῦ Καίσαρος. εἰδὼς δὲ Βασίλειος ὅτι πάντα καλῶς κατὰ τοῦ Καίσαρος συνεσκεύαστο, ἐν τῇ πόλει μὴ δυνάμενος τοῦτο ποιῆσαι, πείθει τὸν βασιλέα κινῆσαι στόλον καὶ στρατὸν κατὰ τῆς Κρήτης. τούτου δὲ γενομένου Λέων ὁ φιλόσοφος Βάρδαν Καίσαρα παρῄνει ὑποστέλλεσθαι καὶ συντηρεῖν ἑαυτὸν ἀπὸ Βασιλείου· ὁ δὲ Καῖσαρ τὸν βασιλέα πάλιν ἐπεφωνεῖτο φείδεσθαι τοῦ Βασιλείου. γενομένης δὲ τῆς προελεύσεως εἰς τὰ Χαλκοπράτια τοῦ εὐαγγελισμοῦ, καὶ τῆς εἰσόδου γενομένης, καὶ τοῦ εὐαγγελίου τελεσθέντος, ἀνῆλθεν ὅ τε πατριάρχης Φώτιος καὶ ὁ βασιλεὺς σὺν τῷ Καίσαρι καὶ Βασιλείῳ παρακοιμωμένῳ ἐν τοῖς κατηχουμένοις, τοῦ πατριάρχου ἐπὶ χεῖρας ἔχοντος τὸ τίμιον σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ βάψαντες ὅ τε βασιλεὺς καὶ ὁ Βασίλειος τοὺς τιμίους ὑπέγραψαν σταυρούς, ὅρκῳ βεβαιοῦντες τὸν Καίσαρα ἀφόβως ἐξελθεῖν μετ' αὐτῶν ἐν τῷ ταξειδίῳ. φανερῶς γὰρ Λέων ὁ φιλόσοφος παρηγγυᾶτο τῷ Βάρδᾳ μὴ ἐξελθεῖν σὺν αὐτοῖς· ἐξερχόμενον γὰρ ἔλεγεν μὴ P. 465 B 50 51

plurimum diligit imperator, neque pro te semper sollicito Caesarem te creare cogitat, sed soceri tui ratione nequit hoc exequi." ille Basilii iuramentis deceptus Bardae Caesari socero proprio adversarius factus est; et ad imperatorem accedens iuramentis adhibitis suasit "Caesar interficere te consiliatur," et coniurationis ordinem aperuit. imperator ergo Symbatii iuramentis ductus, Basiliique testimonio confirmatus, secretas in Caesarem moliebatur insidias. Basilius cuncta contra Caesarem probe instructa cognoscens, seque quod paraverat in urbe non posse exequi, adversus Cretam classem et exercitum movere suadet imperatori. dum haec aguntur, Leo philosophus Bardam Caesarem monet ut se subduceret et a Basilio sibi caveret. Caesar in adversum imperatorem obtestabatur parce Basilio uteretur. annuntiationis autem festo ad ecclesiam, quae est in Chalcopratiis, processu facto, peracto ingressu et evangelio lecto, Photius patriarcha et imperator cum Caesare et Basilio accubitore ad catechumena conscenderunt; et patriarcha pretiosum corpus et sanguinem domini nostri Iesu Christi manibus tenente, calamum intingentes imperator et Basilius, venerandis crucibus appositis, subscripserunt iuramento, Caesari affirmantes eum cum ipsis profectionem sine periculo posse capessere: Leo quippe philosophus Bardam manifeste obtestabatur, ne expeditionis

ὑποστρωφῆναι. ἀπὸ δὲ τῆς ἑορτῆς τοῦ ἁγίου πάσχα ἀπύρας ὁ βασιλεὺς μετὰ πολλοῦ στρατοῦ κατέλαβεν ἐν τῷ θέματι τῶν Θρᾳκησίων. ἀπληκευσάντων δὲ αὐτῶν εἰς κήπους, Βασίλειος παρακοιμώμενος βουλὴν ἐποιεῖτο ἀνελεῖν Καίσαρα. ὑπῆρχον δὲ ἐν τῇ βουλῇ Μαριανὸς ὁ ἀδελφὸς αὐτοῦ καὶ 5
C Πέτρος ὁ Βούλγαρος καὶ Ἰωάννης ὁ Χαλδίας καὶ Κωνσταντῖνος ὁ Τοξαρᾶς. Ἰωάννης δὲ ὁ Νεατοκόμητος διέγνω ταῦτα, καὶ κατελθὼν εἰς τὴν τοῦ Καίσαρος τένταν ἡλίου δύναντος καὶ συντυχὼν Προκοπίῳ πρωτοβεστιαρίῳ τοῦ Καίσαρος διεβεβαιοῦτο αὐτῷ ὅτι αὔριον μεληδὸν κατακόπτεται ὁ δεσπό- 10
της ὑμῶν Καῖσαρ. ὁ δὲ εἰσελθὼν ἀνήγγειλε ταῦτα τῷ Καίσαρι. ὁ δὲ Καῖσαρ ταῦτα ἀκούσας εἶπεν Προκοπίῳ "ἄπελθε, εἰπὲ τῷ Νεατοκόμητι· τὰ ζιζάνια ταῦτα σὺ διεγείρεις." ὄρθρου δὲ βαθέος τοὺς αὐτοῦ πάντας προσκαλεσάμενος διεσάφησεν τὰ λαληθέντα αὐτῷ, βουλὴν ἐπιζητῶν παρ' αὐτῶν. 15
D Φιλόθεος δὲ πρωτοσπαθάριος καὶ γενικός, προσφιλὴς αὐτοῦ
52 ὤν, εἶπεν τῷ Καίσαρι "αὔριον, ὦ δέσποτα, περιβαλοῦ τὸν χρυσοπέρσικόν σου χιτωνίσκον, καὶ ὄφθητι τοῖς ἐχθροῖς σου, καὶ ἀπὸ προσώπου σου φεύξονται." τοῦ ἡλίου δὲ ἀνατείλαντος ἵππῳ ἐπιβὰς παρεγένετο πρὸς τὴν κόρτην τοῦ βασιλέως 20
μετὰ στολῆς λαμπρᾶς. Κωνσταντῖνος δὲ ὁ Τοξαρᾶς τῇ βουλῇ Βασιλείου προϋπήντησε προσκυνήσας αὐτόν, καὶ ἐμήνυσε Βασιλείῳ τὴν αὐτοῦ ἔλευσιν. Βασίλειος δὲ ἐξελθὼν προσεκύνη-

comes abiret: egressum enim semel non rediturum praedicebat. sacro vero paschatis festo cum exercitu copioso solvens imperator ad Thracensium thema se contulit: classe autem ad locum cui Horti nomen appellente, Basilius accubitor Caesarem occidere meditabatur. aderant consilio Marianus eius frater, Petrus Bulgarus, Ioannes Chaldius et Constantinus Toxaras: Ioanni vero Neatocomiti consilium innotuit. is veniens ad Caesaris tentorium occidente sole, et Procopio Caesaris protovestiario factus obviam, affirmabat "dominus noster Caesar postero mane membratim concidendus est." ingressus ille nuntiavit Caesari. Caesar his auditis Procopio dixit "abi, dic Neatocomiti: haec zizania tu ipse dissemi'nas." summo vero diluculo iisdem omnibus congregatis, quae nuntiata fuerant, manifestavit et de illis consilium expetiit. Philotheus protospatharius et generalis, fidelis eius amicus, dixit Caesari "crastina die, o domine, aurei et Persici coloris vestimento induere, et inimicis tuis coram appare: a facie tua illi fugient." sole itaque exoriente, conscenso equo, ad imperatoris comitatum veste splendida fulgens accessit. moxque Constantinus Toxaras Basilii consilio morem exhibiturus venerabundus procubuit, et eius adventum Basilio significavit. Basilius pariter progressus Cae-

fide se pro invicem commorituros, cum universis copiis in Bulgaros irruperunt. praeerant autem excubiti turmae Ioannes Grapson, Icanato Marulis filius: Romanus autem Argyrus et Leo eius frater et Bardas Phocas, quibus aderat Melias cum Armeniis et aliorum thematum praefecti, totum exercitum ducebant. una cum aliis Constantinus etiam patricius Libs Leoni domestico iunctus erat, datus negotiorum omnium consiliarius. mensis itaque Augusti die vicesimo, indictione quinta, ad Acheloum fluvium Bulgaros inter et Romanos bellum commissum est, et ut se habent dei iudicia, quae omnino inscrutabilia et impervestigata, Romanorum copiae omnes in fugam vertuntur. facta est, inquam, fuga et ululatus horrore plenus, aliis alios conculcantibus, plurimis etiam ab hostibus interfectis, eaque strages hominum edita qualis a saeculo nusquam audita est. Leo domesticus Mesembriam fugiens salutem nactus est, Constantinus autem Libs et Ioannes Grapson et procerum alii quam plurimi interfecti sunt. eodem tempore Romanus patricius et navalis drungarius cum omni classe ad Danubium fluvium, Leoni Phocae suppetias laturus, missus est. Romano vero et Ioanne Badae filio in contentiones et

των, ὁρῶντες ἑαυτοὺς οἱ Πατζινάκοι πρὸς ἀλλήλους διαμαχομένους καὶ στασιάζοντας, ὑπεχώρησαν εἰς τὰ ἴδια. τοῦ δὲ πολέμου τέλος λαβόντος καὶ ὑποστρεψάντων ἐν τῇ πόλει τοῦ τε Ῥωμανοῦ καὶ τοῦ Βαγᾶ τὰ κατ' αὐτῶν ἐκινήθη, καὶ εἰς τοσοῦτον κίνδυνον τὸν δρουγγάριον Ῥωμανὸν περιέστησαν,

C *ὥστε καταδικάζουσαν ψῆφον ἀνήνεγκαν τῶν ὀφθαλμῶν στερηθῆναι, ὡς ἀμελείᾳ, μᾶλλον δὲ κακουργίᾳ μὴ διαπεράσαντα τοὺς Πατζινάκους, ἀλλ' ὑποχωρήσαντα τάχιον, καὶ μηδὲ τοὺς φεύγοντας Ῥωμαίων ἐν τοῖς πλοίοις ὑποδεξάμενον. καὶ τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ παρὰ Κωνσταντίνου τοῦ Γογγύλη καὶ Στεφάνου μαγίστρου, ὡς δυναμένων παρὰ τῇ Αὐγούστῃ, τὰ τῆς καταδίκης ἀνετράπη. τῶν δὲ Βουλγάρων τῇ νίκῃ κατεπαρθέντων καὶ ἐκστρατευσαμένων μέχρι τῆς πόλεως ἐξῆλθε Λέων δομέστικος τῶν σχολῶν καὶ Ἰωάννης ἑταιριάρχης καὶ Νικόλαος υἱὸς τοῦ δουκὸς εἰς χῶρον Θρᾳκῷον, οὕτω λεγόμε-*

D *νον Κατασύρτας, ἅμα πλείστῳ λαῷ κατὰ Βουλγάρων. τῇ δὲ νυκτὶ ἀδοκήτως ἐπιπεσόντων αὐτοῖς τῶν Βουλγάρων καὶ τοῦ δομεστίκου φυγόντος ἐσφάγη ὁ Νικόλαος ὁ υἱὸς τοῦ δουκὸς καὶ πολλοὶ ἕτεροι μετ' αὐτοῦ. Θεόδωρος οὖν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς ὁρῶν Κωνσταντῖνον παρακοιμώμενον εἰς Λέοντα τὸν ἴδιον γαμβρὸν τὴν βασιλείαν σφετεριζόμενον, ὑπέθηκεν Κωνσταντίνῳ βασιλεῖ Ῥωμανὸν δρουγγάριον προσλαβέσθαι ὡς πατρικὸν αὐτοῦ δοῦλον καὶ εὔνουν τὰ πρὸς*

verborum pugnas lapsis, Patzinaces illos inter se divisos et disceptantes conspicati ad propria redierunt; bellumque eiusmodi finem consecutum est. Romano vero et Baga in urbem reversis, de eorum dissidio quaestio mota est; et in illud periculi drungarium Romanum adduxerunt, ut adversam privationis oculorum sententiam in eum tulerint, quasi eius incuria, magis autem animi pravitate non traiecissent Patzinaces, ac licet fuga non fuissent usi, sensim tamen subduxissent se, quod navigiis eos non recepisset. multam vero fuisset passus, nisi a Constantino Congyle et Stephano magistro plurima apud Augustam auctoritate pollentibus in contrarium versa esset sententia. Bulgaris tunc victoria elatis et ad urbem usque copias educentibus, obviam processit scholarum domesticus Leo et Ioannes hetaeriarcha et Ducis filius Nicolaus ad eam Thraciae regionem cui nomen Catasyrtas, una cum copioso exercitu adversus Bulgaros instructo. nocte autem ex inopinato irruentibus in eos Bulgaris, domestico fugam capiente, Nicolaus Ducis filius et cum eo alii plurimi interfecti sunt. Theodorus itaque, imperatoris Constantini paedagogus, Constantinum accubitorem in Leonem proprium generum imperium transferre meditantem animadvertens, suggessit imperatori Constantino ut Roma-



αὐτόν, ὡς ἂν ᾖ σὺν αὐτῷ καὶ διαφυλάττῃ αὐτῷ, ἐν οἷς ἂν δέῃ σύμμαχον ἔχειν καὶ βοηθόν. πολλάκις οὖν περὶ τούτου λαληθεὶς Ῥωμανὸς ἀπείπατο. γραμμάτιον οὖν ὁ βασιλεὺς P. 493
Κωνσταντῖνος διαχαράξας γραφῇ καὶ ὑπογραφῇ διασφαλισάμενος ἀπέστειλεν αὐτῷ, ὅπερ αὐτὸς ἐπὶ χεῖρας λαβὼν ὑπέσχετο τὴν κατὰ τοῦ παρακοιμωμένου Κωνσταντίνου καὶ τῶν συγγενῶν αὐτοῦ ἐπίθεσιν, ὡς δέοι ποιήσασθαι. τῆς φήμης οὖν τούτης διαθεούσης, καὶ τοῦ παρακοιμωμένου Κωνσταντίνου καταναγκάζοντος Ῥωμανὸν ἀποκινῆσαι μετὰ στόλου, αὐτὸς προεφασίζετο ὡς ἀδυνάτως ἔχει τοῦ ἀποπλεῖν, μὴ τοῦ στόλου τὴν νενομισμένην ῥόγαν λαβόντος. ἐν τῇ ἐξαρτύσει δὲ ὄντος τοῦ Ῥωμανοῦ καὶ τὰ πλοῖα εὐτρεπίζοντος ἐξῆλθε Κωνσταντῖνος παρακοιμώμενος ὡς ἐπισπουδάσων αὐτὸν τοῦ ἐκπλεῦσαι. ὁ δὲ δουλικῷ τῷ σχήματι προϋπήντησεν, καὶ προθυμοποιήσειν τὸ κελευόμενον ἐπηγγέλλετο. ὑποστρέψαι Β
δὲ βουλομένου τοῦ παρακοιμωμένου, καὶ εἰ ἔχει ἄνδρας εὐειδεῖς καὶ γενναίους ἐπιτηδείους τὴν βασιλικὴν ἐρέττειν τριήρη εἰπόντος πρὸς Ῥωμανόν, οὗτος εὐθὺς ἔνευσε τούτοις τῇ χειρὶ ἑτοίμοις οὖσι πλησίον ἐλθεῖν. οἱ δὲ τὰ τῆς βουλῆς ἰδόντες, ἔγγιστα ἤδη τοῦ δρόμωνος Ῥωμανοῦ γεγονότες ἥρπασαν αὐ- 102
τὸν ταῖς χερσίν, καὶ "ἄρατε αὐτόν" ἐφώνησαν. παραχρῆμα οὗτοι τοῦτον ἁρπάσαντες εἰς τὴν τοῦ δρουγγαρίου Ῥωμανοῦ

num paternum famulum sibique benevolentia coniunctum crearet drungarium, ut semper adesset auxilio, servaret incolumem, et in omnibus quibus opus foret adiutorem et socium haberet. de his frequenter sermonem habente renitentem se praebebat Romanus. quare Constantinus libellum propria manu exaratum, subscriptione firmatum, ad eum transmisit; quem cum manibus accepisset, Constantinum accubitorem et eius consanguineos aggressurum se, cum opus foret, pollicitus est. fama igitur istiusmodi ubique sparsa, et Constantino accubitore Romanum ut cum classe moveret impellente, ipse in contrarium difficilem classis expeditionem, statuto militibus stipendio nondum exhibito, praetexere. Romano vero expeditionem instruente et classem praeparante, processit Constantinus accubitor, ut classem solveret, animum suggesturus. ipse autem servili habitu occurit, et mandata promptius se exsecuturum pollicitus est. accubitore deinde regredi parato, et num vultu speciosos animisque fortes viros haberet, qui regiam triremem remis impellerent, Romanum interrogante, confestim ille quosdam manus movere iam dispositos ad se propius accedere iussit. illi rei gerendae conscii iamque Romani dromoni vicini manibus eum rapuerunt, et "tollite illum" vociferati sunt. derepente igitur sublatum in drungarii Romani triremem imposuerunt,

τριήρη εἰσήγαγον καὶ ἐν ἀσφαλείᾳ κατεῖχον. οὐδεὶς οὖν ὁ ὑπερασπίζων ἦν, πάντων τῶν συνόντων αὐτὸν χρησαμένων φυγῇ. ταῦτα Ζωὴ Αὐγούστα μαθοῦσα προσκαλεῖται τὸν πα-
C τριάρχην Νικόλαον καὶ τοὺς αὐτῆς μεγιστάνους, καὶ ἀποστέλλει πρὸς Ῥωμανὸν τὸ γεγονὸς βουλομένη μαθεῖν. τούτων δὲ διαπερασάντων λίθοις ὁ λαὸς αὐτοὺς ἐξήλασεν. ἔωθεν οὖν ἐξελθοῦσα Ζωὴ ἐν τῷ τοῦ Βουκολέοντος ἡλιακῷ ἐπεφώνει τῷ υἱῷ καὶ πᾶσι πῶς ἄρα γέγονεν ἡ ἀνταρσία αὕτη. ἔφησεν δὲ πρὸς αὐτὴν ὁ παιδαγωγὸς τοῦ βασιλέως Κωνσταντίνου Θεόδωρος ὅτι διὰ τὸ ἀπολέσαι Λέοντα τὸν Φωκᾶν τοὺς Ῥωμαί-
ους καὶ Κωνσταντῖνον παρακοιμώμενον τὸ παλάτιον ταῦτα γεγόνασιν. προσελάβετο δὲ ὁ βασιλεὺς Νικόλαον τὸν πατριάρχην καὶ Στέφανον μάγιστρον συνεῖναι αὐτῷ ἐν τῷ παλατίῳ, τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἀπὸ τῆς μητρὸς ἐπισπώμενον. τῇ
D δὲ ἐπαύριον ἀπέστειλεν Ἰωάννην τὸν Τουβακὴν Ζωὴν Αὐγούσταν τοῦ παλατίου καταβιβάσαι. ἡ δὲ μετ' ὀλολυγῆς καὶ δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ πρὸς συμπάθειαν μητρικὴν καὶ οἶκτον ἐκίνησεν, ὡς τὸν βασιλέα εἰπεῖν "ἐάσατε μετ' ἐμοῦ εἶναι τὴν μητέρα μου." οἱ δὲ ταύτην ἅμα τῷ λόγῳ ἀφῆκαν. προσκαλεσάμενοι δὲ ὅ τε βασιλεὺς καὶ ὁ πα-
τριάρχης Ἰωάννην τὸν Γαριδᾶν προεβάλοντο δομέστικον τῶν σχολῶν, δεδιότες μὴ εἰς ἀνταρσίαν χωρήσῃ ὁ Φωκᾶς Λέων. ὁ δὲ οὐ κατένευεν τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον γυναικά-

16. καὶ om P

et tenuerunt sub custodia, nullo comitum eius propugnare vel defendere auso, quinimo cunctis fuga turpiter lapsis. istis ad Zoem Augustam delatis, illa Nicolaum patriarcham et optimates sibi bene affectos advocat, et ad Romanum mittit de rerum omnium gestarum ordine certior fieri sollicita. illos vero ad eam proficiscentes lapidibus missis populus insectabatur. postridie itaque egressa Zoe ad solare Bucoleontis horologium filio et universis inclamabat "quomodo rebellio haec contigit?" ait ad illam Theodorus Constantini imperatoris paedagogus "quod Leo Phocas Romanos perdiderit, et Constantinus accubitor subverterit palatium, contigerunt haec." imperator autem revocatam a matre et ad se translatam imperii potestatem omnem declaravit, et Nicolaum patriarcham Stephanumque magistrum in palatio sibi adesse mandavit. sequenti luce Ioannem Tubacem, qui Zoem Augustam e palatio detruderet, misit. illa cum eiulatu et lacrimis filium complexa ad maternam compassionem et dolorem movit, adeo ut imperator diceret "matrem meam mecum esse sinite." illi solo verbo petitam dimiserunt. imperator autem et patriarcha Ioannem Garidam ad se vocatum scholarum domesticum esse iusse-

δελφον αὐτοῦ τὸν Ζουφινέζερ καὶ Συμεῶνα τὸν υἱὸν αὐτοῦ P. 494
προεβάλετο ἑταιριάρχην. ὅρκοις οὖν βεβαιωθεὶς ὑπ' αὐτῶν
κατῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. οἱ δὲ παραυτίκα τοὺς συγγενεῖς
αὐτοῦ τοῦ παλατίου καταβιβάζουσιν. τούτων οὖν πρὸς αὐ-
τὸν παραγεγονότων, ὡς ἐθεάσατο αὐτούς, τρόμος αὐτὸν ἔλαβεν
καὶ φρενῶν ἔκστασις. εὐθὺς οὖν ἐξῆλθε πρὸς Ῥωμανόν, καὶ
διηγήσατο αὐτῷ οἷα πέπονθεν. συμφιλιωθεὶς οὖν αὐτῷ, καὶ
ὅρκους δοὺς καὶ λαβὼν ὥστε μίαν ἔχειν ἀμφοτέρους ψυχήν,
σύμφρων αὐτοῦ καὶ σύμπνους ἐγένετο, ὥστε καὶ γαμικὸν συν-
ἀλλαγμα ποιήσασθαι συνεφώνησαν, πλέον ἐκ τούτου τὸν τῆς
ἀγάπης δεσμὸν ἐπισφίγγοντες. τῇ εἰκάδι οὖν τετάρτῃ τοῦ B
Μαρτίου μηνὸς ἀποστέλλει Ῥωμανὸς Ἰωάννην πρεσβύτην
αὐτοῦ οἰκεῖον καὶ πιστότατον ὄντα, καὶ Θεόδωρον τὸν Μα-
τζούκην λεγόμενον, εἰς τὸ παλάτιον, ὑπεραπολογησαμένους ὡς
οὐκ ἀντιρσία γέγονεν τὸ παρ' ἐμοῦ διαπραχθέν, ἀλλὰ τὴν
τοῦ Φωκᾶ ἐπίθεσιν ὑφορώμενος, καὶ δεδιὼς μήτι νεωτερισθείη
παρ' αὐτοῦ εἰς τὸν βασιλέα, τούτου ἕνεκεν ἀνελθεῖν ἐν τῷ
παλατίῳ βεβούλευμαι καὶ τὴν φυλακὴν ποιεῖσθαι τοῦ βασι-
λέως. μὴ συνευδοκοῦντος δὲ Νικολάου πατριάρχου τούτῳ,
ἐμηνύθη Ῥωμανῷ παρὰ Θεοδώρου τοῦ ῥηθέντος παιδαγωγοῦ
ἐλθεῖν μετὰ τοῦ στόλου παντὸς μέχρι Βουκολέοντος· ὃς μετὰ C
τῶν σὺν αὐτῷ βουλευσάμενος (τὸ γὰρ ἄγον εἶχεν αὐτὸν) τῇ 103

runt, veriti ne Phocas Leo in rebellionem deficeret. renuit ille munus subire, nisi Theodorum levirum Zuphinezeris filium et Simeonem eius filium hetaeriarchem crearet. iuramentis igitur certior factus in domum suam profectus est. illi confestim consanguineos eius e palatio deturbant, quos ad se confluentes ut Garidas conspexit, inusitato timore mentisque stupore insolito correptus est. confestim itaque Romanum adit, et quae passus fuerit exponit. inita mox cum eo amicitia, et iuramentis hinc inde datis et acceptis, et ut mentem unam haberent polliciti, Romani propositum sequebatur et consilium obibat; et ut eum strictiori amoris nexu devinciret, mutuo nuptiarum foedere contracto virum sibi promeruit. mensis igitur Martii quarto supra vicesimum, domesticum quendam sibi fidissimum et Theodorum cognomento Matzucem Romanus in palatium legatos mittit, qui pro defensione loquerentur: "non haec rebellio, quod a me gestum est, sed Phocae molimina veritus, et ne circa imperatorem aliquid innovetur timens, idcirco palatium ingredi consilior et custodiam imperatoris gerere." his Nicolao patriarcha non acquiescente, a Theodoro paedagogo significatum est Romano ut cum omni classe ad Bucoleontem appelleret. qui cum sociis suis consilio habito (in magnam

ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας θεοτόκου (πέμπτη δὲ ἦν) ἦλθεν ἅμα τῷ στόλῳ ἔνοπλος ἐν τῷ Βουκολέοντι. καὶ παρευθὺ μὲν Στέφανος μάγιστρος ἐξῆλθεν τοῦ παλατίου, Νικήτας δὲ πατρίκιος ὁ συμπενθερὸς Ῥωμανοῦ ἀνελθὼν ἐν τῷ παλατίῳ ἐξήγαγεν ἐκεῖθεν τὸν πατριάρχην Νικόλαον. ὅρκοις οὖν βεβαιωθέντες οἱ τοῦ παλατίου παρὰ Ῥωμανοῦ ἀπέστειλαν αὐτῷ τὸν τίμιον σταυρόν, καὶ προσκυνήσας αὐτὸν καὶ ὅρκῳ βεβαιώσας αὐτοὺς ἀνῆλθεν μετ' αὐτῶν ἐν τῷ παλατίῳ καὶ ὀλίγων τινῶν, προσκυνήσων τὸν βασιλέα. καὶ εἰσελθὼν μετ' D αὐτοῦ ἐν τῷ ναῷ τῷ ἐν τῷ Φάρῳ, καὶ πίστεις αὐτῷ δούς, παρευθὺ προχειρίζεται παρ' αὐτοῦ μάγιστρος καὶ μέγας ἑταιριάρχης. αὐτίκα γοῦν γέγονε θεία κέλευσις πρὸς Λέοντα τῶν Φωκᾶν παρεγγυωμένη μηδαμῶς στάσιν τινὰ ἐννοῆσαι, ἀλλὰ πρὸς ὀλίγον ἐν τῷ ἰδίῳ οἴκῳ ἀναπαύεσθαι. ὡσαύτως καὶ γράμματα ἐκελεύσθη Κωνσταντῖνος παρακοιμώμενος γράψαι, τὰ ὅμοια αὐτῷ παραγγέλλοντα, καὶ μηδὲν ἐναντίον βουλεύσασθαι ἀλλ' ἐν ὑποταγῇ εἶναι τοῦ βασιλέως Κωνσταντίνου. ἀναλαβόμενος ταῦτα Ἀνδρέας πριμικήριος τοῦ βασιλικοῦ βεστιαρίου ἀπεκόμισεν αὐτῷ ταῦτα ἐν Καππαδοκίᾳ ὄντι· καὶ ἀναδεξάP 405 μενος ταῦτα, ἀπελθὼν ἐν τῷ ἰδίῳ οἴκῳ, ἡσύχαζεν. τῇ δὲ πέμπτῃ ἑβδομάδι τῶν ἁγίων νηστειῶν, Ἀπριλλίῳ μηνί, δίδοται ἀρραβὼν γαμικῶν συναλλαγμάτων παρὰ Κωνσταντίνου

10. δοὺς] καὶ λαβὼν addunt Cedrenus et Anonymus

quippe animi anxietatem venerat) annunciationis sanctissimae deiparae die, hebdomadis porro quintus erat, una cum classe armis instructus ad Bucoleontem appulit. et confestim Stephanus magister e palatio egressus est. Nicetas autem patricius, Romani consocer, in palatium profectus Nicolaum patriarcham inde deiecit. aulicorum animis Romani iureiurando firmatis, et veneranda cruce ad eum missa, ipse eam adorans, et interposito sacramento, mentis propositum obvelans, cum eisdem paucisque suis imperatori reverentiam exhibiturus in palatium conscendit, et cum eo templum quod in Pharco est ingressus, data securitatis fide, magister et magnus hetaeriarcha ab imperatore confestim creatur. eodemque momento sacrum mandatum ad Leonem Phocam missum, quo relicto seditionis commovendae proposito ad modicum tempus domi se contineret iniungebatur. eum in sensum aliae litterae ad Constantinum accubitorem scribi iussae sunt, rem eandem, et ne quid in adversum moliatur, sed imperatori Constantino obsequens perseveret, commendantes. sacras acceptas Andreas imperatoris vestiarii primicerius ad eum in Cappadocia tunc forte repertum detulit, quibus lectis domum propriam se recipiens quietem egit. sacrorum autem ieiuniorum quinta hebdomade, mense Aprili,

βασιλέως Ἑλένῃ τῇ θυγατρὶ Ῥωμανοῦ, καὶ τῇ τρίτῃ τοῦ πάσχα τῇ λεγομένῃ τῆς Γαλιλαίας εὐλογεῖται καὶ στεφανοῦται ἅμα αὐτῇ παρὰ Νικολάου πατριάρχου, Ῥωμανὸν βασιλεοπάτορα προβαλλόμενος· ἀντ' αὐτοῦ δὲ Χριστοφόρον υἱὸν αὐτοῦ ἑταιριάρχην κατέστησεν. μετ' οὐ πολὺ Λέων ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου ἀπατηθεὶς παρά τε τινῶν ἀρχόντων καὶ τῶν αὐτοῦ ταγμάτων πρὸς ἀνταρσίαν κινεῖται, καὶ ἀποστείλας ἀνελάβετο εἶναι σὺν αὐτῷ τόν τε παρακοιμώμενον Κων- B
σταντῖνον, καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον τοὺς Γογγυλίους καὶ αὐταδελφούς, καὶ Κωνσταντῖνον ἀσηκρῆτις τὸν Μαλελίας, πληροφορῶν ἅπαντας καὶ βεβαιῶν ὡς ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτην ποιεῖται συγκίνησιν. Ῥωμανὸς δὲ ὁ βασιλεοπάτωρ χρυσοβούλλια ποιήσας ἐνυπόγραφα, ὡς ἐκ προσώπου τοῦ βασιλέως Κωνσταντίνου, τὴν τοιαύτης ἐπιβουλῆς ἀνατροπὴν περιέχοντα, καὶ ὡς οἱ τὸν Φωκᾶν καταλιμπάνοντες τῷ βασιλεῖ δὲ προσφεύγοντες ὑπὲρ τοῦ βασιλέως εἰσί, δοὺς αὐτὰ Ἄννῃ τινὶ γυναικὶ ἀναιδεῖ καὶ θρασείᾳ, καὶ C
κληρικῷ τινὶ Μιχαήλ, ἐν τῷ αὐτῷ στρατοπέδῳ ἐξέπεμψεν. οἱ δὲ ταῦτα ἀναλαβόμενοι ἔστειλαν παντὶ τῷ στρατῷ. καὶ ὁ μὲν Μιχαὴλ φωραθείς, παρὰ τοῦ Φωκᾶ ἀνηλεῶς τυφθείς, τήν τε ῥῖναν καὶ τὰ ὦτα ἀπετμήθη· ὃς μετὰ ταῦτα παρὰ Ῥωμανοῦ τῆς προσηκούσης ἔτυχεν ἀμοιβῆς· ὡσαύτως καὶ

Helenae Romani filiae contractus nuptialis arrha a Constantino imperatore traditur, et tertia paschatis feria, Galilaeae dicta, benedicitur; et cum ea nuptialibus corollis redimitur a Nicolao patriarcha, tuncque Romanus imperatoris pater declaratur, et Romani vice Christophorus eius filius hetaeriarches instituitur. haud multo post Leo Phocas a populo seductus, et a nonnullis procerum et legionum ei commendatarum militibus motus, tumultum excitavit, missoque nuntio Constantinum accubitorem, Constantinumque alterum et Anastasium fratres, et Constantinum a secretis, Maleliae filium, sibi ascivit, hoc cunctis insinuans et persuadens, motum omnem pro imperatoris Constantini obsequio excitari. Romanus autem imperatoris pater bullis aureis tabulas insignitas et subscriptione firmatas, velut imperatoris nomine, facinus huiusmodi attentatum repressuras edidit; quibus iubebatur ut Phoca deserto, qui ad imperatoris partes transirent, pro imperatore stare censerentur: easdem vero Annae cuidam, impudentis oris et profligatae castitatis mulieri, clericoque cuidam Michaeli, ut per adversarium exercitum spargerent, commendavit. illi receptas litteras per omnem exercitum distribui curarunt: et Michael quidem in rei gestae suspicionem veniens, crudeliter exceptus a Phoca, naribus et auribus praecisis multatus est, qui postmodum congruam a

ἡ σὺν αὐτῷ σταλεῖσα γυνή. Πρῶτος ὁ υἱὸς τοῦ Βαρυμιχαὴλ καταλιπὼν τὸν Φωκᾶν τῷ Ῥωμανῷ προσέδραμεν, ἀρχὴ γεγονὼς καταλύσεως τῆς τοιαύτης ἀνταρσίας καὶ τυραννίδος· σὺν αὐτῷ δὲ ὁ Βαλάντιος, τουρμάρχαι ὄντες ἀμφότεροι. Λέων
D δὲ ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου ἰσχυρῶς καθωπλισμένου ἐν Χρυσοπόλει καταλαβὼν διέστησε παρατάξεις ἀπὸ τῆς λιθίνης δαμάλεως μέχρι Χαλκηδόνος, τοὺς ἐν τῇ πόλει φοβῶν. ἀποστέλλεται οὖν μετὰ δρόμωνος παρὰ Ῥωμανοῦ Συμεὼν ὁ ἐπὶ κανικλείου, λόγον ἐννπόγραφον τοῦ βασιλέως Κωνσταντίνου ἐπιφερόμενος, τάδε διαγορεύοντα ὡς ἐγὼ φύλακα τῆς ἐμῆς βασιλείας ἐγρηγορώτατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὕρηκὼς τούτου τὴν ἐμὴν φυλακήν, μετά γε θεόν, κατεπίστευσα, καὶ ἀντὶ πατρὸς αὐτὸν ἔχειν ἔκρινα, σπλάγχνα μητρικὰ καὶ διάθεσιν γονικὴν πρὸς ἐμὲ ἐνδειξάμενον· Λέοντα δὲ τοῦτον τὸν Φωκᾶν ἀεὶ τῇ ἐμῇ βασιλείᾳ
P. 496 ὑποπτεύων ἐπιβουλεύειν νῦν ἔργοις αὐτοῖς ἐπίβουλον εὕρηκα καὶ τῆς ἐμῆς ἀρχῆς τυραννικῶς κατεξανιστάμενον· διὸ οὔτε δομέστικον αὐτὸν ἀπὸ τοῦ νῦν εἶναι βούλομαι, οὐδὲ ταύτην τὴν ἀνταρσίαν μετὰ βουλῆς ἐμῆς πεπραχέναι φημί, ἀλλ' αὐθαιρέτῳ γνώμῃ ταύτην ποιήσασθαι τὴν ἐπίθεσιν, ἑαυτῷ τὴν βασιλείαν σφετεριζόμενον. τούτων οὖν τῷ λαῷ ἐπαναγνωσθέντων ἤρξαντο πάντες ὑποχωρεῖν καὶ τῷ βασιλεοπάτορι προσ-

14. πατρικὰ Anonymus

Romano consecutus est vicissitudinem, et pariter ea quae cum eo missa fuerat mulier. qui primus Phocam deseruit et in Romani partes transiit, Barymichaelis filius extitit cladis adversae et in contrarias partes seditionis et tyrannidis auctor: comitem se praebuit Balantius, ambo turmarum praefecti. Leo Phocas vero cum exercitu omnium armorum genere fortiter instructo Chrysopolim profectus, et Cpolis cives exterriturus, milites per varios globos a iuvenca lapidea ad Chalcedonem usque distinxit. dum haec geruntur a Romano, Simeon caniclei praefectus celoce vectus libellum imperatoris Constantini manu subscriptum delaturus mittitur. haec porro libellus enunciabat "ut imperii mei custodem vigilantissimum et fidelissimum e subditis praeter Romanum nullum inveni: huic post deum custodiam meam commisi, et vice patris, quod viscera materna et propositum vere paternum in me exercuerit, habere constitui. Leonem Phocam in adversum imperio meo semper insidiantem suspicatus in illud machinari opere probavi, et in maiestatem tyrannice rebellem comperi: quare domesticum amplius non esse decerno, neque tumultum hunc me volente commovisse, sed spontaneo consilio imperium sibi vindicantem haec aggressum esse declaro." his ita coram populo lectis,

ἐρχεσθαι Ῥωμανῷ. τοῦ δὲ Φωκᾶ εἰς ἀμήχανον περιστάντος καὶ ἀπογνόντος ὡς πάσης ἐλπίδος ἠστοχηκότος, καὶ χρησαμένου φυγῇ, καὶ πρὸς τὸ κάστρον Ἀτεοῦς παραγενομένου, B καὶ μὴ δεχθέντος, ἐν χωρίῳ δὲ ὀνομαζομένῳ Γοηλέοντι φεύγοντι συλληφθέντος, ἀπέστελλεν Ῥωμανὸς Ἰωάννην τὸν Τουβάκη καὶ Λέοντα τὸν αὐτοῦ συγγενῆ ὥστε εἰσαγαγεῖν αὐτὸν ἐν τῇ πόλει. οἱ δὲ τοῦτον κρατήσαντες ἀπετύφλωσαν, καίτοι μηδεμίαν παρὰ τούτου δεξάμενοι ἐντολήν, ἀλλ' αὐθαιρέτῳ γνώμῃ τοῦτο πεποιηκότες, ὡς ἀγανακτῆσαι ἐπὶ τούτῳ καὶ βασιλεοπάτορα Ῥωμανόν. Αὐγούστῳ δὲ μηνὶ κατεμηνύθη τὰ τῆς ἐπιβουλῆς Κωνσταντίνου Κτηματηνοῦ καὶ Δαβὶδ Καμουλιανοῦ καὶ Μιχαὴλ κουράτωρος τῶν μαγγάνων· καὶ τυφθέντες οὗτοι καὶ δημευθέντες διὰ μέσης διῆλθον τῆς πόλεως καὶ C ἐν ἐξορίᾳ παρεπέμφθησαν. ἤγαγον δὲ Λέοντα μάγιστρον καὶ δομέστικον τῶν σχολῶν ἐν τῇ πόλει, καὶ διῆλθεν ἐν μέσῃ τῇ ἀγορᾷ ἡμιόνῳ ἐφεζόμενος. ἐφωράθη δὲ καὶ Ζωὴ Αὐγούστα ἐπιβουλεύουσα Ῥωμανῷ διὰ πεφαρμαγμένων βρωμάτων ὑπὸ Θεοκλήτου νοταρίου τῆς ὑπουργίας σκευασθέντων· καὶ ταύτην τοῦ παλατίου καταβιβάζουσιν καὶ εἰς τὸ Πετρίον ἀπάγουσιν, τῆς ἁγίας Εὐφημίας μονῇ ἀποκείραντες. προσεκλήθη δὲ παρὰ Θεοφυλάκτου πατρικίου καὶ κόμητος τοῦ σταύλου εἰς ἄριστον ὁ παιδαγωγὸς Κωνσταντίνου βασιλέως Θεόδωρος καὶ Συμεὼν ὁ αὐτοῦ ἀδελφός. ἐσθιόντων δὲ αὐτῶν εἰσῆλθεν

subducere se cuncti et Romano imperatoris patri adhaerere coeperunt. Phocas in angustias deductus omni spe lapsus est; quare fuga usus, et urbe Ateus petita, cum non reciperetur, in locum cui Goeleon nomen fugiens comprehensus est. exinde Romanus Ioannem Tubacem et Leonem eius cognatum hominem in urbem adducturos misit. comprehensum itaque oculis privaverunt, nullo licet super hoc accepto iussu, sed spontanea voluntate ad hoc ducti, adeo ut imperatoris pater Romanus de facinore tristatus fuerit. mense autem Augusto Constantini Ctemateni, Davidis Camuliani et Michaelis manganorum curatoris detectae sunt insidiae: quare etiam hi bonis publicatis, verberibus affecti et per mediam urbem traducti, in exilium missi sunt. Leonem insuper magistrum et scholarum domesticum in urbem induxerunt, qui mulo insidens per medium forum pertransiit. delata est etiam Zoe Augusta, ut quae Romano per praeparatos cibos a Theocleto ministerii notario insidiaretur: quare hanc e palatio recedere coactam in S. Euphemiae monasterio ad Petrium sito tonsis capillis monialem fecerunt. Theodorus autem, Constantini imperatoris paedagogus, et Simeon eius frater a Theophylacto patricio et

D Ἰωάννης δρουγγάριος ὁ Κουρκούας μετὰ πλείστου λαοῦ, καὶ τούτους ἀναρπάσας εἰς τὸ Ὀψίκιον ἐξώρισεν ἐν τοῖς αὐτῶν προαστείοις ὡς κατὰ Ῥωμανοῦ μελετῶντας. εἰκάδι δὲ τεσσάρτῃ Σεπτεμβρίου μηνὸς τῇ τοῦ Καίσαρος ἀξίᾳ, καὶ Δεκεμβρίῳ μηνί, δεκάτῃ ἑβδόμῃ, νῇ τῶν προπατόρων κυρίου, τῷ τῆς βασιλείας στέφεται διαδήματι παρὰ Κωνσταντίνου βασιλέως καὶ Νικολάου πατριάρχου, καὶ τῇ τῶν ἁγίων φώτων ἡμέρᾳ στέφει Θεοδώραν τὴν γυναῖκα αὐτοῦ. Μαΐῳ δὲ μηνί, δεκάτῃ ἑβδόμῃ, ἰνδικτιῶνος ε' Χριστοφόρος ὁ υἱὸς Ῥωμανοῦ ἀναγορεύεται βασιλεύς· στέφεται δὲ τῇ εἰκάδι τοῦ αὐτοῦ μηνὸς παρὰ Κωνσταντίνου βασιλέως, τῇ τῆς ἁγίας πεντηκοστῆς ἡμέρᾳ, καὶ μόνοι οὗτοι οἱ δύο ἐν τῇ αὐτῇ προελεύσει
P. 497 προῆλθον. Ἰουλίῳ δὲ μηνί, ὀγδόῃ, ἰνδικτιῶνος, ἡμέρᾳ κυρίου, ἡ τῆς ἐκκλησίας παρὰ Ῥωμανοῦ γέγονεν ἕνωσις ἁπάντων ἐνωθέντων μητροπολιτῶν τε καὶ κληρικῶν τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου διεσχισμένων. ὀγδόῃ δὲ Φεβρουαρίου μηνός, ἰνδικτιῶνος δεκάτῃ ἐννάτῃ, ἀποστείλας Ῥωμανὸς ὑπερορίζει τὸν μάγιστρον Στέφανον τὸν τῆς Καλομαρίας εἰς τὴν Ἀντιγόνου νῆσον ὡς τῆς βασιλείας ἐφίεσθαι κατηγορηθέντα, πρῶτον αὐτὸν ἀποκείρας ἅμα Θεοφάνει Τειχειώτῃ καὶ Παύλῳ ὀρφανοτρόφῳ ἀνδρώποις αὐτοῦ. ἐποίησεν Ῥωμανὸς βασιλεὺς ἐν τῷ Τριβουναλίῳ πρόκενσον, συνηγμένων

stabuli comite ad convivium vocatus est. recumbentibus illis, Ioannes drungarius Curcuas cum populi turba ingressus raptos eosdem, ad Opsicium eliminatos, propriis in suburbanis velut adversus Romanum machinatos exulare coegit. quarto vero supra vicesimum Septembris mensis, Caesaris dignitate, Decembris autem mensis decimo septimo, Christi domini proparentum festo, imperii diademate a Constantino imperatore et Nicolao patriarcha Romanus ornatur. sanctorum deinde luminum die Theodoram uxorem coronat. mox Maii mensis decimo septimo, indictione quinta, Christophorus Romani filius imperator renuntiatur, et eiusdem mensis vicesimo, Sanctae Pentecostes die festo, a Constantino redimitur; istique duo soli eius diei processu solemni per urbem progressi sunt. porro Iulio mense, indictione octava, die dominico, totius ecclesiae a Romano inita est concordia, cunctis metropolitis et clericis, qui a Nicolai et Euthymii partibus divisis steterant animis, in consensionem redeuntibus. mensis autem Februarii die octavo, indictione decima nona, mittens Romanus magistrum Stephanum Calomariae filium in Antigoniam insulam exulem eiecit, imperandi cupiditatis accusatum, cum prius una cum Theophane Tichiote et Paulo orphanotropho, propriis domesticis, in monachum detonsus fuisset. ceterum Romanus imperator ad Tribunalium solemnem habens processum, cunctis armorum

ἁπάντων μεθ' ὅπλων ἐκεῖσε. τοῦ ἀδνουμίου δὲ γενομένου 104
αἰφνίδιον Ῥωμανὸς καὶ Κωνσταντῖνος τάχει πολλῷ εἰς τὸ B
παλάτιον ὑποστρέφουσιν· ἐμηνύθη γὰρ παρὰ Λέοντος ἀνθρώ-
που τοῦ Ἀρσενίου ἢ αὐτοῦ τοῦ Ἀρσενίου ἐπιβουλὴ καὶ Παύ-
λου μαγγλαβιτῶν· οἳ τυφθέντες καὶ δημευθέντες ἐξωρίσθη-
σαν. ἦν τότε παραδυναστεύων Ἰωάννης ὁ πρεσβύτερος καὶ
ῥαίκτωρ, ὃς Λέοντα τὸν τοῦ Ἀρμενίου ἐποίησεν ἑβδομάριον, 105
τῷ βασιλεῖ τοῦτον προσοικειώσας.

Τῶν δὲ Βουλγάρων πάλιν ἐξελασάντων μέχρι Κατασύρ-
των μετὰ τὴν τοῦ δομεστίκου Ἀδραλέτου τελευτὴν προε- 106
βλήθη Πόθος ὁ τοῦ Ἀργυροῦ δομέστικος τῶν σχολῶν· καὶ C
μέχρι Θερμοπόλεως μετὰ τῶν ταγμάτων ἐξελθὼν ἀπέστειλεν
Μιχαὴλ τὸν τοῦ Μωρολέοντος υἱὸν τοποτηρητὴν ὄντα τοὺς 107
Βουλγάρους κατασκοπήσοντα. ὁ δὲ ἀπροόπτως τῷ λόχῳ αὐ-
τῶν ἐμπεσὼν πολλοὺς μὲν τῶν Βουλγάρων ἀνεῖλεν, πληγεὶς
δὲ αὐτὸς ἐν τῇ πόλει ἐτελεύτησεν. ἐμηνύθη δὲ τότε παρὰ
Θεοκλήτου νοταρίου τῆς ὑπουργίας ἢ κατὰ Ῥωμανοῦ βασι-
λέως ἐπιβουλὴ Ἀναστασίου σακελλαρίου καὶ ἄρχοντος τοῦ
χρυσοχόου, καὶ Θεοδωρήτου κοιτωνίτου, καὶ Δημητρίου νοτα-
ρίου βασιλικοῦ τοῦ εἰδικοῦ, καὶ Νικολάου τοῦ Κουβάτζη, καὶ
Θεοδότου πρωτοκαράβου· καὶ δὴ ἐλεγχθέντες ἐτύφθησαν 108
καὶ ἐν τῇ μέσῃ διῆλθον. ὁ δὲ Θεοδώρητος ἰδίως ἐν τῷ λε-

4. *μαγγλαβίτου* Anonymus et Cedrenus

omni genere instructis, stipendiisque militibus erogatis, derepente Romanus praefatus, et Constantinus inusitata celeritate usi in palatium revertuntur: a Leone quippe, Arsenii domestico, Arsenii ipsius et Pauli manglabitae conspiratio delata fuerat: ex quo verberati et bonis fisco addictis in exilium translati sunt. erat porro tunc ab imperatore proximus potestate Ioannes presbyter et rector, qui Leonem Armenii filium hebdomadarium curavit fieri imperatori prius commendatum.

Bulgaris vero ad Catasyrtas usque post Adraletae domestici mortem excurrentibus, Pothus Argiri filius scholarum domesticus creatus est. hic ad Thermopolim copiis eductis Michaelem Moroleontis filium, vices suas obeuntem, Bulgarorum motum exploraturum misit. ille de improviso agmini eorum factus obviam plurimos quidem occidit, vulneribus autem acceptis in urbe postmodum vitam finivit. eo tempore insidiae adversus Romanum imperatorem structae ab Anastasio sacellario et aurificinae principe, et Theodoreto cubiculario, et Demetrio regii fisci notario, et Nicolao Cubatze a Theorbeto officii notario delatae sunt; iidemque convicti verberibus poenas dederunt, et per mediam urbem delati sunt. Theodoretus autem seorsim ad Trichon-

Dγομένῳ Τρικόγχῳ τοῦ παλατίου τυφθεὶς καὶ αὐτὸς ἐξωρίσθη. τὸν δὲ συκελλάριον Ἀναστάσιον ἀπέκειρεν ἐν τῇ μονῇ τῶν Ἐλειμῶν, ἔνθα καὶ τελευτᾷ. τοιαύτης προφάσεως λαβόμενος
109 Ῥωμανὸς τὸν βασιλέα Κωνσταντῖνον ὑποβιβάζει καὶ δεύτερον καθίστησιν, ἑαυτὸν δὲ προάγει εἰς τοὔμπροσθεν.

Ἐκστρατεύει δὲ πάλιν Συμεὼν κατὰ Ῥωμαίων, καὶ πλῆθος Βουλγάρων ἀποστείλας ἐκέλευσεν κατὰ τῆς πόλεως ὡς τάχιστα ἐξελαύνειν. διελθόντων οὖν διὰ τῶν ὀρῶν, ἦλθον μέχρι τῶν Μαγλαβά. τὴν αὐτὴν δὲ ἔφοδον μαθὼν ὁ βασιλεὺς Ῥωμανός, μὴ τὰ τῶν Πηγῶν παλάτια καὶ τὸ Στενὸν κατελθόντες ἐμπρήσωσιν, Ἰωάννην ζαίκτορα ἀποστέλλει ἅμα
P. 498 Λέοντι καὶ Πόθῳ, τοῖς Ἀργυροῖς λεγομένοις, ἔχοντας μεθ'
110 ἑαυτῶν πλῆθος ἱκανὸν ἔκ τε τῶν βασιλικῶν καὶ τῶν τῆς ἑταιρίης καὶ τῶν ταγματικῶν, οἷς συνῆν καὶ Ἀλέξιος πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Μουσελὲ μετὰ τοῦ λαοῦ αὐτοῦ. ἦν δὲ τῶν νηστειῶν ἑβδομὰς πέμπτη. διατάξαντες οὗτοι τὸν λαόν, τῶν Βουλγάρων ἄνωθεν ἀναφανέντων ἐνόπλων καὶ βοῇ χρησαμένων ἀσήμῳ καὶ φοβερᾷ παρευθὺ μὲν φεύγει Ἰωάννης ὁ ζαίκτωρ, σφάττεται δὲ ὑπὲρ τούτου ἀγωνιζόμενος Φωτεινὸς ὁ τοῦ Πλατυπόδη υἱὸς καὶ πολλοὶ ἕτεροι. μόλις οὖν διασωθεὶς εἰσῆλθεν εἰς δρόμωνα. ἦλθεν δὲ φεύγων ἔνοπλος

3. Cedrenus et Anonymus Ἐλέγμων 17. post λαὸν adde ex Anonymo et Cedreno: ἐν τοῖς πεδινοῖς καὶ χθαμαλωτέροις τόποις τῶν Πηγῶν Comb

cum palatii plagis acceptis, in exilium electus est: Anastasium autem sacellarium in Elimorum monasterio caesarie multavit; in quo et defunctus est. Romanus eo praetextu accepto imperatorem Constantinum primatu deturbat et secundum constituit, se ipsum vero priorem praeponit.

Simeon porro adversus Romanos exercitum rursus educit, militesque emissos contra urbem quantocius tendere imperavit. illi per montes progressi Maglaba pervenerunt. eorum adventu ab imperatore Romano cognito, ne Pegarum palatia per Stenum diffusi incenderent, Ioannem rectorem una cum Leone et Potho, dictis Argyris, ex regiis confoederatis et gregariis militibus copias secum habentibus misit, quibus insuper adiunctus est Alexias patricius et Muzelaeus classis drungarius cum navali acie. erat porro tunc ieiuniorum hebdomas quinta. istis exercitum per turmas componentibus, Bulgarisque e superiore editiorique parte armata manu apparentibus et incomposita tremendaque vociferatione usis, derepente Ioannes rector fugam arripit, Faustinusque Platypodis filius pro eo decertans cum aliis plurimis interfectus est. vix itaque periculo ereptus celocem ingressus

καὶ Ἀλέξιος ὁ Μουσελὲ δρουγγάριος, καὶ μὴ ἰσχύσας τέλειον B
ἀνελθεῖν ἐν τῇ τοῦ δρόμωνος ἐποβάθρᾳ, πεσὼν ἐν τῇ θα-
λάσσῃ σὺν τῷ αὐτοῦ πρωτομανδάτωρι ἀπεπνίγη. οἱ Ἀργυροὶ
δὲ ἐν τῷ καστελλίῳ διεσώθησαν φεύγοντες. οἱ δὲ Βούλγα-
ροι μηδένα ἔχοντες κωλύοντα τά τε παλάτια τῶν Πηγῶν
ἐπυρπόλησαν καὶ τὸ Στενὸν ἅπαν κατέκαυσαν.

Εἰκάδι δὲ Φεβρουαρίου μηνός, δεκάτης ἰνδικτιῶνος, Θεο-
δώρα σύμβιος Ῥωμανοῦ τελευτᾷ, καὶ κατετέθη τὸ σῶμα αὐ-
τῆς ἐν τῷ οἴκῳ αὐτοῦ. τῷ δὲ αὐτῷ μηνὶ στέφεται Σοφία ἡ
τοῦ βασιλέως Χριστοφόρου γυνή. τηνικαῦτα δὲ κουροπαλά- 112
της Ἴβηρ ἐν τῇ πόλει παρεγένετο, καὶ διὰ μέσης διελθὼν κε- C
κοσμημένης λαμπρῶς. ὃν καὶ ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ Σοφίᾳ
εἰσήγαγον· καὶ τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος θεασάμενος,
καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυμάσας, αὖθις ὑπέστρεψεν
εἰς τὰ ἴδια.

Ἰουνίῳ δὲ μηνὶ τῶν Βουλγάρων πάλιν ἐκστρατευσάντων
καὶ μέχρι τῆς ἁγίας Θεοδώρας παλατίων ἐλθόντων καὶ ταῦτα
πυρὶ παραδόντων, ἐξανιστάμενος ὁ βασιλεὺς Ῥωμανὸς τοὺς
τῶν ταγμάτων ἄρχοντας συνεκάλεσεν, συνόντος αὐτῷ καὶ τοῦ
λεγομένου Σακτίκη, καὶ παρῄνει τούτοις καὶ προυτρέπετο κα- D
τὰ τῶν ἐναντίων ἐξελθεῖν καὶ τῆς πατρίδος ὑπεραγωνίσα-
σθαι. οἱ δὲ συνέθεντο ἑτοίμως ὑπὲρ τῶν Χριστιανῶν ἀπο-

12. post λαμπρῶς adde ex Anonymo: μετὰ δόξης πολλῆς καὶ τι-
μῆς ὑπεδέχθη Comb

est. fuga quoque subduxit se Alexius armis omnibus munitus, et Alexius Muzelaeus drungarius. qui cum ad celocis scalam commode conscendere nequiret, in mare cum protomandatore praecipitatus profundo submersus est. Argyri vero ad castellum fuga sibi consuluerunt. Bulgari nullum reperientes obvium, Pegarum palatia Stenique spatium omne igne immisso succenderunt.

Februarii porro mensis die vicesimo, indictione decima, Theodora Romani consors moritur, corpusque illius domo depositum est; eodemque mense Sophia imperatoris Christophori coniux coronatur. eo tempore curopalates Iber in urbem advenit, et per medias eius vias vestibus praeclaris ornatus deductus est, et ad sanctam dei Sophiam progressus templi magnitudinem et cultum contemplatus, variamque eius supellectilem demiratus, in patriam reversus est.

Iunio postmodum mense Bulgaris iterato bellum inferentibus, et ad S. Theodorae palatia penetrantibus, et eadem igne depopulatis, Romanus imperator, copiarum ducibus convocatis, Sactice dicto ei adhaerente, sumptis animis milites hortabatur in hostes irrumpere, et pro patria praeliari commonebat. illi pro Christianis se mori para-

θνήσκειν. τῇ οὖν ἐπαύριον καθοπλισθεὶς ὁ εἰρημένος Σακτίκης ἀληθῆ οὖσαν τὴν ἑαυτοῦ πίστιν τε καὶ ἀνδρίαν ἀπέδειξεν· ὄπισθεν γὰρ τῶν Βουλγάρων γενόμενος καὶ εἰς τὸ στρατόπεδον αὐτῶν ἐμπεσὼν πάντας τοὺς ἐκεῖ εὑρεθέντας κατέσφαξεν. μαθόντες οὖν οἱ Βούλγαροι τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ, καὶ πολέμου συγκροτηθέντος τρέπουσιν τὸν Σακτίκην σὺν ὀλίγοις ὑπάρχοντα. ὁ δὲ ἐπειδὴ γενναίως ἀγωνισάμενος καὶ πολλοὺς ἀνελὼν οὐκέτι ἀντέχειν ἠδύνατο, πρὸς τὸ πλῆθος τῶν πολεμίων μεθίησιν τοῦ ἵππου τὸν χαλινὸν καὶ εἰς φυγὴν ἤλαυνεν· ποταμὸν δέ τινα ἐκεῖσε παραρρέοντα διαπερῶν, τοῦ ἵππου αὐτοῦ ἐν τῇ ἰλύϊ ἐμπαγέντος, τιτρώσκεται κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ. μόλις οὖν
P. 499 τοῦ ἵππου ἐκτὸς ἰλύος ἀνασπασθέντος διασώζεται μέχρι τῶν Βλαχερνῶν, καὶ τεθεὶς ἐν τῇ ἁγίᾳ σορῷ καιρίας τῆς πληγῆς οὔσης τῇ νυκτὶ ἐτελεύτησεν.

Ἀδριανὸς δέ τις Χάλδος, πρὸς δὲ καὶ Ταϊζάτης Ἀρμένιος πλούσιος πάνυ, τῇ συνθήκῃ καὶ συμβουλῇ Βάρδα τοῦ Βοηλᾶ στρατηγοῦντος ἐν Χαλδίᾳ, τυραννίδα καὶ ἀνταρσίαν κατὰ Ῥωμανοῦ βασιλέως συσκευάζουσι, τὸ Παΐπερτε λεγόμενον ὀχύρωμα κατασχόντες· οὓς ὁ δομέστικος τῶν σχολῶν Ἰωάννης ὁ Κουρκούας καταπολεμήσας τοὺς μὲν κατέσχεν, ὧν τοὺς περιφανεστέρους ἀποτυφλοῖ, τὴν οὐσίαν δημεύσας· Τα-

22. post δημεύσας Cedrenus: τοὺς δὲ πένιχροὺς καὶ ἀσήμους ἀθώους κελεύσας ὅπη βούλοιντο ἀπιέναι Comb

tos polliciti sunt. postera igitur luce praefatus Sactices armatus fidem a se datam veram et constantem demonstravit: Bulgaros quippe retro aggressus, et in eorum castra insiliens, cunctos ibi repertos trucidavit. Bulgari quod gestum erat percipientes in castra revertuntur, et consertis manibus Sacticem paucis comitatum terga dare cogunt. ille fortiter praeliatus, multis hostium occisis, totque aliis oppugnatus ut resistere non valeret amplius, equum laxatis habenis ad fugam impulit, fluviumque ibidem praeterfluentem traiiciens equo profundi limo infixo ad podicem et coxendicem vulneratur. equo itaque limo vix extracto ad Blachernas defertur, et sacro loculo impositus, plaga mortifera accepta, nocte mortuus est.

Adrianus autem quidam Chaldus, nec non Tatzates Armenus, vir opulentus, consiliis et hortatibus Bardae Boelae, qui Chaldiensi militiae praeerat, tyrannidem et rebellionem adversus Romanum imperatorem excitant, et Paiper locum munitissimum occupant; quos Ioannes Curcuas scholarum domesticus cum debellasset, quosdam quidem tenuit, quorum illustriores facultatibus eorum publicatis excaecavit, alios vero occidit. Tatzates autem alio validissimo loco fuga

τζάτης δὲ ἐν ἑτέρῳ ὀχυρωτάτῳ καστελλίῳ διαφυγὼν καὶ λόγον τοῦ μή τι κακὸν παθεῖν δεξάμενος ἐν τῇ πόλει εἰσεληλύθει, καὶ τῇ τοῦ μαγγλαβίτου ἀξίᾳ τιμηθεὶς ἐν τῷ οἴκῳ τῶν Μαγγάνων διητᾶτο τηρούμενος. δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀμμάτων στερίσκεται. Βάρδαν δὲ τὸν Βοηλᾶν ἀπέκειραν μοναχόν. B

Τοῦ δὲ πατρικίου τοῦ ὄντος ἐπονομαζομένου Μωρολέοντος Ἀδριανουπόλεως στρατηγοῦντος, κρατίστου τὰ πολεμικὰ καὶ περιδεξίου τυγχάνοντος, ὃς πλείστας κατὰ Βουλγαρίας ἀνδραγαθίας ἐπεδείξατο, ὁ Βούλγαρος Συμεὼν σὺν παντὶ τῷ στρατεύματι τὴν εἰρημένην πόλιν περιεκύκλωσεν, καὶ χάρακα περιβαλὼν ἰσχυρῶς ταύτην ἐπολιόρκει. ἐπεὶ δὲ ὅ τε σῖτος τοὺς ἐν τῇ πόλει ἐπιλελοίπει καὶ λιμὸς ἐπίεζε χαλεπὸς (οὐ- C δαμόθεν γὰρ εἶχον ἐπισιτίσασθαι), τῇ ἐνδείᾳ πιεζόμενοι προδεδώκασιν ἑαυτούς τε καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις, ὃν χειρωσάμενος Συμεών, καὶ δεσμὰ καθ' ὅλου τοῦ σώματος περιβαλών, ἀπέκτεινεν θανάτῳ πικρῷ. Βουλγάροις οὖν τὴν τῆς πόλεως παραδοὺς φυλακὴν ὑπεχώρησεν. Λέοντος δὲ τοῦ Τριπολίτου μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν κατὰ Ῥωμαίων ἐξελθόντος καὶ ἐν τῇ νήσῳ Λήμνῳ καταλαβόντος, Ἰωάννης πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Ῥαδινὸς αἰφνίδιος ἐπέθετο αὐτῷ, καὶ πολέμου γεγονότος θεοῦ συνεργείᾳ οἱ ὑπ' αὐτὸν τρέπονται Ἀγαρηνοί· μόνος δὲ αὐ- 113

occupato, et securitatis fide accepta, in urbem reversus est, et manglabitae dignitate honoratus in Manganorum palatio sub custodia servatus morabatur. fugam autem machinatus oculorum lumine privatur. Bardam autem Boelam in monasterio detonderunt.

Patricio vero quopiam, cognomine Moroleone, Adrianopoleos urbis duce, in rebus bellicis fortissimo et solertia praestanti, ut qui adversus Bulgariam facinora forti viro digna ostendisset plurima, Simeon Bulgarus cum omni exercitu dictam urbem obsedit, valloque circumducto validis armis pressit. frumento autem per urbem deficiente dura fames invasit, ex nulla quippe parte egestatis calamitate vexati annonam procurare valebant. quare se ipsos et exercitus ducem Bulgaris tradiderunt, quem apprehensum Simeon vinculisque per totum corpus circumdatum amara morte interfecit; commendataque Bulgaris urbis custodia in patriam se recepit. Leone Tripolita cum copioso exercitu bellicisque navibus in Romanos erumpente et Lemnum insulam occupante, Ioannes Radinus patricius et classis drungarius eum ex improviso aggressus est. initoque certamine divinis auxiliis, qui comitabantur, Agareni fusi sunt, solo Tripolita fuga ser-

D τὸς Τριπολίτης φυγῇ διασωθείς. Σεπτεμβρίῳ δὲ μηνὶ ἰνδικτιῶνος δευτέρας, Συμεὼν ὁ ἄρχων Βουλγαρίας παστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐστρατεύει, καὶ ληΐζεται μὲν Θρᾴκην τε καὶ Μακεδονίαν, ἐμπυρίζει δὲ πάντα, καταστρέφει καὶ δενδροτομεῖ. μέχρι δὲ Βλαχερνῶν γενόμενος ἐπεζήτησεν ἐπι- 5
σταλῆναι αὐτῷ τὸν πατριάρχην Νικόλαον καί τινας τῶν μεγιστάνων ὥστε περὶ εἰρήνης αὐτοῖς συντυχεῖν. ἔλαβον οὖν ὁμήρους ἀμφότεροι, καὶ ἐξῆλθον πρότερον μὲν ὁ πατριάρχης Νικόλαος, ἔπειτα Μιχαὴλ πατρίκιος ὁ Στυπιώτης καὶ Ἰωάννης ὁ μυστικὸς παραδυναστεύων· ἤδη γὰρ Ἰωάννης ὁ 10
ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα, ἀσθένειαν προφασισά-
P. 500 μενος, τοῦ παλατίου κατελήλυθει καὶ ἐν τῇ αὐτοῦ μονῇ πλησίον τῶν Γαλακρινῶν ἀπεκάρῃ. οἱ μὲν οὖν μετὰ Συμεὼν περὶ εἰρήνης διελέγοντο, ὁ δὲ αὐτοὺς μὲν ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥωμανὸν ἐπεζήτει θεάσασθαι· παρὰ πολλῶν 15
γὰρ πεπληροφόρητο περὶ τῆς αὐτοῦ φρονήσεως καὶ ἀνδρίας καὶ συνέσεως. ὁ δὲ βασιλεὺς σφόδρα ἐπὶ τούτῳ ἠγαλλιάσατο· ἐπόθει γὰρ τὴν εἰρήνην, καὶ τὰς γενομένας τῶν αἱμάτων ἐκχύσεις ὅσημέραι. ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ὄχυρωτάτην ἀπόβασιν 20
ὥστε τὴν βασιλικὴν τριήρη διεκπλέουσαν αὐτῇ προσορμίζε-
B σθαι. περιφράξας οὖν αὐτὴν πάντοθεν διατείχισμα μέσον γε-

18. καὶ τὰς] καὶ τὸ σιῆναι τὰς Anonymus

vato. Septembri vero mense, indictione secunda, Simeon Bulgariae princeps, copiis omnibus eductis adversus Cpolim expeditionem parat. inde Thraciam et Macedoniam depopulatur, incendia ubique spargit, evertit cuncta, et ad arbores usque exscindit. ad Blachernas praeterea provectus Nicolaum patriarcham et procerum quosdam, ut de pace conferrent, ad se mitti postulavit. datis igitur ex parte utraque obsidibus convenerunt, prius quidem Nicolaus patriarcha, deinde Michael patricius Stypiotes et Ioannes mysticus, qui ab imperatore secundas tenebat: iam quippe Ioannes rector apud imperatorem calumniam passus, causatus aegritudinem palatium deseruerat; postmodum autem in monasterio Galacrenis proximo detonsus est. et hi quidem cum Simeone de pace tractatum habebant: Simeon autem retro eos amandavit, ipsum vero imperatorem videre expetiit, a multis de eius prudentia fortitudine et solertia certior factus. valde laetatus imperator postulatum admisit, pacis quippe cupiditate ducebatur et effusum quotidie sanguinem deplorabat. ad littus itaque Cosmidii machinam in mari validissimam excitari iussit; ad quam triremem regiam remis rectam facile esset deducere, septoque munitissimo eam circumvallans spatium eius medium ita disponi praece-

νέσθαι προσέταξεν, ἐν ᾧ ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ἀποστείλας οὖν Συμεὼν τὸν τῆς ὑπεραγίας Θεοτόκου ναὸν ἐνέπρησεν τὸν ἐν τῇ Πηγῇ καὶ τὰ πέριξ αὐτοῦ σύμπαντα, δῆλος ὢν ἐντεῦθεν μὴ τὴν εἰρήνην ἐλὼν ἀλλ' ἐλπίσι μετεώροις τοῦτον ἐξαπατῶν. παραγενόμενος δὲ ἐν Βλαχέρναις ὁ βασιλεὺς ἅμα Νικολάῳ τῷ πατριάρχῃ ἐν τῇ ἁγίᾳ εἰσῆλθον σορῷ, καὶ τὰς χεῖρας ἐξέτεινεν εἰς εὐχήν, εἶτα πρηνὴς πεσὼν δάκρυσι τὸ ἅγιον κατέβρεχεν ἔδαφος, τὴν πανάχραντον Θεοτόκον ἀντιβολῶν τὴν ἀκαμπῆ καὶ ἀμείλικτον τοῦ ὑπερηφάνου Συμεὼν μαλάξαι καρδίαν καὶ πεῖσαι τὰ πρὸς εἰρήνην. καὶ τὸ ἅγιον C κιβώτιον διανοίξαντες, ἔνθα τὸ σεπτὸν τῆς ἁγίας Θεοτόκου τεθησαύριστο ὠμοφόριον, τοῦτο ὁ βασιλεὺς ἀνελόμενος, καὶ τὴν πίστιν τὴν εἰς τὴν ὑπεράμωμον Θεοτόκον οἷα περικεφαλαίαν τινὰ περιθέμενος, ἔξῄει τοῦ ναοῦ, ὅπλοις ἀσφαλέσι φραξάμενος. τὸν σὺν αὐτῷ οὖν στόλον ἀσπίσι τε καὶ ὅπλοις κοσμήσας, τὸν ὡρισμένον τόπον κατέλαβεν συνομιλῆσαι τῷ Συμεών. πέμπτῃ οὖν ἡμέρᾳ ὅτε ταῦτα ἐγένετο, ἐννάτῃ τοῦ Νοεμβρίου μηνός, τετάρτῃ τῆς ἡμέρας ὥρᾳ, παρεγένετο Συμεὼν πλῆθος ἄπειρον ἐπαγόμενος, τῶν μὲν χρυσασπίδων καὶ χρυσοδοράτων, τῶν δὲ ἀργυρασπίδων καὶ ἀργυροδοράτων, τῶν D δὲ πάσῃ ὅπλων χρείᾳ κεκοσμημένων, πάντων καταπεφραγμένων σιδήρῳ· οἳ μέσον αὐτῶν διειληφότες τὸν Συμεὼν ὡς βασιλέα εὐφήμουν τῇ Ῥωμαίων φωνῇ. πάντες δὲ οἱ τῆς συγ-

pit ut in ea de pace colloquerentur. Simeon autem missis militibus sanctissimae deiparae ad Pegem templum combussit et loca circumposita devastavit, a pace alienum se, sed vana tantum spe imperatorem deludere, inde significans. imperator una cum patriarcha Nicolao ad Blachernas et sanctum loculum progressus ad preces manus extendit, deinde pronus in terram cadens sacrum lacrimis pavimentum irrigavit. deiparam a labe immunem obtestatus, ut inflexum et rigidum superbi Simeonis emolliret cor, et quae sunt pacis inspiraret: sacroque scriniolo, quo veneranda sanctae deiparae vestis reposita est, aperto, illam inde sublatam, ex fide qua in immaculatam dei genitricem pollebat, velut galeam capiti circumponens imperator firmissimis armis munitus, classi viae comite, clipeis et armis adornata, ad praefixum locum cum Simeone tractaturus accessit. quinto igitur die quo haec facta sunt, Novembris mensis die nono, hora diei quarta Simeon immensa exercitus plebe circumstipatus processit. militum alii aureis clipeis et deauratis hastis, alii argenteis clipeis pariter et hastis argento rutilantibus, alii omni armorum genere ornati, cuncti autem ferro circumcincti, medium admiserunt Simeonem, quem Grae-

κλήτου βουλῆς τοῖς τείχεσιν ἐφεστῶτες κατεθεῶντο τὰ δρώμενα. ἦν οὖν τότε ἰδεῖν ψυχὴν βασιλικὴν τῷ ὄντι καὶ μεγαλόφρονα, καὶ θαυμάσαι τὸ τοῦ φρονήματος ἀκατάπληκτον, ὅπως τοσαύτην πολεμίων βλέπων ἐπιφορὰν οὐ κατεπλάγη καὶ συνεστάλη καὶ ὑπεχώρησεν, ἀλλ' ὥσπερ εἰς φίλων πλῆθος χωρῶν οὕτως ἀτρέμας ἀπῄει, μονονουχὶ τὴν ψυχὴν τοῖς πολεμίοις τῶν ὑπηκόων διδοὺς ἀντίλυτρον. πρῶτος οὖν ἐν τῇ ῥηθείσῃ ἀποβάθρᾳ καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο· ἐπεὶ
P. 501 δὲ ὅμηροι ἐξ ἀμφοτέρων ἐλήφθησαν, καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διηρευνήσαντο ἀκριβῶς μή πως τις δόλος ἢ ἔνεδρα τυγχάνῃ, κατῆλθεν Συμεὼν τοῦ ἵππου, καὶ πρὸς τὸν βασιλέα εἰσῆλθεν. ἀσπασάμενοι οὖν ἀλλήλους εἰρήνης λόγους ἐκίνησαν. εἰπεῖν δὲ λέγεται τὸν βασιλέα πρὸς Συμεὼν "ἀκήκοά σε θεοσεβῆ ἄνδρωπον καὶ Χριστιανὸν ὑπάρχοντα ἀληθινόν, βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις συμβαίνοντα. ἴδιον μὲν γὰρ θεοσεβοῦς ἀνδρώπου καὶ Χριστιανοῦ τὸ τὴν εἰρήνην καὶ τὴν ἀγάπην ἀπασπάζεσθαι, εἴπερ ὁ θεὸς ἀγάπη ἔστι καὶ λέγεται, ἀσεβοῦς δὲ καὶ ἀπίστου τὸ χαίρειν σφαγαῖς καὶ αἵμασιν ἀδίκως ἐκχεομένων. εἰ μὲν οὖν ἀληθὴς Χρι-
B στιανὸς ὑπάρχεις, καθὼς πεπληροφορήμεθα, στῆσόν ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς τῶν ἀνοσίων αἱμάτων ἐκχύσεις, καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν Χριστιανῶν τὴν εἰρήνην, Χριστια-

cis pronuntiatis ceu imperatorem faustis prosequebantur acclamationibus. senatorii porro ordinis viri muris innixi quae fiebant contemplabantur. spectatu vero dignissima res fuit animus ille imperatoris dignus et excelsus, mira res illa mentis nullo pacto motae constantia, quae tantum percipiens hostium appulsum nullo modo consternata aut repressa est, sed nec retrocessit, quinimo velut in amicorum coetum se conferret, sic intrepidus processit, tantum animam subditorum salutis pretium hostibus non offerens. prior itaque ad dictam machinam perveniens Simeonem praestolabatur. ut obsides ex utraque parte dati sunt, Bulgari vero, ne quis dolus aut insidiae laterent, machinam diligenter perscrutati sunt, Simeon equo desiliens ad imperatorem accessit, dataque invicem salute pacis tractatum moverunt. imperator dixisse fertur ad Simeonem "virum dei cultorem et vere Christianum audivi te: verum opera verbis nullatenus consonantia in te perspicio. proprium enim viri dei cultoris et Christiani est pacem et caritatem amplecti, siquidem deus caritas est et dicitur: impii vero et infidelis est caedibus et cruore iniuste fuso gaudere. igitur si vere te Christianum profiteris, sicut certo tenemus, compesce tandem caedes iniustas, et scelesta sanguinis effusione abstine, et nobiscum Christianis, cum ipse Christianus sis et nomineris, pacis foedus

νὸς ὢν καὶ αὐτὸς καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰς αἵμασιν ὁμοπίστων Χριστιανῶν. ἄνθρωπος εἶ καὶ αὐτὸς θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ ἀνταπόδοσιν. σήμερον ὑπάρχεις, καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ. εἷς πυρετὸς ἅπαν κατασβέσει τὸ φρύαγμα. τίνα οὖν λόγον δώσεις τῷ θεῷ ἐκεῖ ἀπελθὼν ὑπὲρ τῶν ἀδίκων σφαγῶν; ποίῳ προσώπῳ τῷ φοβερῷ καὶ δικαίῳ ἐνατενίσεις κριτῇ; εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε κατακόρως τοῦ ἐπιθυμουμένου ἐμπλήσω. μόνον ἐπίσχες τὴν δεξιάν, ἄσπασαι τὴν εἰρήνην, ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀπράγμονα, καὶ οἱ Χριστιανοὶ παύσωνταί ποτε τῶν συμφορῶν· οὐ θέμις γὰρ αὐτοὺς αἴρειν ὅπλα καθ' ὁμοπίστων." τοσαῦτα οὖν εἰπὼν ὁ βασιλεὺς ἐσίγησεν. αἰδεσθεὶς οὖν Συμεὼν τὴν τούτου ταπείνωσιν καὶ τοὺς λόγους αὐτοῦ ἐπένευσεν τὴν εἰρήνην ποιήσασθαι. ἀσπασάμενοι οὖν ἀλλήλους διεχωρίσθησαν, δώροις μεγαλοπρεπέσι τοῦ βασιλέως δεξιωσαμένου τὸν Συμεῶνα. ὃ δὲ τότε συμβέβηκεν διηγήσομαι τεράστιόν τι καὶ τοῖς τὰ τοιαῦτα συγκρίνειν εἰδόσι παράδοξον. δύο φασὶν ἀετοὺς τῶν βασιλέων ὁμιλούντων ἄνωθεν αὐτῶν ὑπερπτῆναι, ἧξαί τε καὶ πρὸς ἀλλήλους συμμῖξαι καὶ παραυτίκα διαζευχθῆναι ἀλλήλων, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην διαπτῆναι. τοῦτο οἱ ἀκριβῶς

20. κλάγξαι Anonymus

percute; et Christianorum dexteras unius fidei Christianorum sanguinibus ne permittas pollui. homo quippe es, et mortem ipse et resurrectionem et operum retributionem praestolaris; hodieque cum existas, crastinus dies in pulverem te resolvet: febris vel unica omnem extinguet iactantiam. quam igitur ad dei tribunal constitutus pro caedibus iniustis deo reddes rationem? quo vultu in tremendum et iustum iudicem oculos intendes? si divitiarum cupiditate ductus hoc agis, ego ad satietatem usque, eo quod desideras, implebo. solum contine dexteram, amplectere pacem, dilige concordiam, ut et tu vitam agas tranquillam et sollicitudinis expertem, et calamitatibus nonnihil Christiani subleventur. nefas enim est adversus eiusdem fidei homines te arma movere." his dictis imperator tacuit. Simeon eius moderationem et eius sermones cum verecundia miratus pacem componi annuit. cum igitur sibi vale dixissent, discesserunt, imperatore magnificis muneribus Simeonem cumulante. quod vero tunc accidit narrabo prodigium eorum etiam qui haec diiudicant fidem exsuperans. principibus quippe colloquentibus aquilas duas desuper ipsos volasse praestoque advenisse et ad invicem commixtas dicunt, et confestim ab invicem disiunctas, hanc quidem ad urbem advolasse, aliam vero

τὰ τοιαῦτα σκοποῦντες οὐ καλὸν ἔκριναν οἰωνόν· ἀσυμβάτους γὰρ ἐπὶ τὴν εἰρήνην διαλυθήσεσθαι ἔφησαν. Συμεὼν δὲ τὸ ἑαυτοῦ στρατόπεδον καταλαβὼν τοῖς ἑαυτοῦ μεγιστᾶσιν τὴν τοῦ βασιλέως ἀπήγγειλεν σύνεσιν καὶ ταπείνωσιν.

Δεκεμβρίῳ δὲ μηνί, εἰκάδι πέμπτῃ, ἔστεψεν Ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, Στέφα-
P. 502 νόν τε καὶ Κωνσταντῖνον. ἀλλὰ καὶ Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ ὁ πατριάρχης ἀπέκειρεν κληρικόν, χειροτονήσας ὑποδιάκονον, σύγκελλόν τε προχειρισάμενος διελθόντα πρότερον ἐν τῷ τῶν ὑποδιακόνων τάγματι εἰς τὰ ἅγια. Ἀπριλλίῳ δὲ μηνί, 10
114 εἰκοστῇ ἐννάτῃ, ἐτίμησεν Ῥωμανὸς Ἰωάννην μυστικὸν πατρίκιον ἀνθύπατον. Μαΐῳ δὲ μηνί, δεκάτῃ πέμπτῃ, ἰνδικτιῶνος
115 τρίτης, τελευτᾷ τὸν βίον ὁ πατριάρχης Νικόλαος κρατήσας ἐν τῇ δευτέρᾳ αὐτοῦ ἀναβάσει ἔτη δεκατρία· καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ τῶν Γαλακρί- 15
B νων. Αὐγούστῳ δὲ μηνὶ πατριάρχης καθίσταται Στέφανος Ἀμασίας μητροπολίτης, εὐνοῦχος ὑπάρχων. Ὀκτωβρίῳ δὲ μηνὶ κατηγορήθη ὁ μυστικὸς Ἰωάννης καὶ παραδυναστεύων ὡς τῆς βασιλείας ἐφιέμενος ὑποθήκῃ τοῦ πατρικίου καὶ λογοθέτου τοῦ δρόμου Κοσμᾶ, διδόντος εἰς γυναῖκα τὴν θυγα- 20
τέρα αὐτῷ. τούτου ἕνεκεν καταβιβάζεται μὲν τοῦ παλατίου, ἐγχωρεῖται δὲ προσέρχεσθαι καὶ τῷ βασιλεῖ ὑπηρετεῖν καὶ

in Thraciam alarum opere delatam. qui haec curiosius indagant, omen iudicavere non faustum: discordes quippe et pace infecta recessuros divinabant. Simeon, collecto exercitu, coram optimatibus imperatoris solertiam et moderationem exposuit.

Debembris autem mensis die vicesimo quinto filios suos Stephanum et Constantinum Romanus imperii corona cinxit: sed et Theophylactum filium clericum totondit patriarcha, et subdiaconum ordinavit, tandemque syncellum promovit, cum prius ad sanctum ingressum cum subdiaconis adlectus processisset. Aprilis vero mensis die vicesimo nono Ioannem mysticum patricium Romanus proconsulem designavit. mensis vero Maii die decimo quinto, indictione tertia, mortem obiit Nicolaus patriarcha, post secundam renuntiationem throno potitus annos tredecim, eiusque corpus in Galacrenarum monasterio ab eo condito depositum est. Augusto deinde mense Stephanus Amaseae metropolita eunuchus initiatus est patriarcha. post haec mense Octobri Ioannes mysticus et post imperatorem administrator, velut imperii affectati, suggestu patricii et logothetae publici cursus Cosmae, qui filiam uxorem ei locaverat, accusatus est. huius gratia palatio quidem extruditur, ad eum tamen liber illi servatur accessus, et obsequendi imperatoris iussis et cum eo quae opus foret administrandi



σὺν αὐτῷ τὰ ἀνήκοντα διοικεῖν· στοργὴν γὰρ ὅτι πλείστην ἐκέκτητο ὁ βασιλεὺς πρὸς αὐτόν. τῶν κατηγόρων οὖν κατεπειγόντων τὸν βασιλέα, ἐρευνήσας ὁ βασιλεὺς καὶ ἀληθῆ ταῦτα εἶναι μαθὼν ἔμελλε τοῦτον κατασχὼν ἀνετάζειν. ὁ δὲ C τοῦτο προγνοὺς χρῆται φυγῇ, καὶ τὴν λεγομένην Μονοκάστανον καταλαβὼν ἀποκείρεται μοναχός. πέφευγε δὲ καὶ Κωνσταντῖνος ὁ τοῦ Βοηλᾶ, ὁ τῆς τραπέζης, οἰκεῖος καὶ φίλος ὢν αὐτῷ, καὶ τὸν Ὄλυμπον καταλαβὼν τὸ μοναχικὸν σχῆμα ἐνδύεται· ἐδεδοίκει γὰρ καὶ αὐτὸς ἅτε συμμύστης τυγχάνων τοῦ μυστικοῦ καὶ τῶν ἀπορρητοτέρων αὐτοῦ κοινωνός. τὸν δὲ πατρίκιον Κοσμᾶν ἐν τῷ ὡρολογίῳ τύψας ὁ βασιλεὺς διεδέξατο. προβάλλεται δὲ ἀντὶ τοῦ μυστικοῦ Ἰωάννου Θεοφάνην πρωτοβεστιάριον καὶ παραδυναστεύοντα. ἐγένετο δὲ τὸ τηνικαῦτα καὶ σεισμὸς φοβερὸς ἐν τῷ τῶν Θρᾳκῴων θέματι, D καὶ χάσμα γῆς μέγα καὶ κατάπληκτον, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας ἀντάνδρους καταποθῆναι.

Μαΐῳ δὲ μηνί, εἰκάδι ἑβδόμῃ, δεκάτης πέμπτης ἰνδικτιῶνος, Συμεὼν ὁ ἄρχων Βουλγαρίας ἐτελεύτα, Πέτρον υἱὸν αὐτοῦ προβαλόμενος ἄρχοντα, ὃν ἐκ τῆς δευτέρας αὐτοῦ ἔσχεν γυναικός, τῆς ἀδελφῆς Γεωργίου τοῦ Σουρσουβούλη, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν καταλέλοιπεν. τὰ κύκλῳ οὖν ἔθνη τὴν τοῦ Συμεὼν μαθόντα τελευτὴν ἐκστρα-

ὀργισθεὶς καὶ ἀτιμάσας ἡμᾶς ἀνεχώρησεν. καὶ λοιπὸν ἀνάγ-
κην ἔχομεν ἕτερον πατριάρχην ποιῆσαι." καὶ ταῦτα ψευ-
σάμενος ἔπεισεν τὸν λαὸν ὅτι παρῃτήσατο. καὶ δὴ βουλομέ-
νου αὐτοῦ ποιῆσαι Ἰωάννην τοῦ Παγκρατίου, καθ' ὃ καὶ
προσυνέθετο αὐτῷ, διεκωλύθη παρὰ τῶν πατρικίων λεγόντων
ὅτι νέος ἐστὶ καὶ ἀφανής, καὶ οὐ δεῖ ἡμᾶς γέροντας προσκυ-
νεῖν καὶ προσπίπτειν ἔμπροσθεν αὐτοῦ· ἀλλὰ μᾶλλον ἐκ
τοὺς εὐγενοῦς καὶ ἐμφανεῖς καὶ χρόνῳ προβεβηκότας γενέ-
σθω. καὶ δὴ ἐπελέξατο Θεόδοτον υἱὸν Μιχαὴλ πατρικίου τοῦ

2. φορείου margo P

ita fecit, summissis nocte qui patriarcham eiicerent ecclesia. quare qui missi fuerant, lectica patriarcham abducentes medio Milii foro steterunt, ut eum militum quidam occiderent. erat porro profunda nox, somnoque cunctis depressis nullus se movit. post mediam horam, in nullo quorum erat molimen proficientes, tulerunt eum inde et in arcem abduxerunt, lintrique impositum trans fretum ad Chrysopolim proiecere. mane comitiis habitis filius perditionis ad populum sermonem habuit. "videtis, fratres, ut patriarcha ecclesia derelicta discesserit, quod cum eo de imaginibus fuerimus collocuti, et exposuerimus propter eas a gentibus nos affligi. is vero responsi congrui penitus ignarus, ira praeceps et nobis neglectis abiit. alium igitur patriarcham institui necesse est." ita mentitus persuasit populo eum abdicasse se dignitate: Ioannem quippe Pancratii filium, ut prius cum eo pactus erat, ad istiusmodi dignitatem promovere studebat. a patriciis tamen in hunc morem monentibus prohibitus est. "iuvenis est" inquiebant "et ignobilis: neque decet nos senes eum venerari et coram eo procidere, quin potius ex ingenuis et illustri familia natis aetateque provectis patriarcha promoveatur." eam ob rem Theodotum Michaelis patricii Melissini, Constantini imperatoris Caballini

C Μελισινοῦ, συγγάμβρου ὄντος Κωνσταντίνου τοῦ βασιλέως τοῦ Καβαλλίνου κατὰ τὴν τρίτην αὐτοῦ γυναῖκα. αὐτὸν τὸν Θεόδοτον, σπαθαροκανδιδάτον ὄντα, συνθέμενον τῷ δόγματι αὐτοῦ ἐκούρευσεν στεφανίτην, καὶ ἐποίησεν αὐτὸν πατριάρχην, χειροτονήσαντες αὐτὸν τὸ πάσχα, ἄνθρωπον μηδὲν πνευματικὸν ἐπιστάμενον μηδὲ παιδευθέντα τῇ γραφῇ ἀλλ' ἢ ὀλίγου τινός, καὶ μηδεμίαν εὐσέβειαν κεκτημένῳ, μόνον ὅτι πρᾶος ἦν καὶ ἐφαίνετο τοῖς ἀνθρώποις ἐνάρετος. οὗτος εἰσελθὼν εἰς τὸ πατριαρχεῖον ἤρξατο ποιεῖν ἀριστόδειπνα πολυτελῆ διὰ κρέατος, καὶ τοὺς ἐκ νέας ἡλικίας μὴ φαγόντας κρέα κληρι-
D κοὺς καὶ μοναχούς, οὐ μὴν ἀλλὰ καὶ ἐπισκόπους ἐποίησεν διαλῦσαι καὶ ἐσθίειν ἀφειδῶς· καὶ ἔνθα ποτὲ ἦν εὐλάβεια πολλὴ καὶ σεμνότης καὶ ἐγκράτεια καὶ ἀρετή, ἦν ἰδεῖν γέλοια καὶ παιγνίδια καὶ παλαίσματα καὶ αἰσχρολογίας γενομένας, μὴ ἔχοντος διδασκαλίαν τὴν οἰανοῦν. καὶ λοιπὸν μετὰ τοῦ πάσχα ποιεῖ σύνοδον ὁ χαμαιλέων ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῇ λεγομένῃ Σοφίᾳ, καὶ καθίσας τὸν αὐτὸν Θεόδοτον, ὃν ἔλεγεν Κασσιτερᾶν, ὡς ἅτε πατριάρχην, καὶ Συμβάτιον τὸν υἱὸν αὐτοῦ, ὃν ἐπέθηκεν Κωνσταντῖνον, καί τινας ἀσεβεῖς ἐπισκόπους, παρεσκεύασεν πῆξαι σταυροὺς κατὰ τῆς ἀληθείας, αὐτὸς εὖ-
P. 442 λαβηθεὶς πῆξαι σταυρὸν διὰ τὸ πρότερον καθυπογράψαι ἐν τῷ βασιλεύειν αὐτὸν εἰς τὴν ὀρθόδοξον πίστιν τοῦ μὴ παρα-

6. ἢ] ἢ ἐξ Comb

ob tertiam eius coniugem leviri, filium elegit: istum, inquàm, Theodotum spatharocandidatum, opinatis eius consentientem, maritali nuptiarum corona notatum, tonderi iussit et patriarcham consecrari. celebrata est ordinatio eius paschatis festo, hominis, inquam, qui nihil spirituale calleret, nulla scripturae parte foret eruditus nisi forte levissima, qui nullam erga deum pietatem ostentaret; tantum quod mansuetudine praestaret, et bonus hominibus appareret, commendabatur. hic cum patriarchalem dignitatem subiisset, opipara meridiana serotinaque carnibus appositis coepit agitare convivia, clericosque et monachos nec non episcopos, a iuvenili aetate carnium esu abstinentes, continentiam abrumpere et ad ingluviem comedere compulit; et ubi primum pietas plurima, honestas, continentia et virtus enitebat, ibi risus lusus luctas turpiloquia haberi absque disciplinae cuiuscumque iugo vidisses. post pascha igitur convocat synodum Chamaeleon ad magnam ecclesiam nomine Sapientiam, et Theodoto, quem Cassiteram appellabat, velut patriarcha sedere iusso, filioque eius Symbatio, cui Constantini nomen imposuit, et quibusdam aliis irreligiosis episcopis in consessum inductis, cruces et iuramenta adversus veritatem figere disposuit. ipse crucem exarare veritus, quod prius, cum

σαλεύειν αὐτήν· ὅπερ ὁ ἄθλιος οὐκ ἐφύλαξεν. καὶ λοιπὸν ἀναγνώσαντες τὸν τόμον ὃν ἐποίησαν οἱ τοῦ ψευδοσυλλόγου προασπισταί, ὃν ἐπωνόμασαν ὅρον τῆς ἑβδόμης συνόδου τῆς ἐν Βλαχέρναις, ἀναθεματίσαντες οἱ τοῦ ἀναθέματος κληρονόμοι τοὺς ὀρθοδόξους ἡμῶν πατριάρχας, ἤγαγον δέ τινας μητροπολίτας καὶ ἐπισκόπους τῶν ὀρθοδόξων τυραννικῶς σύροντες, ῥήξαντες ἐν μέσῳ τῆς ληστρικῆς αὐτῶν συνόδου, ἐπάτησαν, ὡς δῆθέν τι εὐσεβὲς ποιοῦντες οἱ ἀσεβεῖς, καὶ παραδόσαντες αὐτοὺς τοῖς στρατιώταις αἱματοφύρτους ἀπήγαγον εἰς B τὰς φυλακὰς καὶ εἰς τὰ δεσμωτήρια· ποιήσαντες δὲ ἡμέρας τινὰς ἐκεῖσε πάλιν ἐξήγαγον, καὶ ἀνακρίναντες καὶ εὑρόντες μὴ πειθομένους τοῖς ὑπ' αὐτῶν λεγομένοις ὑπέμνησαν τὸν ἀρχηγὸν τοῦ ψεύδους, καὶ ἀπέστειλαν αὐτοὺς εἰς ἐξορίαν· οὓς τινας καὶ ἐν τῇ ἐξορίᾳ πέμπων ἐβασάνιζεν. λοιπὸν οὖν λαβὼν τὸ κράτος τῆς ἀσεβείας πᾶσαν πονηρὰν δραματουργίαν εἰργάζετο, τὰς δὲ ἁπανταχοῦ εἰκόνας τῶν ἐκκλησιῶν κατέστρεψεν καὶ κατέκαυσεν, καὶ ἱερὰ σκεύη συνέτριψεν ἔχοντα εἰκόνας, καὶ τοὺς τολμῶντας λαλῆσαί τι ἐγλωσσοκόπησεν· τοὺς μὲν ἐφόνευσεν ἀπὸ δαρμοῦ, καταστήσας καὶ δηλάτορας ἀν- C θρώπους ἀσεβεῖς, ἵνα ὅπου ἂν εὕρωσί τινας μὴ κοινωνοῦντας καταμηνύσωσιν. οὓς τινας εὑρισκομένους δαρμῷ ἀφορήτῳ καθυπέβαλλεν, δημεύων καὶ τὰς ὑποστάσεις αὐτῶν, καὶ

regnum capesseret et orthodoxam fidem non immutaturum se profiteretur, quod infelix haud custodivit, iuramentum interposuit. hoc pacto tomum illum a pseudosynodi (quam septimae synodi ad Blachernas decretum vocaverunt) defensoribus editum coram legerunt, et orthodoxos patriarchas nostros anathematis haeredes anathemate percusserunt, et more tyrannico metropolitas et episcopos orthodoxos per vim tractos et in medium praedatoriae istius synodi proiectos conculcaverunt pedibus, quasi pietatis opus impietatis ministri agerent, et proprio sanguine infectos militibusque traditos in custodias et carceres detruserunt. ibique diebus aliquot detentos rursum eductos et examinatos morem dictis suis gessisse non reperientes, imperatore mendacii auctore de iis monito, in exilium miserunt; quos insuper in exilio positos missis tortoribus variis suppliciis affecit. una igitur cum imperio facinus quodvis impium perpetrandi potestate arrepta, nullum scelus sibi non admittendum decrevit, a nullo crimine sibi putavit temperandum. imagines vero per ecclesias ubivis erectas deposuit et combussit, sacraque vasa caelatis imaginibus insignia contrivit. de his obmutire ausis linguas abscidit, istos contudit verberibus, alios delatoribus et impiis hominibus institutis, ut ubicunque aliquos sibi non communicantes reperirent, accusari permisit. repertos autem

εἰς ἔξορίαν ἀποστέλλων οὐ μόνον ἄνδρας ἀλλὰ καὶ γυναῖκας. καὶ τί δεῖ λέγειν τὴν σκοτόμιγναν τῶν τότε κακῶν; τοὺς γὰρ μεταβάντας πιστοὺς ἔν τισι κλίμασι καὶ εἰς χώρας τὰς μὴ προσηκούσας αὐτῷ πέμπων εἰς τοὺς τοπάρχας τῶν ἐθνῶν ἐζήτει πιάσαι, ἄλλος Ἀντίχριστος γενόμενος. ὅθεν πολλοὺς ἐπισκόπους καὶ μοναχοὺς συλλαβὼν ἀπέκτεινεν καὶ ἐθαλάσσωσεν. τοὺς ἐξορίστους ἐπισκόπους καὶ μοναχοὺς ἀνεκαλέσατο

verberibus intolerandis subiiciebat, facultates publico addicebat, et in exilium pellebat non viros solum sed et mulieres. quid malorum illorum caliginem memorare necesse est? fideles enim decretorum suorum transgressores in alienas regiones missos a locorum dominis gentilitate detentis comprehendi novus Antichristus factus curabat; ex quo episcopos et monachos plures ea detentos occidit, et exilio multatos episcopos maris insulis inclusit. monachos revocavit

ΕΥΣΤΑΘΙΟΥ ΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΣΥΓΓΡΑΦΗ

ΤΗΣ ΚΑΤ ΑΥΤΗΝ ΑΛΩΣΕΩΣ.

ΕΥΣΤΑΘΙΟΥ ΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΣΥΓΓΡΑΦΗ

ΤΗΣ ΚΑΤ ΑΥΤΗΝ ΑΛΩΣΕΩΣ.

EUSTATHII ARCHIEPISCOPI

DE CAPTA THESSALONICA

NARRATIO.

Εὐσταθίου τοῦ Θεσσαλονίκης συγγραφὴ τῆς εἴθε ὑστέρας 267 ed.
κατ' αὐτὴν ἁλώσεως, ἠρρωστημένης μὲν ἐπὶ τῆς κατὰ τὸν Tafel.
Κομνηνὸν Ἀνδρόνικον δυσδαίμονος βασιλείας καχεξίας λόγῳ,
ἣν ἐκεῖνος φαῦλα διαιτῶν κατὰ τῆς οἰκουμένης πολλὴν ἐκ
μακροῦ ἤθροιζε, ταχὺ δὲ πάνυ τεθεραπευμένης ὑπὸ τοῦ ἐλευ-
θερωτοῦ, μεγάλου βασιλέως Ἰσαακίου τοῦ Ἀγγέλου, διαδεξα-
μένου ἐκεῖνον εὐδαιμόνως καὶ εὐτυχῶς τῷ κόσμῳ, προνοίᾳ
καὶ εὐμενείᾳ θεοῦ, μετ' οὐ πολλὰς ἡμέρας τοῦ ἁλῶναι τὴν
πόλιν, ἐν τῷ χρήσασθαι ὀξυχειρίᾳ ἔργων, ὡς δέον μάλιστα
ἦν, ἧς αὐτῷ θεὸς συνεφήψατο, καθὰ λόγος ἕτερος καιρὸν εὑ-
ρηκὼς περιηγήσεται.

Eustathii archiepiscopi de captâ Thessalonica (capta utinam postremum) narratio, quum ea urbs graviter afflicta esset infausto Andronici Comneni imperio propter magnam, quam ille prava administratione per orbem terrarum undecunque conflabat miseriam, sed mox restitueretur felicissime a liberatore et imperatore eximio, Isaacio Angelo, qui prospere et orbi terrarum saluberrime providentia et gratia dei non multis post captam urbem diebus illum excepit, magna usus, qua sane quam opus erat, et quam illi deus impertiverat eximiam, agendi alacritate, quemadmodum, tempus et occasio nisi deerunt, libro explicabitur alio.

Προθεωρία τῆς τοιαύτης συγγραφῆς.

Πόλεων ἁλώσεις ἱστορούμεναι εἴτε συγγραφόμεναι μεθόδοις διοικοῦνται ὡς τὰ πολλὰ ταῖς αὐταῖς. οὔτε δὲ ἅπάσας τὰς ἐπιβαλλούσας ἠναγκασμένως ὁ γράφων διαχειρίσεται, οὐδὲ μὴν τὰς ἀμφοτέρωθι χρηστὰς ὡσαύτως διοικονομήσεται· ἀλλὰ καθιστορῶν μὲν καὶ ἀπαθῶς γράφων καὶ θεολογήσει ἔστιν οὗ, καὶ πρὸς φύσεως λόγον ἐμπλατυνεῖται, καὶ τὴν φράσιν δὲ ψιμιθιώσει πρὸς κάλλος ἀφειδέστερον, καὶ τοπογραφήσει, καὶ ἐκφράσεσιν ἐναγλαΐσεται, καὶ ὅλως οἷα ἔξω πάθους λαλῶν πολλὰ διαθήσεται πρὸς χάριν ἀκοῆς, οὐκ ἀφέξεται δὲ οὐδὲ τῶν ὡς εἰκός, στοχαζόμενος αὐτὸς ἐνταῦθά γε, ὅτι μηδὲ παρῆν τοῖς ἀφηγουμένοις κακοῖς, ὡς καὶ παθαίνεσθαι καὶ αὐτὰ δὴ φράζειν ἐκεῖνα. καὶ οὕτω μὲν ὁ τὰ πρὸς ἱστορίαν δηλῶν· ὁ δὲ καὶ συγγραφόμενος καὶ χρωτισθεὶς τῷ κακῷ πάντων ἐκείνων προσάψεται μὲν ἀναγκαίως, οὐκ ἐπὶ τοσοῦτον δέ, μόνῳ πλεονάζειν ὀφείλων τῷ πάθει, καὶ αὐτῷ ἀναλόγως τῇ κατ' αὐτὸν προσωπικῇ ποιότητι. τοῦ λαοῦ μὲν γὰρ ὧν τίνα ἂν ἔχοι ψόγον εἰς κόρον παθαινόμενος; βίᾳ δὲ ἀνειμένος τῷ κατὰ πνεῦμα, καὶ μεταξὺ τοῦ πενθεῖν καὶ τοῦ εὐχαριστεῖν τῷ κρείττονι οὐκ ἐπιτείχισμα ἐρυμνὸν ἀλλὰ χάος μέγα βλέπων, φείδοιτ' ἂν ἀκράτως τραγῳδεῖν. ὁ δ' αὐτὸς

DE TALI HISTORIA PRAENITTENDA DISQUISITIO.

Expugnationes urbium sive priscae sive recentis memoriae quum narrantur, rationibus tractantur plerumque iisdem. neque autem quae locum habent rationes, scriptor necessario cunctas sequetur, nec in utroque genere utiles pari usurpabit modo. sed quum res olim gestas narrat et liber ab affectu animi vehementiori scribit, causas rerum nunc divinas scrutabitur, nunc copiose explicabit naturales, narrationemque ad suavitatem ornabit studiose, descriptionibus locorum indulgebit, gloriosiusque se iactabit in degressionibus, atque omnino, utpote a se aliena narrans, multa ad gratiam audientium conformabit, nec vero reticebit, sua usus divinandi facultate, quae probabilia ipsi videntur, quoniam non interfuit malis, quae narrat, nec vehementius illis commovetur. atque ita quidem scripserit, qui temporum priorum historiam consignaverit. sed qui suae aetatis historiam scribit et ipsa tinctus est calamitate, profecto ad omnia ista devolvetur necessario, sed non pari, atque ille, modo, sola coactus animi cupiditate, modum excedere, idque varie pro varia vitae statione. nam si e laicis sit, quid reprehendatur, si ad satietatem excanduerit? in vita autem spirituali collocatus, atque luctum et erga deum gratiam non vallo firmo, sed

οὐδ' ἂν παίζοι χορεύων ἐν πένθεσιν, ὁποῖον δή τι καὶ τὸ πάνυ καλλύνειν τοὺς λόγους κομμωτικῶς ἐν σκυθρωποῖς πάθεσι. καὶ τὰ ἄλλα δὲ συγγραφικὰ εἴδη σωφρόνως μεταχειρεῖται κατὰ μέθοδον ἰδίαν, οὔτε παράδοξα ἐκτιθεὶς ἀκούσματα κατὰ τὸν ἀπαθῆ ἱστορικόν, οὔτ' ἄλλα ὅσα πρὸς οὐκ ἄκαιρον φιλοτιμίαν καὶ πολυμαθίας ἔνδειξιν οἱ ἔξω πάθους τεχνάζονται.

Εἰ τοίνυν καὶ ἐμὲ τοιόνδε τινὰ ἡ παροῦσα συγγραφὴ 268
διαδείξει, αὐτίκα φανεῖται. ἄρξεται δὲ ὁ ὑποτεταγμένος λόγος ἀναγκαίως ἐξ αὐτοῦ πάθους, ὅτι μηδὲ ἦν τὸν ἐν ἐλεεινοῖς ὄντα μὴ τραγικεύσασθαι τό γε πρῶτον. εἶτα καθιστάμενος τοῦ οἴκτου, καί τι πρὸς βάρος ὑπομεμψάμενος τὸν αἴτιον καὶ συναίτιον τοῦ κακοῦ, γενήσεται τοῦ καὶ εὐκρινῶς καὶ σαφῶς, ἐπί τι δὲ καὶ μεγαλείως ἀφηγεῖσθαι· καὶ πῇ μὲν ἀφελῶς, ὡς ἐχρῆν, πῇ δὲ καὶ γλαφυρώτερον καὶ ἀπὸ κεφαλῆς ἠργμένος, ἧς οὐδὲν καιρίως πρεσβύτερον, καταβήσεται εἰς τὰ ἐχόμενα καθ' εἰρμὸν καὶ τάξιν οὐ πάντῃ ἀπεριλάληττον, καὶ ἄψεται πάλιν τῶν τῆς ἁλώσεως πλατύτερον κατὰ πᾶσαν ἀνάγκην, ἐπεὶ καὶ αὕτη μάλιστα πρὸ ἔργου ὑποβέβληται τῇ συγγραφῇ. ὅτι δὲ καὶ σημεῖα ἐν τοῖς τοιούτοις προφαίνει τὸ θεῖον, ἃ δὴ κἀνταῦθα ἐμφανῶς προέλαμψε, προσεφάψεται καὶ τοιούτων τινῶν ὁ λόγος εἰς σύμμετρον. οὐκ

ingenti separata intervallo videns, caveat profecto, immedice indulgere tragoediae. nec vero luserit idem in luctu choream ducens, qualis est quaesita illa in lugubri calamitate orationis exornatio. idem reliqua, quae ad historiam pertinent, prudenter ratione propria instituet, neque improbabiles rumores adhibens, sicut rerum priscarum scriptores solent, neque alia, quae historici, a calamitatibus, quas narrant, remoti, facere solent, ambitione illi quidem et ostentandae doctrinae studio haud inepto.

Iam vero, num me talem haecce historia scriptorem habitura sit, statim apparebit. ordietur autem narratio nostra necessario ab ipsa calamitate, quoniam fieri omnino non poterat, ut qui in malis versaretur, non lamentaretur certe quidem ab initio. deinde autem, missis lamentis et nonnihil pro merito reprehensis calamitatis auctore et eius socio, clare et perspicue et quadam ex parte adeo elate rem enarrabit ipsam; et quidem nunc simpliciter, prout res postulabat, nunc polite atque ornate; et deflexa nonnunquam a rei capite, quo nihil suo tempore antiquius, descendet ad res nexu et ratione non omnino praetermittenda cum illa coniunctas, ac revertetur rursus ad expugnationem copiosius omni ex parte enarrandam, siquidem id operis praecipue propositum est huic scriptioni. quoniam autem portenta rebus huiusmodi numen

ἀποστήσεται δὲ οὐδὲ τοῦ ἐκθέσθαι ἁμαρτητικὰς αἰτίας, ὧν ἕνεκεν τὰ δεινά, ὃ καὶ αὐτὸ οἱ συγγραφόμενοι ἐν ἔργῳ ἑλλόγως τίθενται. ἀνασκαλεύσει δὲ ἀμυδρῶς ἡ συγγραφὴ τὰ τοιαῦτα αἴτια ἐν ὑστέρῳ τοῦ ὅλου λόγου κατὰ μέθοδον διδασκαλικήν. οὐ γὰρ ἐν ἑτεροίῳ καιρῷ καὶ ἀνέγνωσται καὶ ἐκδέδοται, ἀλλ' ὅτε οἱ προεισόδιοι τῶν νηστίμων ἁγίων ἡμερῶν κατηχοῦνται εἰς ἀκοάς, ὡς ἀποτελευτᾶν τὸν λόγον εἰς διδασκαλίαν ἐκκλησιαστικήν, ἀρξάμενον ἄλλως ἀφ' ὧν κακῶν ἡ πόλις ἔπαθεν.

Ἀρχὴ αὐτοῦ δὴ τοῦ συγγραφικοῦ λόγου τῆς ἁλώσεως.

Ἔφηνε καὶ ὁ καθ' ἡμᾶς ἄρτι χρόνος, εἴπερ τις ἕτερος τῶν πάλαι, ὑπόθεσιν ἣν ἀπαθὴς μὲν ἄνθρωπος καὶ μακρὰν ἑστὼς τοῦ κατ' αὐτὴν κινδύνου μεγάλην εἴποι ἄν καὶ βαρυσύμφορον καὶ πάνδεινον καὶ ἀπευκταίαν καὶ οὐ ῥᾴον φορητὴν καὶ πολυπενθῆ καὶ δακρύων πηγὰς ἐθέλουσαν καὶ τοιαῦτά τινα, ὁ δὲ δικτύων, ὅ φασι, σπειραθεὶς καὶ καθ' ἡμᾶς ἐνειληθεὶς τῷ πράγματι ἴσως μὲν οὐκ ἂν εὐπορήσοι πρὸς ἀξίαν ὀνομάσαι τὸ κακόν, ἐκκρουόμενος οὗπερ ἐθέλει νοεῖν τῷ ποικίλῳ καὶ ἐπαλλήλῳ τῶν συμφορῶν, ὅσαι κατέχασκον ἑκάστου τῶν δυστυχούντων, πολλαῖς καὶ διαφόροις οἰκειούμεναι

divinum praemittere solet, quae sane tum quoque clare micuerunt, illa quoque narratio nostra apte commemorabit. nec praetermissura est, peccata enumerare, unde ortae sint calamitates: quod et ipsum historici recte muneris sui existimant. scrutabitur autem obiter scriptio nostra huius generis causas in posteriore totius operis parte in modum praecipientis. etenim tempore recitata et edita est eo, quo vestibularii solemnis ieiunii ad auditiones congregati instituuntur, ita ut commentatio nostra in orationem ecclesiasticam exeat, profecta aliunde, a malis, quibus urbs afflicta est.

Initium ipsius de expugnata urbe operis historici.

Nostra nunc aetas, si qua vetusta, calamitatem genuit, quam quisquis ab ea alienus et longe remotus a periculo magnam, gravem, terribilem et detestandam, non facile ferendam, luctuosam et lacrimarum fecundam et aliis id genus nominibus appellaverit; sed ventis, ut aiunt, datus et miseria nobiscum implicatus nemo facile invenerit, quomodo malum illud digne nominaverit, ex loco quippe, quem tenere voluerit, extrusus semper varietate et fluctuatione calamitatum, quae undique inhiabant civibus miserandis, multis illae et variis appellandae nominibus. si tamen quis calamitatem verbo vo-

κλήσεσιν· εἰ δὲ καὶ δυνήσεται κατευστοχῆσαι τοῦ κακοῦ πρὸς ἔπος, ἐρεῖ ἂν αὐτὸ οὐκ ἀπεικότως φωστῆρος μεγάλου ἀφάνειαν, οὐδὲν μὲν ἐκεῖνος λέγων πρὸς πάθος (ἐχρῆν γὰρ ἄλλοις ὀνόμασιν ἐνταῦθα παθήνασθαι), τῷ μεγαλείῳ δὲ ὅμως ὀρθῶς ἐπιβάλλων τοῦ δυσπραγήματος. ἦ γὰρ οὐ τοιοῦτόν τι τὸ τὴν ἐν ταῖς ὑπ' οὐρανὸν πόλεσι πάνυ λαμπρὸν φαίνουσαν Θεσσαλονίκην οὕτω παθεῖν ὡς νῦν ἔχει; ἔχει δὲ ὡς ἂν ἀπεύξαιντο καὶ ἐχθροί, ὥσεὶ καὶ καλὸν εἶδος ἀφανισθὲν λυπεῖ καὶ τὸν ἧν ὅτε ἀπόστοργον. ὤμοι δαίμονος, ὃς οὕτω βριθὺς τηλικαύτης πόλεως εὐετηρίᾳ ἐνήλατο καὶ κατέστρεψεν. ἀπήγαγε μὲν οὖν αὐτὴν τέλεον, ὡς μηδὲ λείψανον ἐναπομεῖναι παλαιᾶς καλλονῆς. καὶ τείχη μὲν αὐτῆς ἠχρειωμένα, καὶ ἱερὰ τὰ πάντα κατηκισμένα εἰς ὅσον οὐδὲ τόποι τολμητοὶ πᾶσι, καὶ οἶκοι εὐπρεπεῖς κατησχυμένοι, καὶ περιουσίαι πολιτῶν αἱ μὲν ἡντλημέναι αἱ δ' ἐκκεχυμέναι καὶ ἄλλως δὲ διεσπαρμέναι, τί ἂν λέγοιντο, ἔνθα οὐκ ἔστιν, ὡς ἐχρῆν, αὐτὰ διῖξεσθαι; τὸ δὲ ἐν τῇ πόλει πλῆθος, οὐ μόνον τὸ στρατιωτικὸν ἀλλὰ καὶ τὸ λοιπόν, ὅσον ἐν ἱερᾷ πολιτείᾳ τῇ κατὰ κόσμον καὶ ὅσον δὲ λαϊκόν, τίς ἂν ἐς ἀξίαν δακρύσειε; ναὶ μὴν καὶ ὅσον τοῦ βίου τὸν φλοῖσβον διακρουσάμενον ὡς εἰς λιμένα κατήντησε τὸ ἀπρόϊτον τῆς ἐνοικήσεως, πάντες οὗτοι, ὥσεὶ καὶ ἀκρίδες πυρὶ κατὰ λῆϊον ἐλαυνόμεναι, τῇ καυστηρᾷ μάχῃ πρὸς ὄλεθρον ἐξετινάσσοντο. καὶ οἱ μὲν πολέμιοι πε-

luerit assequi, haud immerito dixerit sideris eximii occasum: minime ille quidem significans rei miseriam (aliis enim lamentandum foret vocabulis), sed tamen magnitudinem rei recte attingens. annon tale quid est Thessalonicae inter urbes longe splendentis ea, qua afflicta iacet, calamitas? iacet autem ita, ut misereantur etiam inimici, sicuti formosam faciem, quum deleta est, miseretur etiam qui olim oderat. eheu daemonis invidiam, qui tam violenter tantae urbis felicitatem invasit et evertit! delevit eam, ut ne particula quidem pristinae pulcritudinis relicta sit. moenia urbis destructa, atque templa omnia ita dedecorata, ut ne loca quidem turpari solent cunctorum ludibrio obnoxia, aedificia splendida foedata, et bona civium partim exhausta partim dissipata et quocunque modo dispersa: haec, inquam, quo nomine appellentur, quando enarrari, ut par foret, non possunt? multitudinem autem urbis, non modo militarem, sed etiam reliquam, tum vitae mundanae clericos, tum laicos, quis digne lugeat? quid, quod etiam, qui evitarant tempestates vitae et tanquam in portum in claustra monasteriorum penetrarant, omnes, velut locustae flammis per segetes correptae, aestuoso bello in perniciem dabantur? hostes enim circumeuntes flammam irae in omnem civitatem evomebant; illi

ριστοιχίζοντες θυμοῦ πῦρ ἐξέκαιον ἐπὶ τὸν πολιτικὸν ἅπαν· ἐκεῖνοι δὲ οἱ μὲν ἐπικαταλαμβανόμενοι καί που καὶ σπαργανούμενοι πυρὶ τοιούτῳ πάντοθεν οὐκ εἶχον διεκπίπτειν ἀλλὰ πολυειδῆ τὸν κίνδυνον εἶχον, οἱ δὲ ὅσα καὶ σπινθῆρσι τοῖς βέλεσι πόρρωθεν ἔπασχον τὸ κακόν. ἠέλιος μὲν νέον προσέβαλλεν ἀρούρας, οὐκ ἔσχε δὲ τὴν θανάσιμον διαλῦσαι νύκτα, ἀλλὰ κατεκαυχᾶτο τοῦ φωτὸς ἡ τῶν πιπτόντων ζόφωσις. οὔπω τις ἔφθη τὸν γλυκὺν ὕπνον ἀποθέσθαι· ὁ πικρὸς καὶ ἀνέγερτος αὐτὸν διεδέχετο, καὶ ὄναρ κακὸν ἐφίστατο ὕπαρ τῇ κεφαλῇ, καὶ ὁ βλέπων αὐτὸ κατέμυεν εἰς θάνατον. ἀπηλλάττετο κλίνης ἐγρηγόρσεως λόγῳ· καὶ ὁ πολέμιος σίδηρος ἄλλως αὐτὸν κατέκλινεν, ὡς ἐκεῖνος χαίρει κοιτάζων. πολλοῖς δὲ καὶ ἡμιγύμνοις ἔτι τὸ κακὸν τοῦτο θηρίον ἐνεφύετο, ἵνα μηδὲ κάμοι τοὺς ὀδόντας ἐντρῖβον σωμάτων καλύμμασι. καὶ στρατιωτῶν μέν, ἤδη δὲ καὶ τῶν ἄλλως ῥωμαλέων ἢ καὶ ὅλως ἀκμαίων εἴπερ ὁ πόλεμος ἐδράττετο καὶ διέσπα, ἐμπείρας ὀξείας ὄνυχας, ἐκαινοπράγει οὐδέν· φιληδεῖ γὰρ σώμασι τοιούτοις ἐκεῖνος, ὑφ' ὧν καὶ συγκροτούμενος θεραπεύεται ὡς τὰ πολλά. εἰ δὲ καὶ ἄνδρας ἀθλίους ἐφιλοτιμεῖτο ἀπάγειν, ἤδη τυμβογέροντας ὄντας καὶ εἰς γῆν κεκυφότας καί που, πρὶν ἢ καὶ πληγῆναι, γινομένους τοῦ Χάρωνος οἷς τῷ δέει παρίεντο, καὶ γραῦς δὲ τὰς πλείους καὶ ἐξ ὀμμάτων οὔσας καὶ κωφευούσας διὰ βαθὺ γῆρας, καὶ οὔτε

17. ὀξέας T (i. e. editio Tafeliana)

autem, partim correpti et undique quasi involuti incendio non poterant evadere, sed in multifario versabantur periculo, partim tanquam sparsis undecunque scintillis eminus telis obruebantur. sol radios in arva mittere coeperat, nec dispellere poterat noctem funestam; sed illudebant lucem pereuntium tenebrae. nemo citius suavem deposuerat somnum, quam somnus iste acerbus et perpetuus illum exciperet, et funesta species capiti eius adstaret, quam qui videret, oculos ad mortem claudebat. desiliebat de lecto, experrecturus scilicet: at ferrum hostile eum prosternebat, quo illud modo prosternere solet. multos adeo seminudos cruenta ista bellua feriebat, ut dentes ne fatigaret tegumentis inhaerens corporis. quodsi milites atque reliquos robustos et strenuos homines corripuisset et lacerasset, infixis unguibus acutis, nihil fecisset novum; gaudet enim eorum corporibus, a quibus excitatur et exercetur plerumque; sed quod etiam fractos rapiebat homines, senes morti propinquos et in terram curvatos adeoque, priusquam ferirentur, magno, quo angebantur, terrore Charoni mandatos, atque mulierculas plurimas visu audi-

βλεπούσας τὸ τῶν ὅπλων ἀστραπαῖον οὔτε βροντῆς αἰσθομένας τῆς ἐξ ἀπειλῶν, ἀλλὰ τοῦτο οὐ φρενήρης Ἄρης ἀλλὰ 269
δόρυ ἐνήργει μαινόμενον καὶ ξίφος οὐκ εὐδιάκριτον.

Οἰκτιστα δὴ ταῦτα βροτοῖς· ἐλεεινότατον δὲ ὅτι καὶ βρέφη συνέκειντο τοῖς παντοδαπῶς πίπτουσι, τὰ μὲν συνεκκεντούμενα ταῖς φερούσαις ἀγκάλαις, τὰ δὲ τῷ καταρρίπτεσθαι ὑπὸ δέους ἢ καὶ φόνου τῶν βασταζόντων, τὰ πλείω δὲ συγκαταπατούμενα. ἡ γὰρ τοῦ φεύγειν ἀνάγκη καὶ τοιοῦτον ἁπλῆγα φόνον ἐτυράννει, τὸν μὲν ἔσω τῶν ἐκκλησιῶν ὠθιζομένου τοῦ λαοῦ καὶ τῇ συμπιλήσει δυστυχοῦντος ψυχῶν ἀπαγωγήν, τὸν δὲ περὶ τῆς ἀκροπόλεως τὴν εἴσοδον, ὅτε πολεμικοῦ δόρατος ἄνω τοῦ κατὰ θάλασσαν ἑῴου πύργου ἀρθέντος τοῖς ἀντιμάχοις εἰς σύσσημον τοῦ τὴν πόλιν ἤδη καταπεπονῆσθαι, ὡς καὶ ἀναρριχᾶσθαι τοὺς βουλομένους ἔξωθεν, τὸ μὲν κάτω περιεῖναι ἀπέγνωστο, ἦραν δὲ τοὺς ὀφθαλμοὺς οἱ πλείους ὡς εἰς ὄρη τὴν ἀκρόπολιν, ἔνθα βοήθειαν ἐκαραδόκουν αὐτοῖς ἔσεσθαι.

Ὃ δὲ μάλιστα τὴν τοῦ κακοῦ πολυφθορίαν ἐνταῦθα κατηγορεῖ, τοῦτ' ἦν ὅτι ταῖς νεκρικαῖς θημωνίαις καὶ ἀλόγων ζώων σώρευμα παρετέθειτο. ἀχωρήτου γὰρ ὄντος μιᾷ πύλῃ τοῦ συνερρευκότος ἄνω λαοῦ, καὶ βιαζομένων μὲν παραβύεσθαι ὥστε σώζεσθαι, μὴ ἐχόντων δὲ παραδύεσθαι ἑκάστων,

tuque propter senectutem orbas, nec cernentes armorum splendorem, nec sonorum minacium tonitrua audientes, id quidem sanae mentis Martis non erat, sed hastae rabidae et gladii insanientis.

Sane quam acerba haec fuerunt mortalibus; acerbissimum vero, quod etiam infantes commixti iacebant cum ceteris ubique pereuntibus, partim perfossi inter amplexentium brachia, partim a portantibus inter caedem terroremve proiecti, plerique inter pedes conculcati. fugiendi autem necessitas etiam incruentam necem creabat, partim in templa compulsa et propter angustias animam efflante multitudine, partim in aditu arcis, quum, hasta hostili supra orientalem ad mare turrim ab adversariis elata, quod signum exhaustae iam urbis esset, ita ut etiam extrinsecus muros scanderet, quicunque vellet, partem urbis inferiorem servari posse desperaretur, sed oculos plerique in arcem tanquam in montes converterent, unde salutem sibi fore sperarent.

Quod vero inprimis miseriae calamitatem arguit, illud est, quod cum caesorum hominum acervis bruta miscebantur animalia. etenim quum una porta capere non posset confluentem ad arcem multitudinem, omnesque penetrare niterentur, ut servarentur, nec possent cuncti intrare, tum pedites tum equites, ruentium turba a tergo instante

τῶν τε πεζῶν τῶν τε καθ' ἵππους, ὁ κατόπιν θέων βαρὺς ὄχλος τὸν προάγοντα, καὶ τῇ ἐπιπτώσει πάσχων ἐκεῖνος τὸ ὅμοιον ὑπὸ τῶν ὀπισθαίτερον ἐγκειμένων, οὐδ' αὐτῶν ἀπηλλαγμένων τοῦ καθ' εἱρμὸν οὕτω πάσχειν, εἰς κολωνὸν θανατουμένων ἐκορύφου τὸ σύμπτωμα, πάντων ὁμοῦ πεφυρμένων, ἀνθρώπων ἵππων ἡμιόνων ὄνων, οἷς ἐπισεσαγμένα ἦσαν τὰ τοῖς πολλοῖς ἀναγκαῖα. καὶ βουνὸς ἐκεῖνος τοιοῦτος ἀντανίστατο τῷ τῆς πόλεως ἐκείσε πυργώματι, μικροῦ παρεοικὼς τοῖς ἐγειρομένοις πρὸ τειχέων χώμασιν, ἃ δὴ καὶ αὐτὰ σκευωρεῖ ποτὲ πόλεμος.

Καὶ ταῦτα μὲν πρὸς τῇ πύλῃ τῆς ἀκροπόλεως, τῇ γε προφαινομένῃ· οὓς δὲ συνέσχε καὶ ἡ ἐνδοτέρω, ὅτε ὁ ἀχρεῖος αὐτὴν ἀκαίρως κατήραξε στρατηγὸς παρεισφθαρεὶς ἐν τῷ φεύγειν, ἄλλη τραγῳδία οὗτοι καινότροπος. ὥσπερ γὰρ μὴ ἀρκούντων τῶν ἄλλως πεπτωκότων, προσεπηύξησε τὸ κακὸν ἐκεῖνος ὁ μικρὸς μὲν τὰ καλὰ μέγας δὲ τὴν πονηρίαν, καὶ οἷόν τινα κορωνίδα καὶ αὐτὸς τῷ δυστυχήματι ἐκεφαλαιώσατο, οὐκ ἀνασχόμενος μὴ καὶ αὐτόχειρι φόνῳ προσεπιβλάψαι οὓς δυσβουλίαις κατεστρατήγησε, μάλιστα δ', εἰπεῖν τἀληθές, ταῖς εἰς μάχην καὶ φυλακὴν καθυφέσεσιν, ὡς ὁ λόγος προβαίνων ἐκφανῶς διαγράψεται, ὡς ἄν, οἶμαι, τοὺς πολεμίους πρὸς ἑαυτοῦ ποιησάμενος ἐκμειλίξαιτο, εἴγε καὶ πόλιν τοσαύτην ἀφῆκεν οὕτω πεσεῖν καὶ φόνων δὲ γέγονεν αὐτουργός, ἐπικαταθύσας καὶ αὐτὸς οὓς ἐπεμέτρησεν ὁ καιρός.

20. ὡς] ἃς?

prioribus et ipsa rursus idem patiente impetu sequentium, qui nec ipsi non premerentur similiter, turba morientium ad acervum accrescebat, cunctis confusis, hominibus, equis, mulis, asinis, quibus impositae erant res tantae multitudini necessariae. atque acervus is ita cumulabatur iuxta illud urbis propugnaculum, ut paene adaequaret aggeres pro moenibus exstructos, quos et ipsos aliquando bellum parat.

Atque haec quidem ad portam arcis foris gesta sunt. qui autem intra erant, quum male porta deiecta esset ab imperatore nequam, qui irrepserat inter fugam, aliam novam agebant tragoediam. etenim tanquam non sufficerent, qui cecidissent, auxit miseriam homo iste iners ad virtutem, sed strenuus ad nequitiam, et quasi coronidem imposuit calamitati, quum abstinere non posset, quominus ipse manu sua pessumdaret quos ducebat imperite, et quidem maxime, ut verum dicam, pugnis et stationibus perfidiose instituendis, quemadmodum rerum deinceps enarratio clare ostendet, quo hostes, opinor, sibi conciliaret demulceretque, si tantam urbem ita temere prodidisset

οὐ γὰρ ἄλλοις ἐπέταξε χαλασθῆναι τὴν κρυφαίαν ἐκείνην πύλην, μετέωρον ᾐρμένην ἐκ μηχανῆς, ἀλλ' αὐτὸς τὸ τέχνασμα σχάσας κατὰ σπουδὴν κατήνεγκε καὶ κατὰ τῶν παρεισδυομένων συγκλείσας ἐπαγίδευσε τοὺς ὑποτρέχειν λαχόντας εἰς ὄλεθρον, σφιγκτῷ θανάτῳ μετηλλαχότας τὸ ζῆν καὶ κειμένους οἰκτρὸν θέαμα, τῷ μὲν ἡμίσει τοῦ σώματος προκύπτοντας ἐπὶ τὰ ἐντός, τῷ δὲ λοιπῷ προφαινομένους τοῖς ἐκτός, ὥστε κλαίεσθαι.

Ὁ δὲ καὶ εἰς τοσοῦτον ἦν ἀνδρεῖος διολέσαι τὴν ὅλην πόλιν, ὡς ἅμα τε τοῦ πύργου γενέσθαι ὃς ὑπερανίσταται τῶν ἐκεῖσε πυλῶν, καὶ ἅμα διὰ σχοίνου καθεῖναι εἰς τοὺς ἐπιδραμόντας πολεμίους ἑαυτόν, ἐάσαντα τοὺς ἐπὶ τοῦ πύργου στρατιώτας κενὰ μελετᾶν ὑπὲρ τοῦ ἐρύματος, καὶ τὴν τρίβον αὐτοῦ καὶ τὴν σχοῖνον ταύτην ἐπαράτους ἐξιχνιάζεσθαι καὶ περιᾴδεσθαι.

Ἐνταῦθα παθαινόμενος προάγομαί τι λαλῆσαι πρὸς τὸν ἄνδρα, καὶ πυθέσθαι αὐτοῦ· τί δήποτε, ὦ βέλτιστε στρατηγέ, τὴν κάτω πόλιν κατακόπτεσθαι ἀφεὶς ἐγένου τῆς ἄνω μοίρας καὶ σπεύδων ἐκρύβης ἐντός, εἰ οὕτω ταχὺ ἐχρῆν σε καὶ αὐτὴν ἀφεῖναι τοῖς ἐχθροῖς ὑποχείριον; τί δὲ μὴ τὴν ἀγεννῆ φωνήν, τὴν τοῦ ἐλεηθῆναί σε, προέκρωξας, πρὶν ἢ καὶ καταπνῖξαι τοὺς ἐν τῇ πύλῃ σχεθέντας καὶ τοὺς λοιπούς; πῶς οὐ γελοῖον εἰσδραμεῖν τὴν ἀκρόπολιν ὡς εἰς ἄμυναν καὶ

et ipse caedem fecisset, morti immolatis, quos tempus et occasio illi obtulisset. neque enim alios occultam illam portam, ex machina quadam suspensam solvere iusserat, sed ipse, machinamento soluto, festinanter eam demisit, et, quasi decipula captos, perdidit, qui intrarent quum maxime, strangulatione enecatos et, miserabili ac flebili spectaculo, corpore dimidio intra, dimidio extra valvam proiectos.

Erat autem ille ad perdendam totam urbem ita eximius, ut, quum in turrim, quae suprà illam portam exstructa est, pervenisset, statim per funem ad obsidentes hostes se demitteret, relictis, qui in turri erant, militibus, qui nequidquam dèfendebant id propugnaculum, et semitam illam et funem detestabilem insectabantur execrationibus.

Hic iam inter lamentationem meam facere non possum, quin, ad hominem istum conversus, quaeram: "cur tandem, dux bellissime, urbe inferiore perniciei tradita, in partem te superiorem recepisti et tam festinanter intus abdidisti, si ita cito illam quoque in manus hostium traditurus eras? aut cur infamem istam vocem, qua misericordiam flagitabas, non emisisti, priusquam ii, qui porta oppressi sunt, et ce-

ἀναπηδῆσαι εἰς πύργον ὡς ἐπ' ἀγαθῷ τῶν ἄνω ἑστώτων, καὶ αὐτίκα δρᾶξασθαι σχοίνου καὶ θᾶττον κάτω γενέσθαι ἤπερ καδδίον ἐν ἰμωνιᾷ κατὰ φρέατος; ὢ γέλωτος τούτου, ὅτι παρατεταγμένος ὁ λαμπρὸς ἡγεμὼν πρὸ τῶν ἑῴων πυλῶν ὡς ἐπὶ μάχῃ λαμπρᾷ, εἶτα ἰδὼν ἕνα τινὰ πολέμιον ἁλαφρισθέντα καὶ ὑπερφανέντα κατὰ τῶν ἐπάλξεων, ἀνῆκε τὸν ῥυτῆρα τῷ ἵππῳ θέειν, προτρέχων τοῦ παντὸς ὁμίλου τῆς στρατιᾶς· καὶ συμπατήσας τοὺς παρευρημένους καὶ εἰσδραμὼν ἄνω, εἶτα καὶ βλάψας πολλοὺς διὰ πύλης ἣν προεξεθέμεθα, τοὺς μὲν ὑπ' αὐτῆς ἐκείνης κατενεχθείσης ἐκ μετεώρου, τοὺς δὲ καὶ οἷς ἔξω συνεκλείσθησαν, ταχὺ μὲν ἀνέβη πυργομαχήσων, τάχιον δὲ κατέβη δουλωσόμενος, τοῦτο καὶ μόνον ἀνδρισάμενος, ὅτι μὴ διὰ σαργάνης ἐχαλάσθη σχολαίτερον, ἀλλὰ μικροῦ κατεπετάσθη ὥσει καὶ βοσκηματῶδες πτηνὸν ἐπὶ νομήν· οὐ γὰρ δήπου ὥσει καί τι ἀετῶδες ἐπὶ ἄγραν εὐγενῆ.

Καὶ οὐκ ἐχρῆν μὲν ἄνδρα, πάλαι μεμελετηκότα χεῖρας ἁπλῶσαι γυναικικῶς τοῖς διώκουσιν, εἰς ἔρυμα παρεισδύεσθαι καὶ κόπους διδόναι τοῖς ἐπιτρέχουσι, μὴ καὶ εἰς πλεῖον μαίνοιντο. ὁ δ' ἀλλὰ τὰς φρένας βλαβεὶς ἔφευγε μὲν ὡς ἐπὶ φυλακῇ ἄνω, κατεφέρετο δ' εὐθὺς ἐκεῖθεν, ὡς ἂν εἴη τὸ ἀγεννὲς αὐτοῦ ἄτοπον, καὶ μὴ δοξασθείη πρός τινων ὡς ἄρα ἐάλω μαχόμενος. ἀνέβης εἰς ὕψος φροῦδος, ὦ οὗτος, τὸ

teri exspirarent? annon ridiculum, quum in arcem tanquam munimentum festinaris et turrim quasi ob salutem militum conscenderis, continuo funem comprehendere et delabi citius, quam situla in puteum demittitur? eheu mirum spectaculum, quod eximius iste dux ad portam orientalem constitutus, pugnam scilicet pugnaturus praeclaram, quum unum aliquem hostium moenia scandentem et supra propugnacula enitentem conspexit, immissis equo habenis, ante omnem militum multitudinem fugae se dedit, et conculcatis, qui obvii erant, in arcem contendit, multisque valva portae, de qua supra diximus, deletis, quum alii ictu portae desuper demissae, alii impetu eorum, quibuscum exclusi erant, perirent, festinanter turrim escendit, ut dimicaret, festinantius descendit, ut serviret, hoc unum strenuus, quod non in sporta delapsus est lentius, sed paene devolavit, velut in pascua avis pecuaria, minimo vero aquilae instar in praedam honestam ruentis.

Haud decebat profecto virum, qui pridem statuisset muliebriter manus obtendere insectantibus, in arcem irrepere et plectere obvios, ne dimicarent longius. verum fugit ille mente captus, velut servaturus arcem, atque statim illinc delapsus est, quo scilicet incredibilis esset nequitia eius, neve existimaretur pugnans captus esse. eva-

τῆς ἀκροπόλεως· ἠχμαλώτευσας αἰχμαλωσίαν, ἣν καὶ ἐκεῖ τοῖς πολεμίοις προύδωκας. ἀπ' ἐναντίας ταῦτα οἷς ψάλλει Δαυῒδ, οὗ τὴν κλῆσιν φέρων ἠχρείωσας.

Καὶ μή μοι νεμεσάτω μηδεὶς ἐνταῦθα γέροντι μικροψύχῳ, τοιαῦτα καταλέγοντι ἀνδρὸς οὗπερ ἡδέως ἂν μέσον ἧπαρ ἔχοιμι ὀδὰξ ἐμφύς, κατὰ τὴν Ὁμηρικὴν εἰπεῖν γραῖαν, ἀνθ' ὧν καὶ τηλικαύτης πόλεως κατέλυσε κάρηνα καὶ πολλῶν ἀνδρῶν γούνατ' ἔλυσε. γένοιτο δὲ μὴ καὶ εἰσέτι λυθῆναι, ὦ θεὲ βασιλεῦ καὶ ὦ θεράπον αὐτοῦ, πολιοῦχε ἡμῶν, μὴ καὶ ἐπεκταθείη εἰς μήκιστον τὸ κακόν. καὶ οἶδα μὲν συνιστῶν ἐγὼ τὸν ἄνδρα τοῦτον τὰ πρὸ τῆς μάχης, καὶ εὐλογῶν ἐν εἰρήνης καιρῷ τὰ ἐκείνου, ὅτε οἱ μὲν κέρδους πρηκτῆρες πολῖται λαλαγοῦντες ἐπέκειντο κατ' αὐτοῦ ἅπερ ἤθελον, ἡμεῖς δὲ ἄλλως, ὡς ἔπρεπεν, ἡρμοττόμεθα. καὶ αὐτὸς δὲ ἀντιστρέφων τὸ φίλιον ἔφαινεν ὑπὲρ ἡμῶν καὶ βλέμμα καὶ νεῦμα καὶ τὸ ἐν πρακτέοις βάδισμα. νῦν δ' ἀλλά τί καὶ δράσομεν, εὑρηκότες τὸν ἐπαινετέον ἐκεῖνον μεταβαλόμενον καὶ μηκέτι τόπους εἰς εὐφημίαν ὑποβαλλόμενον; ἢ πάντως ἐνθυμητέον ὡς καινὸν οὐδέν, καθὰ στέργων ἐκεῖνος τὰ πρῴην ἡμᾶς εἶτα ἐν ὑστέροις οὐκ ἠγάπα ἐλέγχοντας οἷα μηδὲ σοφὸς αὐτὸς κατὰ τὸν παροιμιαστήν, οὕτω καὶ ἡμᾶς τότε μὲν πρὸς ἐκείνοις εἶναι διὰ τὸ ὅσιον, ὅτι μηδὲ λίαν θρασὺς ἦν κατὰ τοὺς

sisti subito, o bone, in summam arcem; praedam praedatus es, quam hostibus inde obtulisti. contraria haec illis sunt, quae David cecinit, cuius tu nomen inquinavisti.

Nolito autem quisquam mihi ut seni animi pusilli succensere, quod ita hominem increpem, cuius medium hepar tenere cupiam dentibus, ut muliercula illa ait Homerica, quoniam tam eximiae urbis arcem destruxit, et tot virorum solvit genua. fas autem, o deus rex, et tu, serve eius, urbis nostrae patrone, ne iterum posthac profligemur, ut ne malum in infinitum crescat. atque fateor equidem, commendasse me ante bellum istum hominem et laudasse in pace facinora eius, quum quaestuosi cives conviciis eum, quantum vellent, insectarentur, nos autem aliter, ut decebat, erga eum affecti essemus. atque ille vicissim amicum nobis os vultumque et in rebus, quas ageret, ingenium ostendebat. enimvero quid iam agamus, postquam illum olim laudabilem mutatum nec iam laudi occasionem praebentem invenimus? profecto res minime mira videri debet, sicuti ille prius nos dilexerit, postea non amaverit reprehendentes, minime ille sapiens secundum proverbia, ita nos tunc calumniantibus obnisos esse, ut aequum esset, quoniam minime erat, secundum aequorum hominum sententiam, ad laedendam rem publicam temerarius, deinde au-

αὐθ᾽ἑκάστους τὰ κοινὰ σίνεσθαι, εἶτα δὴ ὅλεθρον ἐξ ἐκείνου προορωμένους μισεῖν ὡς αἴτιον, ἄρτι δὲ καὶ ὠλοθρευμένους ἐθέλειν καί τι μέγα κακὸν ἐκείνῳ προσβάξασθαι, ἀνδρὶ ἄλλως μὲν ἀγαθῷ δόξαντι (οὐ γὰρ σκορακιστέον τὰ πρὸς ἀλήθειαν), οἷς δὲ στρεβλῷ κανόνι συνδιεγράφη τῷ τοῦ δεσπόζοντος Ἀνδρονίκου, ἀλλ᾽ ἐνταῦθα διεκπεσόντι ἐς ἄκραν φαυλότητα· οὔτε γὰρ ἀγαπῶν ἦν ἐκεῖνον, ὡς ὑποκαταβαίνοντες παρασιησόμεθα, οὔτε αὖ ἀγαπώμενος, καὶ οὔτε εἰς γέρως ἔννοιάν τινα καθήκων, ἀλλὰ καὶ ποινὴν προορώμενος, ἅπερ ἡμῖν φανεῖται λυμηνάμενα. τοῦτό τε οὖν οὕτω ῥητέον, καὶ ὅτι οὐκ ἄν ποτε προστήσας τὸ φιλητὸν ἐγὼ κατόπιν θείην τὴν ἀλήθειαν, ἀλλὰ τὰ συμπεσόντα προβαλόμενος εἰς συγγραφήν, ἧς ἀρετὴ τὸ φιλάληθες, οὐκ ἂν τὸ ταύτης ἐπισκιάσας φῶς ἀχρειώσαιμι· κατὰ γὰρ τὸν ὀρθῶς ἀποφηνάμενον φίλος μὲν ὁ ἀνήρ, φιλτερον δὲ τὸ ἀληθές. ἔτι δὲ συνθεωρητέον καὶ ὡς ἐγκωμιάζουσι μὲν ἐπιλεκτέον ὅσα χρηστά, καί που καὶ τὰ φαῦλα μεταχρωστέον δικηγορικώτερον, συγγραφομένοις δὲ μὴ οὕτως ἀλλὰ διαχειριστέον τοὺς λόγους ὡς τὸ ὑπὲρ ἑκάστων ἀληθὲς ἀπαιτεῖ· ἔνθα οὐ καιρὸς ἐπιλέγεσθαι τὰ πρὸς εὐλογίαν ἐγκωμίου νόμῳ, ἀλλὰ σπεύδειν πολυωρεῖν εἰς μνήμην τῶν ἐπιόντων αὐτὸ ἕκαστον, ὥνπερ ὁ χρόνος τρέχων παρέρριψεν. εἰ δὲ φθάσας ὁ ἡμέτερος οὗτος Δαυὶδ ἀγαθύνων ἦν τὸ τοῦ θεοῦ λάχος, ἀκουέσθω μὲν ἰδοὺ καὶ τοῦτο, συνακουέσθω δὲ καὶ ὅτι ἐξώλεσε, μικρὰ μὲν ἡδύνας, πικρά-

tem, miseriam ex eo praesagientes, ut perniciosum odio habuisse, nunc vero pessumdatos maledictis eundem insectari, hominem ceteroquin non malum (neque enim conviciari licet praeter id, quod verum est), sed ex quo pravae subscripsit Andronici tyranni pactioni, ad extremam nequitiam delapsum. neque enim amabat illum, sicut deinceps demonstrabimus, nec amabatur ipse, nec vero praemium sperare senetuti, sed etiam exspectare poenam debebat pro iis, quae nobis apparebunt perniciosa. hoc ita dicendum est, siquidem ego nunquam praelata amicitia postponam veritatem, sed receptis, quae gesta sunt, in historiam, cuius laus veritas, huius lucem nunquam obscurari sinam. namque, ut vere ille dixit, amicus ipse, magis amica veritas. deinde etiam hoc considerandum est: laudantibus eligenda esse honesta, adeoque turpia fucanda tanquam patronis, historicis non item, sed narranda his esse, quae postulat cuiusque rei veritas: ubi minime decet laudabilia componere secundum leges laudationis, sed ad posteritatem transmitti debet curiose, quidquid flumen temporis tulit. quodsi David noster prius bene administravit dotem sibi a deo impertitam, au-

νας δὲ μέγιστα, οἷς περιποιησάμενός τι χρηματιδίου τούτοις ἢ ἐκείνοις τέλος ἐζημίωκε τοὺς ἅπαντας μὲν εἰς πάντα τὰ αὐτοῖς ὄντα, μυρίους δὲ καὶ εἰς ζωήν. καὶ μή τις ὑποφερέτω νῦν ἀναφρονεῖν με καὶ ὑστέρῳ χρόνῳ ἐπιμηθικῶς αἰσθέσθαι οἷος ὁ Δαυὶδ ἀπέβη, ἐπειδὰν δηλαδὴ ἐδικαιώθη πεμφθῆναι τῷ Σίκελῷ σύν γε τῷ Μαυρὸζώμῃ πρωτόλειον καὶ τῆς ἡμῶν ἀπωλείας ἀκροθίνιον· ὃν ὤφειλον Ἅρπυιαι φθάσασαι οὕτω πως διαθέσθαι πρὶν ἢ καὶ ἐξαπολέσαι ἡμᾶς. οὐ γὰρ ἄρτι ἐς νοῦν ἐγὼ ἐστράφην, ἀλλὰ τὸν ὅλον τῆς ἐπὶ πολέμῳ στρατηγίας αὐτοῦ χρόνον· ἡμᾶς μὲν ἔθλιβον οἱ ἐχθροί, ἐγὼ δὲ ἐκεῖνον, ἐλέγχων, ἐξονειδίζων, ἐκφαίνων τὰ ὡς ἑκάστοτε σφάλματα, λαλῶν, εἰ καὶ εἰς ἀνήνυτον, ἅπερ ἤκουεν ἂν καὶ ἐξ ἄλλων, εἴπερ ἐπαρρησιάζοντο καὶ μὴ τὸ τῆς πόλεως κακοτυχὲς ἔκλεισεν αὐτοῖς τὰ στόματα.

Δέδεικταί μοι ἀρκούντως, οἶμαι, ὡς οὐδέν τι καινοπραγῶ κακολογῶν ἀλλοφρονήσαντα τὸν Δαυὶδ, ὃν σωφρονοῦντα φθάσας εὐλόγουν. ἐγὼ δὲ οὕτω καὶ τὸν βασιλέα Ἀνδρόνικον, ὃν ὑποκαταβὰς οὐκ ἂν εὖ λέγειν εἰς τὸ πᾶν ἔχοιμι, ἐν ἄλλοις ἐθαύμασα, φράσας ἐπιλέγδην ὅ τι τῶν κρειττόνων ἐκείνῳ ἐνέλαμπεν. οὐ γάρ τι κατὰ τοὺς φαύλους τῶν σοφιστῶν ἀναγράφω ἀντίφωνα. πρὸς δὲ συγγραφικὴν ταύτην ἱστορίαν οὐκ ἔχω κρύπτειν ὅσα τοῖς ἄρτι πρὸς εἰρμὸν συμβαίνουσιν, ὡς ἥ γε λοιπὴ ῥητορεία, ἡ πρὸς ψιλὸν ἔπαινον,

diendum hoc est, sed simul audiendum, paucis rebus bene, multis male gerendis, privasse eum postremum non solum, quibus prius quid nummorum parasset, singulos, sed cunctos bonis, innumerabiles etiam vita exuisse. ne tamen quis mihi exprobret, me nunc resipere et Epimethei instar sero sentire, qualis David iste fuerit, ex quo scilicet pateat, misisse eum Siculo cum Maurozoma praedae et miseriae nostrae primitias, quem utinam Harpyiae abstulissent prius quam nos pessumdaret: equidem non nuper animum mutavi, sed quamdiu ille bellum administravit, ut nos hostes vexabant, ita ego illum vicissim arguendo, exprobrando, ostendendo, quid peccaretur, dictitando denique, quamvis incassum, quae etiam ex aliis auditurus fuisset, si libere illi locuti essent, nec miseria urbis occlusisset ora.

Satis, opinor, demonstravi, nihil me singulare facere, quum reprehendo nequam factum David, quem prius sapientem laudabam. similiter imperatorem Andronicum quoque, quem procedente rerum narratione non laudarim perpetuo, in aliis rebus miratus sum, strictim commemoratis, quibus praecipue splendebat, virtutibus. minime enim malorum sophistarum exemplo declamationes in utramque partem scribo. quod autem ad hanc rerum nuper gestarum enarratio-

δοκεῖ κατὰ τὴν σοφὴν καὶ αὐτὴ μέλισσαν οὐ μόνον ἐξ ἀνθέων γλυκέων καὶ λοιπῆς χρησιμότητος ἑαυτῇ συγκροτεῖν τὸ μυρέψημα τοῦ γλυκάσματος, ἀλλά που καὶ ἐκ μὴ τοιούτων. καὶ γάρ τοι καὶ ἐκ περιττωμάτων οὐκ εὐαποφόρων ἐκείνη τιθαιβώσασει, ἐκλεγομένη τὰ συντείνοντα, καθὰ παρατετηρηκότες οἱ δεξιοὶ σιμβλοποιεῖν οἴδασι· καί τι συναγείρει κἀκεῖθεν, εἰς ὅσον τὰ κηρία στύφεσθαι καὶ συνέχεσθαι. ὁποῖα δή τινα μελίτταις Ἑρμοῦ ὑποκείμενα καὶ ὁ Δαυὶδ εἰχέτην καὶ ὁ Ἀνδρόνικος, καὶ μάλιστα ὁ Ἀνδρόνικος, παντοδαπὸς ἐκεῖνος ἄν-
271 θρωπος καὶ παμποίκιλος, καὶ τοῦτο οὐ χαιμαλέοντος δίκην εἴτε πολύποδος, Πρωτέως δὲ μᾶλλον, καὶ μάλιστα κατὰ Ἔμπουσαν, ἣ φρικτὰ ἐφάνταζεν. ὁ δ' αὐτὸς καὶ κατὰ εὐρίπους πολύστροφος ἦν, καὶ κατὰ τὴν ἀρχέγονον ἀνείδεον ὕλην ἅπασιν ὑποτέθειτο εἴδεσι πολυειδῶς· ὧν τὰ μὲν ἐπαινοῖτο, τὰ δ' οὐκ ἄν. ἔστι δ' ἐπ' αὐτοῦ προσαρμόσαι καὶ τὸ εἶναι μέν τινα παρ' αὐτῷ οἶκτον, εἶναι δὲ καὶ θυμὸν μέγαν· ἔτι δὲ συμβιβάσαι καὶ τὸ "ἦν ὁμοῦ ἐν αὐτῷ χρήματα πάντα," καὶ ὡς πολυμιγέων ἕνωσις ἦν τις καὶ παρ' αὐτῷ καὶ δίχα φρονεόντων συμφρόνησις, οὐ μὴν ὅθεν συγκροτεῖται ἁρμονίας ἀρετή, ἀλλὰ κακία συγχύσεως. πολύτροπον γάρ τι χρῆμα ὁ ἀνήρ, καὶ πολυπόριστον τοῖς ἐφ' ἑκάτερα γράφειν δεινοῖς. ἐναχθείη δ' ἄν τις καὶ σφαίρῳ αὐτὸν παρεικάσαι, οὐ τῷ μεταλαμβανομένῳ πρὸς γένεσιν κατὰ παλαιὰν τερατείαν, ἀλλὰ

nem attinet, non debeo celare quae cum his rebus arcte coniuncta sunt; sicut illa, quae meras laudes habet, eloquentia, ita haec quoque sapientium apium instar non solum e suavibus floribus plantisque salubribus, sed etiam ex aliis gratam mellis dulcedinem fabricatur. etenim ex quisquiliis quoque nullius usus apes mel sugitant, colligendo, quae idonea sunt, sicut eas homines attenti favos fabricari norunt; et vero inde colligunt etiam, quo confirmentur et contineantur cellulae. talia igitur avibus Mercurii utilia David ille habebat et Andronicus maxime, homo multiplex et varius, neque id chamaeleonis aut polypi instar, sed ad Protei potius et vero Empusae, quae horribilis visu erat, similitudinem. idem fretis similis erat mobilitate, atque figura carentis primae materiae instar omnes induebat formas, quarum aliae laudabiles essent, aliae non essent. possis etiam illud ad eum transferre, esse in eo, quod doleas, esse, quod mirere, vel illud, "erant in eo omnia," atque erat in eo rerum diversarum unico et discrepantium consensio, minime tamen illa, unde grata oritur harmonia, sed unde prava confusio. namque varium et mutabile iste homo erat, et uberrima scriptoribus sive laudis, sive vituperii materies. ausit quis etiam globo illum comparare, non propter illam,

πρὸς ποικιλίαν ἠθῶν. εἰ δὲ καὶ ἐν αὐτῷ δύο πίθους ἑστάναι τις φαίη, τὸν μὲν ἀγαθῶν πλήρη, κακῶν δὲ τὸν ἕτερον, ὧν ἀρυόμενος καὶ καταμιγνύων ἐκεῖνος ἐπεμέτρει τοῖς ὑπ' αὐτόν, τὰ πλείω δέ γε μόνου τοῦ τῶν κακῶν, αἰνίξαιτο ἂν προσφυέστατα· ἦν γὰρ σύμμικτος καὶ πρὸς ἀκριφνὴ χάριν οὐκ ἄκρατος, οὐδὲ μὴν εὔκρατος.

Ἀλλ' οὕτω μὲν ταῦτα παρεκβεβάσθω, καιρίως, οἶμαι, καὶ οὐδὲ πάνυ τι ἀμεθόδως· ἐγὼ δὲ βραχύ τι ἄνειμι πρὸς τὸν ἦν μὲν ὅτε (ὦ μακρὰν) τινὸς φιλίας Δαυΐδ, νῦν δὲ μίσους παγκοσμίου ἄξιον. ταχὺ μὲν ἔστρεψας νῶτα, ὦ γενναιότατε, φεύγειν· θᾶττον δὲ ἀντιμέτωπος οὐκ εἰς ἀντιπαράταξιν ἀλλ' εἰς δούλωσιν ἔδραμες, εἰς τοσοῦτον τῇ φυγῇ προσμείνας εἰς ὅσον ἄνανδρον τὴν στροφὴν ἐπιδείξασθαι, ἵνα μηδέν τι γενναιότητος ἴχνος ἐν σοὶ εὑρίσκηται, μήτ' ἐν τῇ πολιορκίᾳ, ἣν καὶ εὐχόμενός που ἦσθα συγκεφαλαιωθῆναι τάχιον, ὡς ἐν τοῖς ἑφεξῆς ὑποκρουσόμεθα, μήτε μετὰ τὴν ἅλωσιν, ἐν ᾗ ἐψεύσω καὶ τὸν ἀνδριζόμενον καὶ τὸν φεύγοντα, οἷς φεύγειν τραπεὶς ἐπιδέδωκας σεαυτὸν τοῖς μηδὲ διώκουσιν. αὐτοῖς γὰρ ἄλλα ἐν φρεσὶ μεμέλητο, τὰ πρὸ ἔργου καὶ ἀναγκαῖα σφίσι· σοῦ δὲ οὐκ ἄν, οἶμαι, οὐδὲ μνήμην ἔσχον, εἰ μὴ ἐνεφάνισας σεαυτόν. οἴδασι γὰρ οἱ εὐγενῶς ἀνδρεῖοι ἐξαθερίζειν τὸν μὴ τοιοῦτον στρατηγόν, ὁποῖον δή τινα κατέγνων καὶ σὲ οἷς τῶν τῆς σῆς ἀβελτηρίας πεπείραντο.

quae est in vetusta fabula, originem, sed propter morum volubilitatem. aut si quis duo in eo fuisse dolia dicat, alterum bonis, alterum malis refertum, unde hauriens et commiscens porrexerit hominibus sibi subiectis, plura tamen mala, quam bona, aptissime significaverit naturam eius. erat enim mixtus, et probae laudis nec nihil habebat, nec vero multum habebat.

Sed sufficiant haec, quae ita interposuimus, opportune, credo, et minime inepte. redeo aliquantisper ad illum olim amicitia quadam, sed nunc odio communi omnium dignum David. celeriter tergum vertisti, bellissime, ut fugeres; celerius adversa fronte non ad pugnam, sed ad servitium festinasti, in fuga moratus, quantum satis esset ad declarandam turpitudinem tuam, quo nullum in te cerneretur virtutis vestigium, nec in obsidione, quam quondam cito confectum iri iactaveras, quemadmodum mox ostendemus, nec post captam urbem, quum fefellisti fortes ignavosque, qui in fugam conversus tergum dares ne persequentibus quidem. etenim alia illis cordi erant, quae tempus et necessitas postulabat; tui autem ne recordati quidem fuissent, nisi in conspectum eorum venisses. norunt enim generosi viri talem contemnere ducem, qualem te esse cognoverant ex iis, quae a nequitia tua experti erant.

Ἀλλὰ τί δὴ παρενεχθεὶς ὑπὸ τοῦ πάθους, καὶ τῶν ἄρτι καὶ ἐν ὀφθαλμοῖς γενόμενος, ἀποπλανῶ τὸν χρόνῳ ποθ' ὕστερον ἀκουσόμενον τοῦ συγγραφικῶς εἰδέναι τὰ τῶν καθ' ἡμᾶς ἐξ ἀρχῆς ἄχρι καὶ πέρατος, ἵνα παρακολουθῶν εἰδείη ἐξ οἵων τῶν πάλαι οἷα τὰ νῦν, καὶ τὰ μὲν παθαίνοιτο, τὰ δὲ ἄλλως θαυμάζοι, τὰ δὲ καί, εἴπερ ἐθέλοι, μανθάνοι καθ' ἱστορίαν ἐπιλεγομένην ὅσα τοῖς νῦν συγκυρήμασι χρήσιμα; τί δὲ μὴ κεφαλήν τινα ἐφιστῶ, καθά τινι σώματι, τῇ συγγραφῇ ταύτῃ, δι' ἧς καταβαίνων τῷ λόγῳ προποδίσω εὐόδως, ἔνθα τὸ ἔσχατον, ἔνθεν ἑλών;

Μέλλον εἶναι φαίνεται, καθὰ θεῷ εὐηρέστητο, πεσόντα τῷ Κομνηνῷ βασιλεῖ Μανουὴλ συγκαταπεσεῖν καὶ εἴ τι ἐν Ῥωμαίοις ὄρθιον, καὶ ὡς οἷα ἡλίου ἐκείνου ἐπιλιπόντος ἀμαυρὰν γενέσθαι πᾶσαν τὴν καθ' ἡμᾶς. οὐκοῦν ἀπῆλθεν ἐκεῖνος ἔνθα ἐχρῆν, διαδοχὴν ἀφεὶς γένους οὐχ οἵαν ἐχρῆν. παῖδα γὰρ μικρόν τι παρηλλαχότα τὸν παναφήλικα, μὴ ὅτι γε βασιλείας μεγίστης κρατεῖν οὐκ ἔχοντα δι' ἑαυτοῦ, ἀλλ' οὐδὲ κατὰ παῖδας διατεθεῖσθαι στερεῶς, ἀμέλει καὶ ἐπέτρεψε φθάσας κηδεμόνι τὸν υἱὸν τῇ μητρί, ἐρώτων οὔσῃ ὡραίᾳ, εἰ καὶ κρύπτεσθαι αὐτοὺς ἐπηγγείλατο ἐκείνη, τὸν τοῦ κάλλους ἥλιον πνευματικῶς νεφώσασα κατὰ περιβολὴν μέλαιναν. οἱ δὴ ἔρωτες ἐκεῖνοι πυρσεύσαντες, ὡς ἂν εἰδεῖεν αὐτοί, ἀνῆψαν κακὸν κοσμικόν. καὶ ἦσαν μὲν καὶ ἄλλοι τοῦ ἐπιτροπεύειν, ἐν οἷς

Sed quid dolore abreptus et delatus ad ea, quae praesentia et in oculis sunt, prohibeo lectorem mox ordine haec cogniturum, quominus ab initio ad finem discat, quae nobis acciderunt, ut deinceps intelligat, ex quo statu rerum priori quae orta sint praesentia, utque alia detestetur, miretur alia, nonnulla etiam, si velit, discat ex historia nostra ad praesentem rerum perturbationem non inutilia. quin historiae huic, sicut corpori, caput aliquod praefigo, unde progrediens narrationi nostrae viam sternam, principium ex eo repetens, quod ultimum est.

Futurum esse apparet, secundum ea, quae deo placuerunt, ut cum imperatore Manuele Comneno intereat etiam si quid Romanis integrum, et obscuretur quodammodo, tanquam sole deficiente, omnis terra nostra. quippe haud decessit ille, quando debuerat, nec relicto imperii haerede, quali debuerat. filium enim vix egressum e pueris, qui non modo magno imperio praeesse ipse, sed ne adolescentes quidem regere posset strenue, tutelae etiam matris temere commiserat, mulieris Veneri maturae, tametsi eam dissimulare affectabat, sole pulcritudinis quasi obscurato veste pulla. verum Venus illa, accensa face, ut consuevit, flammam excitavit per orbem terrarum in-

καὶ ὁ λαχὼν πατριαρχεῖν, ὁ καὶ τὰς ἀρετὰς καὶ τὸν λόγον περιττὸς Θεοδόσιος, ὃν ἡ τῶν Ἀντιοχέων τῇ μεγαλοπόλει ἐχορήγησεν ἀγαθὸν πολυτίμητον· ἀλλ' ἡ γυνὴ προεῖχεν οἷα καὶ γυνὴ καὶ μήτηρ, καὶ ἦν τοῦ λοιποῦ σκοπὸς αὐτὴ διὰ τὸ προφαίνεσθαι, καί τινες ἔρωτος νόμῳ ἐτοξάζοντο κατ' αὐτῆς λανθάνοντες, εἴ πως μεσιτεύσει τὰ τῆς βολῆς, ὡς ἐῴκει, πρὸς βασιλείας ἐπιτυχίαν. ὑπερηκόντιζε δὲ τοὺς λοιποὺς Ἀλέξιος ὁ Κομνηνός, ἀδελφιδοῦς μὲν ὢν τῷ αὐτοκράτορι Μανουήλ, τὴν τοῦ πρωτοσεβαστοῦ δὲ ζώνην φέρων, καὶ προσείχετο τῇ δεσποίνῃ τῇ τοῦ βασιλέως μητρὶ πλέον τῶν ἄλλων. ὑφέρπει οὖν ζῆλος ἐντεῦθεν, καὶ ὃ φασιν ὀστρακίνδα κατὰ τοῦ ἀνδρὸς ὑποβλεψάμενος οὐκ ἀνίει ἑλίττων στροφὰς ποικίλας, εἴ πως ἐκείνῳ μεθοδεύσει μετάστασιν. καί πως οὕτω δόξαν τοῖς τηνικαῦτα προφέρουσι τῶν εὖ γεγονότων, συνθεσίας κατ' αὐτοῦ πέπλος ῥάπτεται, περιδύσων αὐτὸν καὶ συνέξων οὐ πρὸς ἡδονήν. ὕφαναν δὲ τοιοῦτον πέπλωμα οὐκ ὀλίγοι τε ἕτεροι καὶ οἱ δύο παῖδες Ἀνδρονίκου τοῦ ἐκ Κομνηνῶν, ὃς αὐτανέψιος μὲν ἦν τῷ βασιλεῖ Μανουήλ, καὶ ὡς ἂν ἡ πεδινὰ λαλοῦσα εἴποι γλῶσσα, πρῶτος ἐξάδελφος, εἰς βασιλειον δὲ θρόνον ἑαυτὸν ἐκάθισεν ὕστερον οὐ πάνυ εὐτυχῶς οὔτ' αὐτῷ οὔτε τοῖς περὶ αὐτόν. ὀνόματα δὲ τοῖν παίδοιν ἦτην, τῷ πρώτῳ μὲν κατὰ γέννησιν Μανουήλ, Ἰωάννης δὲ τῷ μετ' αὐτόν, ὃν καὶ αὐτὸν ἐγνώρισεν ἡ βασιλεία, καθὰ καὶ τὸν πα-

gentem. fuerunt quidem etiam alii tutores, in quibus is, cui obtigerat patriarchatus, virtutibus et facundia eximius Theodosius, quod bonum pretiosum imperii capiti commodaverat ecclesia Antiochensium. sed tamen primaria illa erat, quippe et mulier et mater, eratque quasi scopus quidam propter eam dignitatem, quem nonnulli per tela amoris occulte petebant, si forte ea tela metam imperii scilicet ferirent. superavit autem eo certamine reliquos Alexius Comnenus, qui patruelis imperatoris Manuelis et protosebasti cingulo ornatus erat, atque ceteris studiosius imperatrici, imperatoris matri, operam dabat. surrepit igitur invidia et puerorum instar testis ludentium circumspiciens, haud cessat variis sinuari orbibus, si forte illum summoveat. quumque sic fere visum esset primoribus procerum, conspirationis tela texitur, qua ille involvatur et contineatur minime ad laetitiam. texuerunt autem eam telam quum alii non pauci, tum duo filii Andronici, qui e Comnenis et imperatoris Manuelis patruelis germanus, h. e. ut verbis dicam planis, fratris filius erat, ac postmodum sellam occupavit imperialem, nec sibi nec amicis saluti. nomina duobus filiis erant natu maiori Manuel, minori Ioannes, quem et

272 τέρα μετ' οὐ πολύ. καὶ οὗτοι μὲν δύο τότε συνωμοσάσθην, ἐν δὲ τοῖς καὶ Ἀλέξιος ἦν, πρωτοστράτωρ μὲν τὴν ἀξίαν, ἀνεψιδοῦς δὲ γνήσιος καὶ ὑπερλίαν φιλητὸς τῷ βασιλεῖ Μανουήλ· πρὸς δὲ καὶ Ἰωάννης Δούκας ὁ ἔπαρχος, ὃν καὶ ἐξ αὐτῆς ϑέας τεκμήραιτ' ἄν τις καλλιστεύειν ἐν ἀγαθοῖς (μεγάλη δ' ἐν τούτοις μοῖρα ζήλου), καὶ οἱ Καίσαρες, ἡ πορφυρογέννητος Μαρία, ἣν ὑπὸ τῷ βασιλεῖ Μανουὴλ ἡ ἐξ Ἀλαμανῶν Εἰρήνη τὸ ἅγιον ἐκείνη γέννημα ἐγείνατο, καὶ ὁ συζυγῶν αὐτῇ Ἰωάννης ὁ μαρκέσιος, νεανίας μὲν τὴν ἡλικίαν, τέλειος δὲ τὴν ἀνδρίαν. ὁποῖα δὲ ἐν τοιούτοις ὡς τὰ πολλὰ ξυμπίπτει, ἔνϑα ὁ λόχος οὐκ ἔχει κρύπτεσθαι εἰς τέλος ἀλλ' ἐκφαίνεται, φωρῶνται πάντες οἱ τοιοῦτοι ἑνός τινος τῶν λογιτῶν καταμηνύσαντος, καὶ συγκροτεῖται δίκη. καὶ προκάϑηται μὲν ἡ ἐπίτροπος μήτηρ, κυρία πάντων ἤδη προβεβλημένη ψήφῳ κοινῇ, ὡς μὴ ὤφελεν, ὑποκάϑηται δὲ ὁ υἱὸς καὶ βασιλεὺς Ἀλέξιος. καὶ κατηγοροῦνται οἱ τὸν πρωτοσεβαστὸν οὐ φαύλως μισοῦντες, καὶ μετὰ πολλὰ τὰ διὰ μέσων κατακρίνονται, βραβεύοντος εἰς τὸ πᾶν τῇ τοιαύτῃ εὐϑυδικίᾳ τοῦ βαϑυτάτου Θεοδώρου τοῦ Παντεχνοῦ, τοῦ δικαιοδότου καὶ ἐπὶ τῶν οἰκειακῶν· καϑ' οὗ ϑελήσας ἐνστῆναι ὁ μέγας ἐν πατριάρχαις ἔσχασε πᾶσαν ἐν κενοῖς μηχανήν· ἦν γὰρ ὁ Παντεχνὴς ἀληϑῶς Παντεχνής. καϑείργνυνται οὖν ἐν τῷ μεγάλῳ

12. τινῶν T

ipsum mox imperium nobilitavit, sicut nobilitavit patrem., hi igitur duo iuvenes tum conspirarunt, et una cum iis Alexius, protostrator dignitate, patruelis et mire carus imperatori Manueli; praeterea Ioannes Ducas eparchus, quem vel ex ipso vultu putares virtute primarium (quorum omnium magna erat ambitio); tum Caesares, Maria porphyrogenita, quam imperatori Manueli Irene Alemanna partu peperit sacrosancto, et coniux eius Ioannes marchio, aetate adolescens, virtute adultus. verum ut fere evenit in tali re, quandoquidem conspiratio usque ad finem celari nequit, sed in lucem profertur, deprehenduntur omnes, ab uno aliquo e coniuratis re indicata, ac quaestio instituitur. ac praesidet iudicio mater imperatoris, rerum iam domina declarata suffragio communi omnium, id quod minime decebat, assidebat autem filius eius imperator Alexius. itaque accusantur, qui haud temere oderunt protosebastum, atque multis transactis quaestionibus condemnantur, adiuvante studiosissime eam sententiam callidissimo viro Theodoro Pantechne, qui iudex et praefectus aerarii erat, cui obnixus patriarcharum princeps, omnes incassum machinas adhibebat. erat enim Pantechnes ille re vera παγτεχνής i. e. homo versutissimus. dantur igitur custodiae in

παλατίῳ καὶ οἱ ἀδελφοί, ὅ Μανουήλ καὶ ὁ Ἰωάννης, πρὸς δὲ καὶ ὁ πρωτοστράτωρ Ἀλέξιος, ἔτι δὲ καὶ ὁ ἔπαρχος· τῶν δὲ λοιπῶν οἱ μὲν ἀφείθησαν, ἀληθῶς μὲν εἰς ἕωλον δεῖπνον τοῖς βουλομένοις αὐτῶν θοινήσασθαι, φαινομένως δὲ κατὰ φιλίαν καὶ τὸ εἶναι ἀνύποπτοι, οἱ δέ τινες ἀπώλοντο ποιλίκως καὶ ὡς οὐκ ἄν τις ἴδοιτο. πολλοὶ δὲ καὶ ὑπερορίᾳ ἑκόντες ἐδικαίωσαν ἑαυτούς· ὧν ἦν καὶ ὁ καλὸς Λαπαρδᾶς, ὁ πάνσοφος τὰ στρατηγικά, ὃν ἱέρακα διὰ τὸ τῆς φρονήσεως καὶ τὸ κατὰ πρᾶξιν ὀξυπετὲς ὁ τῶν Τούρκων σουλτὰν ὀνομάζειν ἐθέκρινεν, ὅ τότε μὲν εὐτυχῶς περισωθείς, μετὰ δέ γε ἀθλίως ταῖς τοῦ βασιλέως Ἀνδρονίκου καὶ αὐτὸς πάγαις περιτετυχηκῶς καὶ ἐξολωλώς.

Ἦν δὲ ταῦτα τότε. καὶ τέως μὲν περὶ μίαν ἡμέραν οἱ τέσσαρες ἠτιμωμένοι ἐάλωσαν δῆθεν ξυνωμοσίας, ὅ Μανουὴλ καὶ Ἰωάννης οἱ ἀδελφοί, ὅ πρωτοστράτωρ Ἀλέξιος καὶ Ἰωάννης ὁ ἔπαρχος· καὶ εἶχεν αὐτοὺς ἡ κάθειρξις, καὶ πρὸ αὐτῆς τὰ λίαν ἄτιμα. τὸ δὲ ζέον τοῦ θυμοῦ τοῖς κρίνασιν ἐβράττοτο καὶ κατὰ τῆς πορφυρογεννήτου καὶ τοῦ συμβιοῦντος Καίσαρος. οὐκ εἶχε δὲ καὶ ἐκζέσαι αὐτίκα, ὡς καὶ γενέσθαι πρόοπτον τὸ κακόν, ἀλλ' ἐνδομυχοῦν καὶ ὑποτυφόμενον ἐπέσχεν εἰς τοσοῦτον ὡς καὶ τὸν πατριάρχην δοκῆσαι πρὸς αὐτῶν εἶναι τοὺς κρίνοντας. διὸ καὶ αὐτὸς μὲν ἁπλοϊκῶς ἐμηνύσατο πρὸς ἑσπέραν τὰ λῴονα. οἱ δὲ οὐχ ἁπλοῖ ἐμελέτων

1. τῷ?

magno palatio fratres Comneni, Manuel et Ioannes, Alexius protostrator, et eparchus. e reliquis alii dimissi sunt, revera ad epulas, ut aiunt, hesternas, si qui epulari vellent, sed specie amicitiae et confidentiae, alii perierunt fatis variis et quae nemo facile viderit. multi eiiam ultro se exilio multarunt; e quibus eximius ille fuit Lapardas, vir rei militaris peritissimus, quem propter ingenli acumen et celeritatem agendi eximiam sultan Turcarum nomine vulturis dignum iudicabat; qui tum quidem feliciter conservatus, sed postea imperatoris Andronici laqueis irretitus, miserabiliter et ipse periit.

Haec igitur ita tum erant. uno die quattuor illi viri contumeliis affecti coniurationis scilicet damnati sunt, Manuel et Ioannes fratres, Alexius protostrator et Ioannes eparchus; continebatque eos custodia, afflictos prius summa ignominia. verum fervor iracundiae aestuabat in animis iudicum etiam adversus porphyrogenitam et vitae socium Caesarem. non poterat tamen effervescere illico, ut despumaretur et manifesta fieret pernicies, sed intus aestuabat gliscebatque, ut etiam patriarcha iudices illis favere putaret. itaque ipse quidem simpliciter sub vesperam suadebat meliora; sed illi iam

ἀνυποστόλως διακειμένων αἴφνης τὸ κακὸν καταράξαι, καὶ συλλαβέσθαι καὶ αὐτούς, ὡς ἂν οὕτω τὸ ἐσπέρας αὐλισθήσεται ἀγαλλίασις παρ' αὐτοῖς καὶ τὸ πρωῒ κλαυθμός ἀπ' ἐναντίας τῷ ψάλλοντι. καὶ οὕτω μὲν ἡ κακία ἐπικρύπτειν ἤθελεν ἑαυτήν· ὡς δὲ ἡ σποδιὰ ὤζε θείου καὶ ἡ ὀδμὴ κατεμήνυε πῦρ κρύπτειν σκηπτοῦ ὀλεθρίου καὶ οὐκ ἦν λαθεῖν, μανθάνουσι τὴν ἐπιβουλὴν οἱ Καίσαρες, καὶ ἀπέριττοι, ὡς εἶχον, φεύγουσιν εἰς τὸ τῆς μεγίστης τοῦ θεοῦ Σοφίας εὐαγέστατον τέμενος, ἄσυλον αὐτὸ εἰδότες καὶ πᾶσι προσώποις ἀβέβηλον. διαπετάννυσι τὰς ἀγκάλας αὐτοῖς ὁ ἐν ἀρχιερεῦσι πρωτεύων· περιποιεῖται ὡς ἐξῆν· δίδωσιν ἀνάπαυσιν· λεαίνει λόγοις τε τοῖς πρὸς παρμυθίαν καὶ ἔργοις, ὡς εἶχεν ἰσχύος. εἶχε δέ, ὅσα καὶ πατὴρ ἅγιος. ὑπὲρ ἀληθείας φίλαθλος. οὐ διῆλθε τῆς ἡμέρας πολύ, καὶ οἱ τῆς δεσποίνης ἔτρεχον εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν ὥσεὶ καὶ κυνηγέται κατά τινος ἀξιολόγου ὄγρας, εἰπεῖν μετριώτερον. καὶ εὑρηκότες τὰ μὲν ᾐτιῶντο, εἰ κατὰ μηδὲν αἴτιον φόβου ἔφυκον, τὰ δὲ παρεκάλουν τοῦ σφετέρου πάλιν ἀδεῶς οἴκου γεγέσθαι, παραπλέκοντες τοῖς λόγοις καὶ ὡς δύσνουν ὑπόνοιαν ἀποπέμπουσιν οἷς οὕτω δραπετεύουσι, ταῖς δὲ τοιαύταις ἐννοίαις καὶ ἐμφ'σεις ὑποσκιάζοντες βουλῆς οὐκ ἀγαθῆς ἐπ' αὐτοῖς· οὐκ ἔχει γὰρ τὸ πάνυ θυμούμενον σταθερῶς ἐπικρύπτειν ἑαυτό, ἀλλά που

haud simplices aperte moliebantur, quod decreverant, subito facinus patrare et illos quoque comprehendere, ut vespere habitaret apud eos laetitia, mane lamentatio, contra quae psalmista canit. atque ita quidem pravitas celare se posse sperabat; sed quum suboleret cinis sulfuris, et odore isto qui occultaretur praecipitis perniciei ignis indicaretur, nec posset latere, comperiunt insidias Caesares, ac nullis rebus instructi, fugiunt, ut erant, ad templum potentissimae apud deum Sophiae sacrosanctum, quod asylum et cunctis inviolabile esse scirent. obtendit illis brachia sacerdotum princeps; officia praestat pro viribus; requiem parat; delenit tum verbis ad consolandum factis, tum beneficiis dolorem, uti potest. erat idem, velut pater sanctus, pro vero ad certandum paratus. haud multum diei effluxerat, quum imperatricis ministri in sanctissimam magnam ecclesiam advolarunt, venatorum instar eximiam insequentium bestiam, ut modeste dicam; repertosque partim accusabant, quod, quum non esset, cur timerent sibi, fugissent, partim exhortabantur, ut securi domum redirent, verbis illos irretientes, quo malam suspicionem fugitivis eximerent, sed tali ratione etiam adumbrantes quasi haud boni consilii indicia. nimirum animus ira fervens occultare se constanter nequit, sed erumpit, quod intus aestuat, velut typhon subterraneus vehemens.

καὶ ἐκρήγνυσι τὸ ἐνδόμυχον ὁποῖά τις τυφὼς ταρταρίος βίαιος. οἱ τοίνυν Καίσαρες βεβαιώσαντες τὸ δέος ἐν ἑαυτοῖς οὐκ εἶχον τὸν νοῦν πρὸς τοῖς λαλοῦσιν ὡς εἰς ἀγαθόν, ἀλλὰ τῷ παραμεμιγμένῳ πικράζοντι καὶ τὸ γλυκάζειν δοκοῦν ὑπεβλέποντο, ἐπιτυγχάνοντες αὐτοὶ τοῦτό γε. ὡς οὖν ἀπέγνωστο ἡ τῶν Καρσάρων πειθώ, καὶ ὡς οὐκ ἔσται αὐτῶν ἄγραν θέσθαι διὰ δόλου διέγνωστο, κατανοεῖται βία, καὶ τὸ τοῦ στόματος ἁπαλὸν σκληρὰ χεὶρ διαδέχεται, καὶ τὰς βολίδας γλώσσας συστείλαντες οἱ δεσποινικοὶ τὰς ἐκ σιδήρου μελετῶσι χειρίσασθαι. καὶ πρῶτα κατὰ τοῦ ἱεράρχου τραχύνονται, ὅτι μὴ τῆς ἐκκλησιαστικῆς προϊστάμενος ὡς εἰπεῖν ἀκροπόλεως καταπρίσται τοὺς πεπιστευμένους αὐτῇ, συνειλεγμένους εἰς πάνυ πυκνὸν στῖφος καὶ οὐδὲ ἀγεννές. καὶ γίνεταί τις ἐνταῦθα συγγραφή, ὁποίαν δαίμων ἂν τεχνάσαιτο.

[3]Ἦν ἑορτὴ μεγάλη τοῦ σωτηρίου πάσχα, καὶ ὤφειλον τῷ βασιλεῖ ἀσπασμὸν ἡ ἐκκλησιαστικὴ λογάς, ὅσοις τὸ τοιοῦτον 273
ἀνέκαθεν ἐψήφισται φίλημα. ὡς δὲ καὶ τὸν ἀρχιερέα ἔδει κορυφαῖον παρεῖναι καὶ κατάρξαι τῆς ὀφειλῆς (τῷ δὲ ἦν δῆλον ὡς τὸ τοιοῦτον φίλημα παραδώσει αὐτόν, κατά τι ὁμοίωμα τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, τοῦ Χριστοῦ), καὶ ἐδεδίει ἀνθρωπίνως ἐκεῖνος, εὐλαβούμενος ἀποβῆναι κατάσχετος, καὶ ὤκνησε τὴν εἰς τὰ βασίλεια ὁδόν, γίνεται ἀναβολὴ

1. ἦν] ὢ T

itaque Caesares, confirmata sibi formidine, ad securitatem hortantibus aures haud faciles praebuerunt, sed propter ea, quae admixta essent acerba, etiam quae dulcia viderentur, suspecta habebant, et recte id quidem. quare quum desperarent asseclae imperatricis, fore ut persuaderetur Caesaribus, atque intelligerent, dolo se iis potiri non posse, vim adhibendam esse decernitur, orisque blanditias aspera excipit manus, atque cohibita lingua suaviori ferream parare constituunt. ac primum in archipresbyterum asperantur, quod sacrae, ut ita dicam, arci praefectus prodere nolebat, qui in eam confugerant, coactos in globum densissimum et haud ingenerosum. hinc iam narratio sequitur, qualis daemoni alicui pertexenda videatur.

Erat dies inprimis festus, pascha salvatoris, debebatque imperatorem adorare collegium sacerdotum, quibus quidem ea osculatio inde a prisco tempore mandata erat. quum autem etiam archipresbyterum ducem agminis oporteret adesse et debitam praeire adorationem (qua osculatione manifestum erat, fore ut proderetur, exemplo magni dei et salvatoris nostri Iesu Christi), veritusque ille, quae est natura humana, ne captivus fieret, ad palatium ire cunctaretur, moram patitur solita osculatio differturque in tempus aliud, imperatori si-

τοῦ καθήκοντος ἀσπασμοῦ, καὶ ὑπερτίθεται εἰς ἑτέραν ὥραν, μαθητευθεῖσαν τῷ βασιλεῖ. καὶ ἦν ἐκείνη παρασκευή, καὶ ἀλλοία μέν τις φαύλη, καὶ ἑβδομάδος δὲ τῆς μετὰ τὴν πασχάλιον κυριακήν· καθ' ἣν συλλεγέντος τοῦ πλήθους, ὅσον εἴωθεν ἐν τοῖς τοιούτοις πληροῦν τὰ βασίλεια, τελεῖται μὲν καὶ τὸ ἀσπάσασθαι, τὸ ἐπιπολάζον τῆς μηχανῆς, συντελεῖται δὲ καὶ τὸ κρύφιον, ἡ ἐξ ἐρήμης τοῦ πατριάρχου καθαίρεσις, ὡς οὐκ ἂν εὐφήμως εἰπεῖν ἔχοι τις. τῶν μὲν γὰρ ἀρχιερέων, εἰ χρὴ φάναι, κερδαλεότης, τῶν δὲ εὐλάβεια κατὰ πολὺν φόβον, τῶν δὲ καὶ μῖσος οὐκ εὐλόγιστον κατὰ τοῦ ἀρχιερατεύοντος οὕτω ῥᾳδίως ἤνυσαν τὴν ἐκείνου καταβολήν, ἐπιτιθεμένων καὶ τῶν τινῶν τῆς συγκλήτου βουλῆς, κατακτυπούντων, ὡς οὐκ ἂν οὐδὲ Ἱεριχούντεια τείχη κατηχούμενα σάλπιγξιν ἐκείναις ἔπιπτον.

Καὶ τὸ ἐκεῖθεν, βραχυλογικῶς καὶ αὐτὸ ἱστορῆσαι (τί γὰρ ἀναμετρητέον τὰ πέρα μέτρου;), τάραχος μέγας τῶν τοῦ παλατίου, ὅσον ἦν πρὸς τοῦ θεοῦ καὶ τῆς κατ' αὐτὸν ἀληθείας, τῶν τοῦ λαοῦ τῆς πόλεως, τῶν αὐτῆς δὴ τῆς ἐκκλησίας. καὶ ἐκείνης γὰρ ὀλίγοι κατεσκίρτησαν ἐπὶ τοῖς πραχθεῖσιν· οἱ δέ γε πλείους προωρῶντο τὸν κύριον ἐνώπιον αὐτῶν διὰ παντός, καὶ κατὰ τῶν πεπραγμένων ἐγίνοντο. οὐκοῦν καὶ μερίζονται. καὶ οἱ μὲν τῷ μικρῷ βασιλεῖ ἐκομίζοντο, καὶ καθάπαξ ὑπαγορεύσαντες ἐκείνῳ, καὶ ὡς οὐκ ὤφελον,

gnificatum. ac fuit solemnitas illa tum reliqua parum laeta, tum hebdomade ea, quae dominicam paschalem sequitur: qua hebdomade, congregata multitudine, quae in eiusmodi rebus palatia implere solet, tum osculatio fit, id quod quasi supernatabat consilio, tum consummatur, id quod celabatur, indicta causa patriarchae deiectio, quam nemo faustis possit verbis commemorare. sacerdotum enim, siquidem dici oportet, quod verum est, partim astutia, partim ex nimio metu prudentia, partim etiam invidia haud honesta, faciebat, ut facile illius deiectionem perficerent, suffragantibus etiam quibusdam senatorum, ac tumultuantibus vehementius, quam quo tubarum sonitu percussa Ierichus moenia conciderunt.

Secuta est, ut paucis hoc quoque verbis dicam, (quid enim remetiar, quae omnem excedunt modum?) magna seditio palatinorum, qui quidem deo adhaerebant et veritati eius, civium, ipsorumque adeo clericorum; namque ex his quoque pauci exsultabant propter ea, quae acciderant, plerique suspiciebant dominum perpetuo sibi obversantem, damnabantque quae facta erant: unde orta utique inter eos discordia est. ac nonnulli quidem parvum imperatorem adeunt, et recta via omnia effati docuerunt, ut minime debebant, archipresbyteri imminutionem,

διδάξαντες τὴν τοῦ ἀρχιερέως ἀτιμίαν, ἐπέμενον οἷς ἐκακούργησαν, καὶ τὴν διδασκαλίαν ἠσφαλίζοντο, καὶ τὸν παῖδα τῷ μαθήματι ἐνερείδοντες τηρεῖν αὐτὸ εἰθίζον, καὶ μάλιστα ἡ τὸ πᾶν δυναμένη μήτηρ καὶ ὁ μετ' αὐτὴν πρωτοσεβαστός, ὁ κατὰ τῆς ἐκκλησίας τότε μελετήσας δυνατὸς γενέσθαι καὶ σὺν γυναιξὶ συστήσας κατὰ τὴν παροιμίαν μάχην. καὶ οὕτω μέν τινες οἱ τοῦ μὴ καλοῦ· οἱ δὲ λοιποὶ ἐπί τε τῷ πατριαρχικῷ καταστυγνάζοντες δυσπραγήματι ἐπί τε τῇ τῶν Καισάρων δυστυχίᾳ, καταλήγουσιν εἰς κακὸν μέγα καὶ οἰκτιστον. εἰπεῖν γὰρ ἐν βραχυτάτῳ, πόλεμος κροτεῖται ἱερός, ὡς ἂν καιρίως φαίη τις. καὶ στεγανοῦνται μὲν οἱ τῆς ἐκκλησίας ἐντὸς ὡς ἐπὶ πολιορκίᾳ μεθ' ὅπλων, οἱ δὲ βασιλικοὶ ἔξωθεν ἐπιπίπτουσι καὶ πολλοὶ καὶ γενναῖοι. καὶ πίπτουσι μὲν οὐκ ὀλίγοι τῶν ἐν τῇ ἐκκλησίᾳ, τῶν δὲ βασιλικῶν ἀμύθητοι. διέβη δέ τι τοῦ τοιούτου κακοῦ καὶ εἰς τὴν ἀγοράν· τὸ γὰρ βασιλικὸν συμμαχικὸν πολλοῖς ἐνεπήδησε, καὶ τοὺς μὲν ἄλλως ἔβλαψε, τινὰς δὲ καὶ τοῦ ζῆν ἀπήγαγεν. ὅθεν καὶ πλατυνθὲν τὸ κακὸν ἐπλήθυνε τὸ κατὰ τῆς βασιλίδος μῖσος καὶ ἥπλωσε μικροῦ δεῖν εἰς ἅπαντας. καὶ ἔγεμον αὐτῆς τὰ πάντων στόματα οὐκ εἰς ἀγαθόν, καὶ ἐβουλεύοντο τὰ εἰς κάκωσιν αὐτῆς καὶ ἀπόστασιν. ὁποῖα δὲ ἐν τοῖς τοιούτοις φιλεῖ γίνεσθαι, οὐ μόνον ἐκ τῶν παρὰ πόδας ἐποριζοντο τὰ εἰς ἄμυναν, ἀλλὰ καὶ εἰς τὰ πόρρωθεν ἀνεβίβαζον τοὺς λογισμούς, καὶ ἀνέβη αὐτοῖς ἐπὶ

perseverabantque in iis, quae commiserant, sententiamque suam stabiliebant, et puerum confirmantes in praeceptis suis, ut observaret ea adsuefaciebant, in primis, quae plurimum pollebat, mater eius et secundus post eam protosebastus, qui ecclesiam tum dominari cupiebat et cum mulieribus secundum proverbium excitaverat pugnam. atque ita quidem nonnulli virtutis parum amantes; reliqui autem animis afflicti propter patriarchae et Caesarum iniuriam ad malum ingens et miserabile deveniunt. ut enim brevi dicam, bellum oritur sacrum, ut iure quis dicat. armis teguntur intus ministri ecclesiae ad defendendam obsidionem, adoriuntur eos extra imperatorii multi et generosi. cadunt haud pauci eorum, qui in ecclesia erant, ex imperatoriis autem innumerabiles. transiit autem aliquid eiusdem mali etiam in forum. partis imperatoriae asseclae enim adorti sunt plurimos, atque alios laeserunt, alios etiam vita privarunt. unde latius grassata pernicies auxit odium imperatricis et ad omnes prope pertinuit. fremebant adversus eam ora omnium et moliri coeperant inimicitias et defectionem. itaque, ut fere fit in rebus eiusmodi, non solum, quae praesentia erant, ad defensionem pararunt, sed etiam ad longinqua verte runt animos, et venit in mentem, cuius supra mentionem iniecimus.

νοῦν ὁ Κομνηνὸς Ἀνδρόνικος, ὃν ἄνω τοῦ λόγου παρερρίψαμεν. ἐδόκει γὰρ ἀξιόμαχος ἐπίκουρος ἀναφανήσεσθαι ἂν πρὸς τὰ ξυμπεσόντα καὶ ἀλεξίκακος, οὐχ ὥστε μὴν ἐκεῖνον δράξασθαι καὶ πρὸς ἑαυτοῦ θέσθαι τὰ ζυγὰ τῆς βασιλείας, ἀλλ' ὡς τῆς μητρός, ἣ φαύλως ἐπιτροπεύειν ἐδόκει, ἔτι δὲ καὶ τῆς τοῦ πρωτοσεβαστοῦ οἰήσεως ἐξελέσθαι τὸν καταπραγματευόμενον. καὶ ἦν τοῖς πολλοῖς — ὀκνῶ μὲν εἰπεῖν· ὡς πρὸ καὶ αὐτοῦ θεοῦ, θαρρῶ δὲ ἀσφαλέστερον φράσαι ὡς εὐθὺς μετὰ θεὸν τὰ τῆς καραδοκίας εἰς τὸν Ἀνδρόνικον. ὅθεν καὶ τοῦ ἐκκλησιαστικοῦ πολέμου ἀκμὴν ἔχοντος περί που μεσημβριάζουσαν ὥραν, καὶ διαβλεπομένου ὡς ἑτερορρεπὴς ὑπὲρ τῶν βασιλικῶν ἔσται, πλάσμα ἦν λόγων τοῖς πολλοῖς, ἤδη δὲ καὶ διανοιῶν ἀνάπλασμα ὑπόκενον, ὡς ἰδοὺ ὁ Κομνηνὸς ἥκει καὶ ἐγγύς που τῆς ἀντιπόρθμου τῷ Βυζαντίῳ αὐλίζεται δαμάλεως. καὶ τὸ βουλόμενον ἑκάστου τῶν πολιτῶν εἶχεν ἐκεῖνον παρόντα τῇ μάχῃ, ὡς εἴπερ ἐκ τῆς Σινωπικῆς χερρονήσου, ἣν τότε κατεῖχεν, εἰς τὴν μεγαλόπολιν ἐπτερύξατο. καὶ ἐδόξαζον ἐκεῖνον σωτῆρα σφῶν ἑκάστου ἔσεσθαι καὶ ἕρμα τῆς βασιλείας, κούφως ἐνταῦθα κἀκεῖ παραγομένης πρὸς τοῦ θέλοντος, εἴπερ μόνον τῷ πρωτοσεβαστῷ καὶ τῇ ξυνασπιζούσῃ βασιλίδι χαρίζοιτο. ἔπεμπε γὰρ ὁ Ἀνδρόνικος φαντασίαν τοῖς πλείοσιν ἄνθρωπος εἶναι οἷος διέπειν κόσμον καλῶς, καὶ οἷς δὲ ἔπαθε, μαθεῖν ἀγαθὸς εἶναι, πάν-

videbatur enim socius esse, Andronici Comneni idoneus ad comprimenda et arcenda, quae futura essent, neque tamen ita, ut caperet ipse et sibimet vindicaret habenas imperii, sed ut matris, quae male exercere tutelam videretur, ac protosebasti arbitrio, easdem eriperet prudentia sua. atque erat ille — vereor dicere — plerisque deo ipso carior, sed affirmare audeo, proximum post deum locum in animis Andronicum habuisse. quare quum pugna ecclesiastica circa horam meridianam vehementissime exarsisset, videreturque in eo esse, ut secundum partes imperatorias verteret, sermonibus ficta et consiliis mox reficta plerorumque subibat animos opinio inanis, adventare Comnenum et constitisse ad iuvencam, quae Cpoli opposita est in freti ripa altera. itaque vota cuiusvis civis illum in pugna praesentem habebant, tanquam e Sinopensi chersoneso, quam tum tenebat, in urbem advolasset. fore eum sibi quisque servatorem sperabant et propugnaculum imperii, quod facile huc illuc ab unoquoque traheretur, qui protesebasto et sociae eius, imperatrici, gratificaretur. etenim in animum induxerant hanc opinionem plerique, esse Andronicum hominem ad imperium bene administrandum idoneum, ac didicisse per ea, quae passus esset, bonae frugis esse, et inprimis cultu-

τως δ' ἂν καὶ τὸν τοῦ Μανουὴλ παῖδα αἰδέσεσθαι κατὰ τοὺς συχνοὺς ὅρκους, καὶ μάλιστα τοὺς ὕστερον, οὓς μετὰ πάθας πολλὰς ἐπέκρινε δοῦναι, καὶ δεδωκὼς τὴν τῶν Παφλαγόνων ἀντεκληρώσατο γῆν, ὡς καὶ στρατοπεδαρχεῖν ἐκεῖσε καὶ τὰ ἐκεῖθεν εἰς κέρδος ἀπονοσφίζεσθαι. καὶ εἶχον μὲν οὕτως ἐλπίδων οἱ τῆς μεγαλοπόλεως· αἱ δὲ ἦσαν ἐλπίδες ἄλλως καὶ ὀνείρων κατὰ τὸν εἰπόντα σκιά, ὡς ὁ ἐπιὼν χρόνος ἀνέδειξε, ψεύσας τὴν καλὴν ζωγραφίαν ἣν ὁ καθ' ἕνα ἐπὶ τῷ Ἀνδρο- 274
νίκῳ ἐνετυπώσατο εἰς ἑαυτόν, καὶ ἀπαλείψας μὲν αὐτήν, ἐκφήνας δὲ τὸν ἄνδρα καινότροπον, εἰπεῖν εὐφημότερον.

Ἀλλὰ τοῦτο μὲν μικρόν τι ὕστερον· τότε δὲ ἀνεκαλεῖτο ἕκαστος τὸν Ἀνδρόνικον ὡς ἤδη καὶ παρόντα ἢ γοῦν ἀλλὰ παρεσόμενον. ὡς δὲ τὸ φάντασμα ἐψεύσατο, καὶ ὁ πόλεμος περὶ δείλην ὀψίαν κατειργάσθη, ῥίψας πολλοὺς καὶ τὸ νότιον πολυάνδριον τὸ πρὸς ᾗ θαλάσσῃ πλήσας νεκρῶν βασιλικῶν, ὃ δὴ σαπρία τεθέληται λέγεσθαι, καὶ ἐχρῆν κατά τινα ξύμβασιν τὴν τότε δόξασαν ἠρέμα καταστῆναι τούς τε βασιλικοὺς τούς τε ἐκκλησιαστικούς, ὅποι μὲν ἦλθον μεθόδων οἱ τότε, πάρεργον οἶμαι ξυγγράφειν, ὃ δὲ ἡμῖν ὁδοποιεῖ τὰ ἐφεξῆς, εἰρήσεται.

Ἀποκαθίσταται μὲν μετά τινα διαστήματα ἔμμηνα πατριαρχεῖν αὖθις ἀναγκαίως ὁ ἱερώτατος Θεοδόσιος, συγκαθί-

rum Manuelis puerum propter iuramenta, quae fecerat, plurima, posteriora praesertim, quae post magnas miserias dare decreverat, et quum dedisset, Paphlagoniam in vicem accepit, ut et imperium eius provinciae exerceret et sibi inde lucrum faceret. talem igitur spem omnis civitas alebat. sed erat ea spes inanis et somnii, quod aiunt, vana species, quemadmodum tempus deinde secutum declaravit, quod pulcram illam imaginem, quam de Andronico sibi quisque confinxerant, delevit et abstersit, ostenditque hominem, ut benignius dicam, novum et insolitum.

Sed illud quidem paulo post factum est. tum autem vocabat unusquisque Andronicum, tanquam iam praesentem, aut certe quidem mox affuturum. quae spes quum fefellisset cives, et bellum multa vespera cessasset, fractisque multis et coemeterio australi, quod ad mare pertinet et putredinis nomen meruit, cadaveribus impleto imperatoriis, secundum pactionem tum initam quiescere oporteret et imperatorios et ecclesiasticos, supervacaneum puto narrare, quas illi tum conditiones constituerint, ac dicturus sum, quod viam nobis muniat ad res deinde secutas.

Restituitur post unius fere mensis dissidia in patriarchatum necessitate cogente sanctissimus Theodosius, sociaturque cum eo com-

σταται δὲ καὶ τὸ ἀρχιερατικὸν ξύμπαν εἰς μίαν ἔνωσιν, καὶ δοκεῖ τὰ τῆς πόλεως οὕτω κύματα γαλήνην εὑρεῖν. ὡς δὲ ἐχρῆν ἕκαστον μέγα πρόσωπον τῶν ἐν τῇ ἐκκλησίᾳ ἐκφαίνεσθαι κατὰ εἰρήνης δῆθεν λόγον (ἔγεμε γὰρ αὐτῶν εἰσέτι τὸ θεῖον τέμενος, παραμενόντων ἐξ ὅτου προσπεφεύγασιν), οἷς μὲν οὐκ ἦν ὕποπτον τὸ βιοῦν, καὶ οἷς δὲ ἁπαλῶς εἶχεν ἡ ψυχή, προυφαίνοντο, καὶ ἐλάλουν καὶ ἐποίουν ὅσα ὑπέβαλλεν ὁ καιρός. ἡ δὲ τοῦ Ἀνδρονίκου θυγάτηρ, ἡ τὸν Συναδηνὸν Θεόδωρον ὕστερον εἰς ἄνδρα λαβοῦσα καὶ ταχὺ ἀποβαλοῦσα, οὐ καθ' εἱρμόν, ὡς λέγεται, φύσεως, ἐφαίνετο οὐδαμοῦ καὶ μὴν ἀνεψηλαφᾶτο κατ' ἐπιμέλειαν. ἦν δὲ ἡ αὐτῆς ἐκκλησίαθεν ἀποκρυβὴ φυγὴ πρὸς τὸν πατέρα ἕως καὶ εἰς Σινώπην, ἔνθα ἐκεῖνον ἔγνω εἶναι. καὶ ἔσχεν εὐόδως, ὡς οὐκ ἄν τις οὐδὲ ἀνὴρ δεξιώτατος· ἔοικε γὰρ ἡ φύσις φιλοτιμήσασθαι καὶ αὐτῇ τέχνην τοῦ φεύγειν, καθάπερ καὶ τῷ πατρί, ὃν μικροῦ ἂν δεήσῃ τις εἰπεῖν ὡς διὰ βίου κατώρθου τὸ καὶ φυγὰς εἶναι καὶ διαδιδράσκειν τοὺς ἐπιτρέχειν ἐθέλοντας. ἡ τοίνυν θυγάτηρ ἐκείνη οὕτως ἀνδρισαμένη τὰ εἰς δρασμόν, καὶ εἰς ἓν γενομένη τῷ πατρὶ καὶ τὰ τῆς πόλεως περιηγησαμένη, τά τε ἄλλα ἐνέγραψεν εἰς ἀναπάλειπτον ἐκείνου ψυχῇ, καὶ ὅτι δὲ θεὸς τοῖς Κωνσταντινουπολίταις αὐτὸς περὶ γῆν μετὰ τὸν οὐράνιον. καὶ τὴν καρδια-

7. προὐφαίνετο T

muni foedere collegium archipresbyterorum universum, ac videntur ita tandem sedati esse fluctus urbani. quum autem eorum, qui in ecclesia erant, illustrior quisque prodire deberet secundum conditionem pacis (refertum enim etiam tum erat sacrum delubrum, remanentibus, ex quo eo fugerant, plerisque), qui vitae non timebant et animo erant placido, prodibant et loquebantur faciebantque, quae tempus suaderet. sed Andronici filia, quae Theodorum Synadenum postea maritum habuit et mox amisit, non secundum legem, ut aiunt, naturae, nusquam comparebat quamvis studiose quaesita. erat autem ex ecclesia fugientis latibulum iter Sinopen ad patrem susceptum, in qua illum urbe commorari sciebat; fecitque id iter ita strenue, ut ne vir quidem expeditissimus. videbatur enim natura quasi ambitiose illi quoque fugiendi dedisse artem, quam patri dederat, quem quis paene dixerit vita comprobasse illud "fugitivum esse et effugere insectari conantes." filia igitur eius, postquam fuga laudem virtutis meruit et cum patre coniuncta est, res in urbe gestas enarravit, inscripsitque animo eius acutisimo stilo cum reliqua, tum quod post deum coelestem ipse a Cpolitanis alter in terris deus haberetur. quae quidem verba multum secum versans, et varia volvens in animo con-

κὴν γραφὴν ταύτην ἀνελίττων συχνὰ ὁ Ἀνδρόνικος, καὶ διαλογισμοὺς ἀναβιβάζων ἀεὶ ἐν καρδίᾳ ποικίλους, ἐκνικᾶται λογισμῷ ἑνί, ὃς τὸ σύμπαν εἰς φθορὰν ἐκύκησεν. ἀρξάμενος γὰρ ἐκεῖθεν ἀκροβολίζεσθαι κατὰ τῆς βασιλίδος καὶ τοῦ πρωτοσεβαστοῦ καὶ μέμψεις ἐπιπέμπειν διά τε γραμμάτων καὶ στομάτων, ὡς ἄρα τὸ τῆς βασιλείας καθάρειον παπηλεύοντες παροινοῦσι κατὰ τοῦ βασιλέως παιδός, καὶ σκώπτων καὶ ἀπειλούμενος, καὶ τῶν ὁμοίων αὖθις ἀντιπειρώμενος καὶ οἷα ἔλεγεν ἐπακούων, ὡς τοῖς ὑβριζομένοις ἦρεσκεν, εἶτα καὶ παραινῶν δῆθεν καὶ μὴ εἰσακουόμενος, ὅτι μηδὲ ἦν ἐπιτάσσων φορητά, ἐκμαίνεται εἰς ὁδὸν ὡς ἐπὶ ἀμύνῃ τῇ ὑπὲρ τοῦ βασιλέως, οἷα καὶ φημιζόμενος ἐπιτετάχθαι πρὸς τοῦ μακαρίου Μανουὴλ συνδιαφέρειν καὶ αὐτὸς τὸ βάρος τῆς ἐπιτροπῆς.

Καὶ ἦν ἡ τοῦ Ἀνδρονίκου εἰς τὴν μεγαλόπολιν τὸ ἐντεῦθεν ὁρμή· βασιλεὺς πρόφασις, Ἀλέξιος δηλαδὴ ὁ μικρός, ληψόμενος ἄμυναν· ἄλλως μέντοι ἀληθῶς πρόθεσις βασιλεὺς ἐκεῖνος, ἄωρος θανούμενος, ὡς οὐκ ἐχρῆν. καὶ γοῦν συλλεξάμενός τινα στρατιάν, τὴν μὲν κατὰ γῆν τὴν δὲ λοιπὴν κατὰ θάλασσαν, ὡς εἶχεν ἰσχύος (εἶχε δὲ ἀμυδρῶς), ἤλαυνε πῇ μὲν κατὰ σπουδήν, τὰ πολλὰ δὲ σχολαίτερον, μεθοδεύων τῇ σχολῇ δοκεῖν βαρὺς εἰς ὁδὸν εἶναι διὰ τὸ πολὺ τοῦ στρατοῦ· ὅπερ οὐχ οὕτως εἶχεν.

20. ἀμυδρᾶς T 22. δοκεῖ T

silia Andronicus, in eo maxime consilio constitit, quod universam rem publicam perturbaturum erat. etenim eminus e provincia sua lacessere imperatricem et protosebastum, atque contumelias in eos sive libellis sive ore effundere, quod imperii sacrum profanarent et male haberent puerum imperatorem, atque conviciari ac minitari ausus, et simili invicem ratione obiurgatus ipse, et, qualia clamaret, talia audiens ab iis, quos provocarat, praecipere quin etiam conatus, nec auditus, quoniam praecipiebat intolerabilia, ad id postremum processit insaniae, ut adversus urbem proficisceretur ad auxilium scilicet ferendum imperatori. et erat sane fama, a beatae memoriae imperatore Manuele adscriptum eum iis esse, qui ferrent onus tutelae.

Proficiscitur igitur adversus urbem Andronicus: imperator praetextui erat, parvus ille Alexius, opem scilicet habiturus; revera scopo erat, immatura quippe morte periturus, qua minime decebat. itaque comparato exercitu tum terrestri tum maritimo, cum copiis, quas habebat: habebat autem exiguas: partim festinanter, plerumque tardius proficiscitur, quo videretur difficulter propter copiarum procedere multitudinem, id quod secus erat.

Ὡς δὲ τὴν τῶν Θυνῶν καὶ Βιθυνῶν γῆν περιελθὼν ἦν τῆς τῶν Βεβρύκων, καὶ περὶ τὴν ἀντιπέραν τῆς μεγαλοπόλεως Χαλκηδόνα ἐστρατοπεδεύσατο, ἦν μὲν ἥκιστος τὸν λαὸν ὁ ἀνήρ, διασπείρας δὲ τὴν ἀμφ' αὐτὸν στρατιὰν πρὸς τέχνην καὶ σκηνὰς πηξάμενος ἐν τόποις καιρίοις, ὡς φαίνεσθαι πυκνοῦσθαί τε καὶ πλῆθος ἔχειν, καὶ τὰ πλοῖα δέ, οἷς ἐνέβαλέ τι τοῦ στρατιωτικοῦ, περὶ τὰ κατ' αἰγιαλὸν βράχεα καὶ λοιπὰς θαλαττίους ἀγκάλας δεξιῶς μερίσας καὶ καταστήσας, ὡς μὴ σαφῶς διαφαίνεσθαι οἵά τε καὶ ὁπόσα ἐκεῖνα, τοιαύτην σκότωσιν ἔπεμψε τοῖς μεγαλοπολίταις, τοῖς τε ἄλλοις καὶ αὐτοῖς δὴ τοῖς πρὸς ἐκεῖνον ἐχθραίνουσιν, ὡς δοκεῖν τήν τε περαίαν γῆν καὶ τοὺς αὐτῇ προσκυροῦντας αἰγιαλοὺς πεπλῆσθαι, τὴν μὲν στρατευμάτων πεπυκνωμένων, τὴν δὲ συχνῶν τριήρεων καὶ ἑτέρων πλοίων, ὅσα προμήκη σκευωροῦσιν αἱ κατὰ θάλασσαν μηχαναί. καὶ εἰώθαμεν ἀληθῶς ἐν τοιούτοις οὕτω πάσχειν οἱ ἄνθρωποι· πληθύνομεν γὰρ ὡς τὰ πολλὰ καὶ μεγεθύνομεν ἃ θαυμάζομεν, οἷα μὴ ἀκριβοῦν δυνάμενοι διὰ τὸ τὴν ψυχὴν συγκεχύσθαι τοῖς ἐκπλήττουσι.

Τοιοῦτος οὖν ὁ Ἀνδρόνικος φανείς, καὶ ὁ οὕτως ὀλίγος μυρίος διακριθείς, ἐφέλκεται διὰ βραχέος καιροῦ πάντας, καὶ τὴν ὅλην πόλιν μετάγει, ὡς οὕτως εἰπεῖν, πρὸς ἑαυτόν. καὶ ἵνα μὴ μακρᾷ θαλάσσῃ διηγημάτων ἐπαφῶμεν τὸ τοῦ λόγου ἀκάτιον ἀλλ' ὡς διὰ πορθμοῦ βραχυπορήσωμεν, ἐν ἀκαρεῖ χρόνῳ πλωΐζονται

Per Thynorum et Bithynorum terram profectus, quum in regionem Bebrycensium pervenisset, et ad urbem Cpoli oppositam Chalcedonem castra posuisset, quoniam exercitum perexiguum habebat, copias callide distribuit et tentoria locis idoneis ita collocavit, ut densa et crebra esse viderentur, navigia autem, impositis aliquot militibus, per vada ad litus et sinus maris reliquos apte disposuit, ut numerus eorum et magnitudo minus posset discerni, tantamque Cpolitanis quum reliquis, tum vero inimicis suis fraudem fecit, ut terram oppositam et litora repleta esse putarent partim militum multitudine, partim copia triremium et aliorum navigiorum, quae bellis maritimis parantur praelonga. ac solemus sane homines in eiusmodi rebus ita affici: amplificamus plerumque et exaggeramus, quae admiramur, quoniam accurate ea iudicare non possumus, propterea quod mens turbata est stupentibus.

Talis igitur cum appareret Andronicus, et exiguae eius copiae ingentes esse viderentur, brevi tempore cunctos sibi conciliat, et totam urbem, ut ita dicam, in partes suas traducit. sed ne ingenti mari rerum narrationis nostrae scapham committamus, sed via tanquam per fretum compendiaria proficiscamur, confestim ad illum navigant

εἰς ἐκεῖνον οἱ μεγάλοι, οἱ μικροί, οἱ μέσοι. καὶ θαυμάζεσι μέν, ὁποῖα πρῴην δοκοῦντες βλέπειν οἷα νῦν ἐμφανῶς βλέπουσι, καὶ ὡς αἱ μὲν μακραὶ νῆες ἁλιάδες ἄρτι γνωρίζονται τῆς πρὶν κατὰ ἀπάτην σκοτώσεως διαφωτισθείσης, αἱ δὲ σκηναὶ μακροῖς ἀλλήλων διαστήμασιν ἀφορίζονται, σικυηλάτοις πρέπουσαι, ὁ δὲ στρατὸς ὅσος πανήγυρις οὐκ εὐγενής, οἱ δὲ ἵπποι ὁποίους τοὺς πλείους μύλωσιν ἂν καταδέχοιντο. καὶ ἀφυπνίζοντο μὲν καὶ ἀνένηφον, ὡς τὰ μικρὰ γνωρίζειν αὐτὸ τοῦτο μικρά, καὶ μηκέτι μεγαλεῖόν τι αὐτοῖς ἐπιψηφίζεσθαι· τὸ δὲ πάλαι ποθοῦν παραμένον ἔπειθεν ἐθέλειν τὸν ἄνδρα μόνον αὐτὸν φαινόμενον τὸ πᾶν, καθὰ πρὸς ἀγαθοῦ σφίσιν ἦν, καταπράξεσθαι. οὐκοῦν ἠσπάζοντο ἐκεῖνον, ἐφίλουν πρόσωπόν τε, οὗ τὴν θέαν εὔχοντο, καὶ χεῖρας, ἐφ' αἷς ἐπεποίθεισαν, ἐπ' αὐταῖς ἐνεθουσίων· ἐξηρεύγοντο ἐπαίνους παντοδαπούς, ἀνεβόων συχνὰ δόξαν τῷ θεῷ· προεκαλοῦντο, εἰ οἷόν τε, διαπηδῆσαι εἰς τὴν ἀντίπορθμον ταχύ· τὸ γὰρ ποδῶκες τοῦ ἀνδρός, ἐπίσημον αὐτῷ τυγχάνον πρὸς φύσεως, καὶ τοιαύτην, οἶμαι, καινοτροπίαν ἐνθυμήσεως ὑπέβαλλε τοῖς πολλοῖς. ὁ δὲ τὰ μὲν ἀντιχαρεὶς ὡς εἰκὸς καὶ μάλα, τὰ δὲ καὶ φιλενδεικτήσας ἐν οἰκείοις κενεαυχήμασιν, οὐκ ὀλίγα δὲ καὶ θαρρύνας τοὺς εἰς αὐτὸν ἀφεωρακότας, αἴρεται μικροῦ δεῖν ἐπὶ χειρῶν, οὐ μόνον πρὸς Ἀγγέλων, γένους τούτου βασιλικοῦ

8. ἀνέφηνον T

qui sunt in summa, infima, media statione vitae. ac mirantur, quum quae prius videbantur sibi videre, nunc vident revera, et naves illae longae iam scaphae apparent, oculorum ante tenebris nunc discussis, tentoria autem magnis separantur intervallis, areis, quibus cucumeres gignuntur, apta, exercitus concioni haud illustri similis, atque equi plerique, quales in pistrinum mitti solent. itaque expergefacti et crapula soluti agnoscebant quidem copias id quod essent, exiguas, neque iam opinione sua splendorem illis addebant; sed vetustum residens desiderium persuadebat, virum ipsum, quum appareret, solum omnia, quae saluti sibi essent, perfecturum esse. itaque salutabant illum, et deosculabantur os illud, cuius adspectum exoptaverant, et quibus confisi erant manibus, in iis exsultabant; rugiebant laudes varias, vociferabantur multa ad gloriam dei; exhortabantur, ut transsiliret, si fieri posset, fretum confestim. hominis quippe celeritas, quod habebat insigne a natura, illam, opinor, miram cupiditatem plerisque iniiciebat. atque ille vicissim gavisus, ut par est, vehementer, et ostentans nonnulla ad vanam sui gloriationem, nonnihil etiam confirmans eos, qui in se suspicerent, manibus prope gestatur, non solum ab Angelis, gente illa imperatoria splendidissima et

λαμπροῦ τε καὶ πολυδυνάμου, ἀλλὰ καὶ ὑπὸ λοιπῆς εὐγενείας καὶ συγκλήτου λογάδος καὶ τῶν ἄλλων τέκνων τῆς πόλεως. καὶ εἶχε λοιπὸν αὐτὸν οὕτως ἡ μεγαλόπολις, μυρία καινοπραγήσαντα.

Ἐνταῦθα ἔστιν εἰπεῖν ὡς ὁ μὲν εἰπὼν "εὐλόγησέ σε ὁ θεὸς ἐπὶ τῷ ποδί μου" ἀοίδιμός ἐστιν εἰς ἀγαθόν, ἐπεὶ οὐδὲ ἔξω ἐγκωμίων ἡ τοῦ δικαίου μνήμη πίπτειν οἶδε· τὸν δὲ Ἀνδρόνικον ἐξ αὐτῶν βαλβίδων εἰσόδου ἔχοι ἂν ἡ μεγαλόπολις μέμψεσθαι, ὅτι οὐκ εὐλόγησεν αὐτὴν ὁ πούς αὐτοῦ. οὐδὲ γὰρ ἵστατο ἐν εὐθύτητι, ὡς τὰ ἐφεξῆς ἅπαντα ἔδειξαν. ἅμα γὰρ ἡ τοῦ μεγάλου Κωνσταντίνου κληρονομία εἶχεν αὐτόν, καὶ αὐτίκα οἱ ἀμφ' αὐτὸν Παφλαγόνες, ἔθνος ἀτάσθαλον καὶ ἐν Ἕλλησι βάρβαρον, κελευσθὲν ἐνεπήδησε τῷ τῶν Λατίνων φύλῳ, οἳ ἀφωρισμένοι κατ' ἔθος ἀρχαῖον περὶ τὸν αἰγιαλὸν τοῦ Βυζαντίου κέρατος, τὸν τοῦ φωσφορίου ἐχόμενον, ὑπὲρ ἑξήκοντα χιλιοστύας ἐχέοντο εἰς ἀριθμόν. ἐπεκάλουν δὲ τοῖς Λατίνοις ἐκεῖνοι ὅτι πρὸς τοῦ πρωτοσεβαστοῦ καὶ τῆς δεσποίνης Ξένης ἦσαν καὶ δι' ἐκείνους ἐβούλευον κατὰ Ῥωμαίων κακά. καὶ ἦν ἀληθῶς οὕτως ἔχον τὸ πρᾶγμα· διεκπεσόντες γὰρ καὶ ἡ δέσποινα καὶ ὁ πρωτοσεβαστὸς τοῦ ὑπὸ Ῥωμαίων στέργεσθαι ἀπέβλεψαν εἰς τοὺς Λατίνους, καὶ δώροις ἐπάραντες καὶ μάλιστα ὑποσχέσεσι τοῦ τήν πόλιν τε προνομεῦσαι καὶ ὑπὸ δουλείαν αὐτοῖς τοὺς Ῥωμαίους θέσθαι,

potentissima, sed etiam a nobilitate et delectis senatus ceterisque urbis civibus. tali igitur modo urbs Andronicum illum habebat, qui innumerabilia peccaverat.

Hic iam dicere licet, qui dixit, "beavit te deus per pedem meum," eum merito gloriosum esse, quoniam laudibus carere nequit iusti memoria; Andronicum autem ex ipsis introitus quasi carceribus urbs reprehendere possit, quod non beaverit ipsam pes eius. neque enim in iustitia consistebat, id quod omnia, quae deinceps secuta sunt, declararunt. simulatque enim magni Constantini illi hereditas obvenit, illico qui eum stipabant Paphlagones, gens impia et in Graecis barbara, iussu eius Latinorum invaserunt gentem, qui more prisco in litore sinus Cpolitani, quod cum phosphorio cohaeret, separati numerum plus sexaginta milium conficiebant. exprobrabant autem Latinis, favere eos protosebasto et imperatrici Xenae, horumque causa insidiari Romanis. ac revera res ita habebat. etenim quum excidissent amore Romanorum imperatrix et protosebastus, in Latinos oculos converterunt, donisque invitatos et promissa maxime urbis depraedatione et servitute civium commoverant illos, ut ad bellum

ἀνέπεισαν ἤδη καὶ πρὸς μάχην ἐξαρτύεσθαι, εἰ μὴ ταχὺ ὁ Ἀνδρόνικος ἐπεραιώσατο· οἵ γε καὶ τοῦ ὡς ἐρρέθη ἱεροῦ πολέμου συνεφάψασθαι τότε προσελήφθησαν μέν, ἤργησαν δὲ διὰ τὸ ταχὺ ἐκεῖνον λυθῆναι. ἐπεκλᾶτο μὲν οὖν τοῖς Λατίνοις αὕτη αἰτίασις οὐ ψευδής, οὐδ' εἶχον εἰπεῖν, οὔτε μὴν ἔχοιεν ἄν, ὡς ἦσαν ἄμεμπτοι· ἔμελλον δὲ οἵμοι κακῷ μεγάλῳ μέγα κακὸν ἐκθεραπεῦσαι οἱ Παφλαγόνες, οἷς ἀλογίστως ἐθρασύναντο. εἰσελθόντες γὰρ τὴν μεγαλόπολιν καὶ πλαγιάσαντες ἐπὶ τοὺς Λατίνους (εἰκὸς δὲ πάντως καὶ ἄλλους τῶν τοιαῦτα νεωτερίζεσθαι φιλούντων συναίρεσθαι αὐτοῖς) ἐπέρχονται τοῖς Λατίνοις οὐκ ἂν ἐλπίζουσι, καὶ διατίθενται τὰ ἐλεεινότατα, καὶ σπέρματα ἐκεῖνα προκαταβάλλονται ἀφ' ὧν ἡμεῖς καὶ πολλοὶ ἕτεροι σὺν ἡμῖν τεθερίκαμεν λειμῶνος Περσεφόνης, οὕτω φάναι, δράγματα· ἐκεῖθεν γὰρ ἡμῖν κα-
θήκει τὰ παρόντα κακά.

Καὶ ἀφηγεῖσθαι μὲν τὰ τότε δεινά, ὅσα εἶδον οἱ Λατῖνοι, τὸ πῦρ ὃ τὰ κατ' αὐτοὺς ἐπενείματο δίχα γε τῶν ἁρπαγέντων, τοὺς κατὰ θάλατταν ἐμπρησμοὺς ἐκ τοῦ παρὰ Ῥωμαίοις ὠμβρημένου πυρὸς τοῖς ἐπὶ πλοίων φεύγειν ὁρμήσασι, τὰ κατ' αἰγιαλούς, τὰ περὶ τὰς ἀμφόδους, ἔργον ἂν εἴη πολύ, καὶ ὡς οὐ μόνον τῶν ἀνθοπλιτῶν Λατίνων κατεφέροντο οἱ τοῦ Ἀνδρονίκου, ἀλλὰ καὶ ὅσοις περιεποιεῖτο ἔλεον τὸ ἀπάλαμνον· καὶ γυναῖκες γὰρ αὐτῶν ἐρριπτοῦντο ξίφεσι καὶ βρέφη. καὶ τοῦτο μὲν δεινόν, οὐχ οὕτω δὲ ὡς ὅτε καὶ

iam se accingerent, nisi confestim Andronicus traiecisset. iidem, ut bello sacro, de quo diximus, interessent, invitati fuerant, sed prohibiti, quoniam celerem id bellum finem habuit. exprobrabatur igitur illud non falsum crimen Latinis, nec poterant hi, nec vero hodie, affirmare, insontes se esse. sed, eheu, curaturi erant malo magno magnum malum Paphlagones, siquidem temere animum expleverunt. namque urbem ingressi et ad Latinos conversi (consentaneum autem omnino est, etiam alios rerum novarum cupidos adiunxisse se illis), adoriuntur eam gentem minime ista exspectantem, et pessime tractant, et semina illa serunt, unde nos et multi nobiscum alii mergites, ut ita dicam, prati Proserpinae messuimus. inde enim praesentia ad nos mala redundarunt.

Enarrare autem cunctas miserias, quas Latini tum experti sunt, ignem, quo bona eorum delebantur praeter ea, quae praedae erant, incendia maritima, quibus Romani coniecto igne insectabantur fugientes in navigiis, reliqua mala, quae vel in litore vel in plateis fiebant, longum est. nec armatos solum Latinos asseclae Andronici invadebant, sed etiam eos, quorum inopia videatur misericordiam ex-

γαστέρων ἀναρρηγνυμένων μητρικῶν ἐμαιοῦτο σίδηρος τὰ ἔμβρυα, καὶ πρὸ ὥρας βλέποντος ἡλίου τὸ μικρὸν ὁ τοῦ ᾅδου σκότος μετεξεδέχετο αὐτό, τεθνηκὸς πρὶν ἢ καὶ ζῆσαι τὸ τέλειον. θηριῶδες τοῦτο καὶ ἀσύγκριτον μανίαις ἑτέραις. ἔπεσε τότε καὶ ἀνὴρ ἱερὸς ἐν Λατίνοις, οὐκ οἶδ' εἴτε ἀπὸ τῆς πρεσβυτέρας ἦκων Ῥώμης κατὰ πρεσβείαν, εἴτε Σικελίαθεν, πάντως δὲ ἢ Ῥωμαῖος ὢν ἢ Σικελός. καὶ οὐχ ἁπλῶς ἔπεσεν, ἀλλὰ μετὰ τῆς παρ' ἐκείνῳ ἱερᾶς ὅλης περιβολῆς, ἣν ὅπλων πρόβλημα περιέθετο, εἴ πως αὐτὸν αἰδέσονται οἱ κακοί. καὶ γέγονε καὶ ταῦτα ἡμῖν προκεντήματα ὧν ἐπάθομεν· ἡμῖν γὰρ οὐδὲ οἱ ναοὶ τοῦ θεοῦ ἄσυλοι. οὐδὲ γὰρ οὐδ' αὐτοὶ ἄχραντοι ἔμειναν, ὅτε νεκροὶ μὲν ἐστρώννυον αὐτοῖς τὰς κρηπῖδας παντοδαποί, ἐν οἷς καὶ ἱερὰ πρόσωπα, αἵματι δ' ἐρράδατο τοῖχοι καλαί τε μεσόδμαι, παρ' ὅσοις αἱ ἱεραὶ στέγαι ταπειναὶ ἦροντο. ἀλλὰ ταῦτα μὲν ὕστερον· τότε δὲ τηλίκον
276 ἦν τὸ κακὸν τοῖς Λατίνοις ὡς ἐκβοήσαντας κατὰ τοῦ Ἀνδρονίκου δοκεῖν δικαιωθῆναι καθ' ἡμῶν, καὶ ἀκουστὰς θεῷ γενέσθαι τὰς αἰτήσεις αὐτῶν.

Καὶ οὕτω μέν, ὡς ἔφθη στενολεσχήσας ὁ λόγος, κατέδυ πόλιν ἐκείνην εὐρυάγυιαν ὁ Ἀνδρόνικος. καὶ ἦν σκοπὸς αὐτῷ τοῦ λοιποῦ τῶν ἐφεξῆς πράξεων καὶ ἀληθῶς προύργου στερεῶσαι μὲν πρὸς μικρὸν τὴν βασιλείαν ἐμπορικῶς τῷ μικρῷ

21. προὔργῳ T

citatura fuisse. mulieres enim et infantes gladiis perimebantur: horrida sane res, nec tamen tam horrida, quam quum uteris matrum prosecissis ferro fetus protrahebantur, et infans, antequam lucem solis adspexisset, tenebris orci obruebatur, mortuus, priusquam recte vixisset. est hoc bestiarum more immane nec cum ceteris facinoribus comparandum. cecidit tum etiam homo Latinus sacerdos, qui veneritne a metropoli Roma legatus, an ex Sicilia, nescio, sed certe aut Romanus aut Siculus erat. nec simpliciter ille cecidit, sed cum omni suo sacro ornatu, quem pro munimento induerat adversus tela, num forte veneraturi se essent hostes. ac fuit ea quoque imago eorum, quae ipsi passi sumus. nam nec nobis templa dei intacta sunt. etenim ne ea quidem incruenta manserunt, quando cadaveribus pavimenta obtecta sunt variis, in quibus viri etiam clerici erant, et sanguine adspersi muri trabesque pulcrae quibus sacra tecta sublimia gestabantur. sed haec quidem post facta sunt. tunc autem tanta erat Latinorum calamitas, ut Andronicum detestati clamarent, poenas nos daturos et deum auditurum esse preces suas.

Andronicus ita igitur, ut supra paucis memoratum est, intravit urbem amplissimam. spectare autem coeperat ea, quae deinde consecuta sunt, gradiebaturque ad ea ita, ut stabiliret nonnihil frau-

Ἀλεξίῳ, κατασεῖσαι δὲ τῆς κραταιότητος τήν [τε] μητέρα, ἐπεὶ τὸν ἱστορούμενον πρωτοσεβαστὸν ἀποσκευάσοιτο, πρωτόλειον ἐκεῖνον Ἐριννύσιν ἐκδούς· καὶ κατέμενεν οὕτω προκεντῆσαι τὰς τῶν πρακτέων ἀρχάς. καὶ ὠσιώσατο μὲν ἐνταῦθα καὶ ὅρκους, καὶ αὐτοὺς οἵους καὶ ὅσους, ὧν εἷς καὶ ὁ ἐπὶ τοῦ μεγάλου πανσεβάστου βήματος τεθεμελιωμένος εἰς κρηπῖδα, ἣν οὐκ ἔστι κατασεῖσαι Χριστιανοῖς· εἰς αὐτὸ γὰρ ἦν συμπεπηγὼς τὸ αἷμα καὶ τὸ σῶμα τοῦ σωτῆρος Χριστοῦ, τὰ πᾶσι φρικτὰ καὶ πάντιμα. ἐδίδου δὲ ὑπονοεῖν ἀσφάλειαν πίστεως βασιλικῆς καὶ τὸ τῆς ταπεινότητος ψευδεπίγραφον· πεδοῖ γὰρ ἑαυτὸν ῥίψας ὁ Ἀνδρόνικος καὶ ἁπαλὸν βασιλικὸν πόδα χειρὶ ἄρας ἠρέμα τῷ σκληρῷ τραχήλῳ ἐπέθετο, φαντάζων ὡς οὕτως ὑπὸ πόδα τῷ βασιλεῖ ἀεὶ πατήσεται. καὶ οὐ μόνον, ἀλλὰ καὶ ἑλαφρίσας ἐπεκάθισεν ὤμῳ σφετέρῳ, πρὸς σύμβολον καὶ τοῦτο τοῦ εἰς κεφαλὴν αὐτὸν ἔχειν καθάπερ ὅσιον.

Ἦσαν ταῦτα. καὶ οἱ μὲν ἀγχινούστεροι καὶ οἷοι ἔχειν τὸ ἀληθῶς εὐεπήβολον ὤκνουν πρὸς τῷ ἀνδρὶ εἶναι, οὐ πάνυ πολλοὶ ἐκεῖνοι, εὖ ὀτιμάλιστα εἰδότες οἷος πέπλαστο· οἱ δὲ πλείους παρήγοντο τοῦ ἀληθοῦς, καὶ ἠνθισμένας τὰς ἐκείνου τρίβους ὁρῶντες τοὺς βοθύνους οὐχ ὑπεβλέποντο, ἀγαθοὶ καὶ οὗτοί γε ὄντες Χριστιανοί, καὶ λογισμῷ διοικούμενοι ὡς οὐκ ἄρα τοιούτους ὅρκους συγχέαι κατατολμήσει ἄνθρωπος γένους

dulenter imperium Alexii pueri, deiiceret de rerum fastigio matrem, exuto, quem commemoravimus, et primitiarum loco furiis dicato protosebasto. ac perseveravit in delineandis ita agendi principiis. iuravit quin etiam iuraiuranda, et qualia illa quantaque! e quibus unum in magno gradu venerabili tanquam fundamentum iactum est, quod concutere non licet Christianis. in eo enim abdita erant corpus et sanguis Christi salvatoris, cunctis horrenda et venerabilia. ac faciebat, ut sperares firmam imperatori fidem, ementiebaturque humilitatis signa. etenim humi prostratus tenerum pedem imperatoris leni manu sublatum asperae cervici suae imposuit, simulans ita se semper sub pedibus imperatoris fore. quid, quod sublevatum in humero sibi collocavit imperatorem, quod et ipsum documento esset, induxisse se in animum, quod fas esset.

Quae quum ita fierent, prudentiores et ii, qui haberent veram divinandi facultatem, dubitabant, non admodum multi illi, homini isti se adiungere, optime gnari, ex quo ille luto factus esset. plerique autem a vero aberrabant, et vias floridas dum vident, non suspicabantur fossas latentes, boni illi et ipsi Christiani, qui ita secum ra-

εὖ ἔχων, καὶ ὁρῶν τὰ τοῦ θεοῦ ἄλλως ἐπιρρεπῶς ἔχοντα πρὸς αὐτόν, καὶ πεπιστωμένος χρῆναι βασιλεῦσιν εἴκειν, οἷς ἡ φύσις ἀλυσιδώσασα τὴν βασιλείαν ἡρμόσατο καὶ τὸ τῆς ἀρχῆς μήρυγμα εὖ συνεκλώσατο.

Καὶ οὕτω μὲν οἱ ξύμπαντες· ὁ δὲ τὰ πρῶτα κολακείαν σκευωρήσας ὡς ὑπαγαγέσθαι τὸ πολιτικόν, καὶ ἀνύσας ὃ προύθετο, εἶτα καὶ ἀκκίζεσθαι προεβάλετο, οἷα ἐν τῷ προρρέειν ἐπὶ ἀγαθῷ τῆς πόλεως ἐπιτυγχάνων καταρράκταις, οἵπερ αὐτῷ ἀναχαιτίζουσι τὸ ῥεῦμα ὡς εἰς ἀνάρρουν τινά. διὸ καὶ ἀναχωρεῖν ἐθέλειν εἰς τὴν τῶν Παφλαγόνων αὖθις ἐσκήπτετο. τὰ δ' ἦν κότος κατὰ τῶν καὶ εὐγενῶν καὶ ἰσχυρῶν εἰς τὸ πᾶν, οὓς μελετῶν κενὰ ὑπώπτευεν ἐναντιωσομένους αὐτῷ. ἦν δὲ ἐν αὐτοῖς κορυφαῖον μέρος οἱ ὡς ἐρρέθη ἐπὶ γῆς ἄγγελοι, φῦλον ἐκεῖνο καὶ γένους ἔχον τὸ ὑπερέχον καὶ ἀνδρίας εὖ ἦκον καὶ πίστεως βασιλικῆς καὶ συνέσεως, καὶ ὁ μέγας δοὺξ ὁ Κοντοστέφανος, ἀνὴρ δραστικὸς καὶ φρενῶν γέμων, καὶ ἕτεροι μυρίοι ὅσοι. ἐλάνθανε δὲ ταῦτα τὸν ὄχλον, καὶ οὐκ ᾔδεσαν ὅτι κατὰ τοιούτων ἀνδρῶν μέμηνε. διὸ καὶ ἀξιοῦντα μεταπλέειν καὶ ὑποχωρεῖν ὅθεν ἦλθε, διὰ τὸ μηδὲν ἔχειν σπουδαῖον πράττειν τῇ ἐκ τῶν πολλῶν κωλύμῃ, ἐπεῖχον ἐγκείμενοι, προσκλαίοντες, ποτνιώμενοι, γουναζόμενοι πρὸς θεοῦ καὶ ψυχῆς καὶ τῶν φιλτάτων, καὶ ἐνδιδόντες ἐξεῖναι αὐτῷ κατὰ πάντων κρατεῖν, εἰς ὅπερ ἂν αἱροῖτο· μὴ γὰρ

tiocinarentur, talia sacramenta non ausurum violare honesti generis hominem, qui consilia divina omnino sibi favere videret et iureiurando sanxisset, imperatoribus obediendum esse, ad quos ex naturae et generis ordine imperium et filum regni pertineret.

Ita igitur civitas affecta erat. ille autem, adulatione prius usus, ut conciliaret sibi civitatem, et consecutus, quod sibi proposuerat, detrectare iam operam, coeperat, tanquam incideret scilicet, dum praenatat saluti rei publicae, in cataractas, quae in vorticem subverterent flumen. quare redire se in Paphlagoniam velle simulabat. nec deerat vehemens adversus nobiles et potentes odium, quos, dum vana molitur, adversaturos sibi suspicabatur. in quibus pars primaria erant angeli, ut dictum est, terrestres, gens et genere prae ceteris nobilis et virtute, fide erga imperatorem et prudentia insignis, et magnus dux Contostephanus, vir strenuus et intelligens, atque alii innumerabiles. latebat autem hoc multitudinem, nec noverant, talibus illum viris succensere. quare quum discessurum se et unde venisset rediturum esse iactaret, quod nihil posset strenue agere propter ea, quae plerique sibi crearent, impedimenta, plebs instare, precari, obsecrare, ob-

ἂν φασι διὰ τούσδε ἢ ἐκείνους τὸ πᾶν ἐξολέσθαι. ἀφίησιν οὖν ἐπὶ τούτοις ὁ Ἀνδρόνικος τὴν θρύψιν ἐκείνην, καὶ βαθμίδα ταύτην πρώτην ὑπαναβὰς τοῦ μέγιστα δύνασθαι διὰ τὴν δημοτικὴν ἰσχύν, οὕτω προσκολλωμένην αὐτῷ καὶ τὸ κατ' αὐτὸν ὀλίγον εἰς μυρίον ἐπαύξουσαν, βαθύνει σκέμμα λαβυρινθῶδες. καὶ τέως τρέπεται κατὰ τοῦ ἀρχιερέως, οὐ δεσμοῦ μόνον ἀλλὰ καὶ τοῦ μὴ εἶναι ὅλως ἀξιῶν ἐκεῖνον ὡς ἑαυτῷ δύσχρηστον, καὶ μάλισθ' ὅτι καὶ ᾔσθετο προορώμενον ἃ πράξει οὗτος εἰς τὸν βασιλέα κακά. ᾔσθετο δὲ τρόποις πολλοῖς, ὧν εἷς καὶ οὗτος διακεκήρυκται.

Ὠνείδισέ ποτε ὁ Ἀνδρόνικος τὸν ἐν ἁγίοις γέροντα, ὅτι βασιλεωπάτορα τόπον ἐπέχων οἷς ἐπιτροπεύει τοῦ βασιλεύοντος, οὐ συχνὰ παραβάλλει ἐπισκέπτεσθαι τὸν εἰς υἱὸν τεθειμένον, τοιοῦτον ὄντα. ὁ δ' ὑπειπὼν ἀρκεῖν εἰ διαλείπων βραχέα ἥκει πρὸς ἐπίσκεψιν τοῦ παιδὸς ἄνθρωπος τοσούτοις μεριζόμενος πράγμασι, καὶ οὕτως ἠπίως τῷ τοῦ Ἀνδρονίκου προσενεχθεὶς ὀνειδισμῷ, εἶτα καὶ καυτῆρα δριμὺν ἐπήγαγε, προσεπειπὼν ὡς ἄλλως τε καὶ ἐξεφρόντισα ἤδη τὸν βασιλέα ἐνδεδημηκότα σε ἐξευρών. εἶπεν ὁ γέρων, καὶ Ἀνδρόνικος (ἦν γὰρ ὀξύς, ὥσπερ στρεβλὰ εἰπεῖν, οὕτω καὶ ὑπονοῆσαι τὰ μὴ βαθέως ἐλικτά) πυνθάνεται τοῦ σοφοῦ γέροντος πῶς ποτὲ ἂν εἴποι δι' αὐτὸν ἐκπεφροντικέναι τὸν βασιλέα. καὶ ὁ μέ-

testari per deos et animam et amicissimum quidque, atque permittere, ut de omnibus illi potestas esset, quam vellet: nunquam enim, inquiunt, fiat, ut per hos vel illos cuncta pereant. abiicit ad haec Andronicus mollitiem illam, et gradum hunc primum ad summum imperium opera plebis ingressus, ita sibi adhaerentis et opes suas exiguas ingentem in modum augentis, latius struit consilii fallacias. itaque iam operam dat archiepiscopo, quod speraret illum haud plane sibi inutilem fore, et maxime, quod eum sentiret suspicari, quae adversus imperatorem moliretur mala. sentiebat id autem modis variis, e quibus unus hic vulgo notus est.

Exprobravit quondam seni venerabili Andronicus, quod quum patris locum teneret utpote tutor imperatoris, haud crebro viseret pro filio sibi commendatum tam parvum puerum. cui quum respondisset ille, satis esse, si intervallis non nimiis videret puerum vir tantis negotiis distractus, et ita comiter reiecisset exprobrationem Andronici, mox tamen aculeum addidit acutum, subiiciens, praesertim quum de imperatore nihil mihi dubium sit, ex quo te reducem urbs habet. his auditis, Andronicus (acer enim erat ut ad loquendum oblique, ita ad intelligenda non nimis occulte dicta) interrogat sapientem senem,

γας θατέρῳ σκέλει τοῦ σημαινομένου τῆς ἐκφροντίσεως ἐνερεισάμενος, φάναι εἶπε τὸν λόγον, καθότι σοῦ εἰς ἀστραβῆ κίονα ὑποστήσαντος ἑαυτόν, βαστάζειν τὰ ὑπὲρ τοῦ παιδός, αὐτὸς ἀπεφορτισάμην τὸ πολὺ τοῦ φροντίζειν, ἀναθέμενος ὡς ἰσχυρῷ σοι αὐτῷ τὰ βαρήματα. ἡσυχάζει ἐνταῦθα ὁ Ἀνδρόνικος, καὶ τὸν θυμὸν ὑπενδακὼν καὶ τοῦτο μόνον ἀκροβολισάμενος δίχα ῥοίζου λιγέος κατὰ τοῦ γέροντος, ὥς ἄρα βαθὺς Ἀρμένιος. καὶ παραμίξας τῇ βαρύτητι καὶ σαρκασμὸν τὸν ἄχρι καὶ μειδιάματος, ἀρχὴν ἐκεῖθεν ἔθετο τρανέστερον μελετᾶν. καὶ εἰς τοσοῦτον ἐξίκετο δραστηριότητος
277 ὡς μετὰ μικρὸν ἐπαναστῆσαι καὶ ἐπιστῆσαι τοὺς χύδην πικροὺς ἕως καὶ εἰς ἐσχάτην θρασύτητα, ὡς καὶ διαχρησθῆναι κίνδυνον γενέσθαι τὸν ἀρχιερέα μετὰ πολλὰς ὕβρεις, ὁποίας καὶ Ἰουδαῖοι ἐτοξάσαντο ἂν κατὰ θεοῦ. καὶ εἰ μὴ τεχνησάμενος ὁ γέρων ἑαυτῷ τὰ σωτήρια ἐκ μέσων κρυβδὶς ἀπεσύρη, ἀποδυσάμενος, ὡς ἐχρῆν, τὸ ἄρχειν, ἔπαθεν ἂν ὅπερ οὐκ ἦν αὐτῷ ἐθέλοντι.

Καὶ αὐτὸς μὲν οὕτω ξυνέστειλεν αὑτόν, ἀφεὶς καθ' ἑτέρων μεμηνέναι τὸν Ἀνδρόνικον. ὁ δ' ἐπεὶ οὐκέτι προβλῆτι σκοπέλῳ τινὶ ἀνεκρούετο, ἐξεκύμαινεν ὀλέθρια κατὰ πάντων, οὐχ ὥστε καὶ εἰπεῖν "ὅς τε αἴτιος ὅς τε καὶ οὐχί," ἀλλὰ κατὰ τῶν μηδὲν ὅλως αἰτίων, τὸ ἀδικώτατον· καὶ τήν τε τοῦ βασιλέως περιγράψας μητέρα ἐν τῷ σεμνείῳ τοῦ ἐν ἁγίοις

quo tandem sensu dicat, nihil sibi propter ipsum dubium esse de imperatore. atque ille, alteram significationem locutionis "dubium esse" praetendens, dixisse se illud ait, quod, postquam iste se tanquam firmam columnam obtulisset ad curam sustinendam pueri, ipse magnam eius curae partem deposuisset, idque illius humero onus imposuïsset. quiescit ad haec Andronicus, et premit pectore stomachum, perstringere conatus non magno strepitu senem, utpote subdolo ingenio Armenius. atque admixto superbiae ludibrio prope cum risu, apertius iam incepta moliri coeperat. itaque eo processit audaciae, ut brevi excitaret et provocaret cavillatorum vulgus ad extremam petulantiam, et archiepiscopo ne vis fieret periculum esset, post multas contumelias, quales Iudaei in deum fuderunt. ac nisi senex prudenter salutem quaesisset, clam se illis subtrahendo, et deposito, ut debebat, imperio, forsitan haud grata sibi passurus erat.

Itaque ille ita se continuit, Andronicum passus adversus alios furere. qui quum non iam retunderetur scopulo eminente, perniciem adversus omnes spirabat, non ita ut quaereret, quis sons esset, quis non esset, sed adversus prorsus insontes, summa iniuria; atque matrem imperatoris in templum sapientis, qui in sanctis est, medici Dio-

σοφοῦ ἰατῆρος Διομήδους, ἐπισχὼν οὐ πολὺν χρόνον ἀπῆγέ τε καὶ ἐβύθισεν, ὑπουργοῖς χρησάμενος ὧν ἐνίους ὁ καταβραβεύων αὐτοῦ θυμὸς οὐ πολλῷ ὕστερον εὖ ποιῶν ἐτίσατο, παιδεύοντος ἡμᾶς καὶ οὕτω τοῦ θεοῦ ὡς καὶ ὁ ἐπιτάσσων τὰ φαυλότατα καὶ ὁ ὑποτασσόμενος τοῦ προσώπου πειρῶντὰι τοῦ θεοῦ ὁποίου οἷδε Δαυΐδ.

Τοῦτό τε οὖν οὕτως ἐξήμαρτε, καὶ σύγκλητον δὲ θέμενος ἀνδρῶν λογάδων ἁπάντων τῶν τοῦ μεγίστου γένους, κατά τινα ἡμέραν ἣν καὶ ἐγγράψηταί τις ἂν εἰς ἀποφράδα δεινήν, συλλαμβάνει ἐκείνους ὡσεὶ καὶ ἰχθύας τινὰς ἐν ἀφύκτῳ πανάγρῳ, δίχα γε τῶν καλῶν Ἀγγέλων, οἳ καὶ οἷα πτερυξάμενοι ἐς φυγὴν ἐσκορπίσθησαν. καὶ διατίθεται πάντας ὡς οὐκ ἂν εὐλογήσοι τις, λαβὰς ἐπικαλῶν ἑκάστοις τὸ κατὰ βασιλέως ἐνδομυχεῖν, ἐκεῖνον (εὐστόχως εἰπεῖν) ἀλιτήριος. καὶ ὀλίγους μέν τινας ἐδικαίωσεν εἰς εἰρκτήν, ἦσαν δὲ οἳ καὶ ἐξ ὀμμάτων ἐγένοντο, πλείους γε οὗτοι. τινὰς δὲ καὶ ἐς ἀειφυγίαν ὑπερορίους ἔστειλε. μετὰ βραχὺ δὲ καὶ τοὺς καθειρχθέντας ὑποδιελὼν ἐμέρισεν εἵς τε τυφλοὺς ἐκ σιδήρου καὶ μὴ τοιούτους, ὡς ἄν, οἶμαι, βλέποντες αὐτοὶ τοὺς πεπηρωμένους ἀεὶ ζῶσιν ἔμφοβοι καὶ συνεπαύξωσιν οὕτω τὸ κακὸν τῆς καθείρξεως.

Οὐ πολὺν δὲ χρόνον μείνας ἐπιβαλεῖν ἐφίεται καὶ τῷ ὑπερανεστηκότι βαθμῷ, καταγνοὺς τῆς πρώτης ἐκείνης βαθμίδος ὡς ταπεινῆς. γογγυσμὸς τοίνυν αὖθις αὐτῷ τεχνᾶται,

14. ὁ ἐκείνου?

medis inclusam brevi post abduxit et submersit, satellitibus usus, quorum nonnullos exitiosum eius ingenium non multo post bene fecit quod puniret: quippe ducebat ita nos deus, ut et qui iuberet scelera et qui obediret numen experirentur divinum, quale David novit.

Quo patrato facinore, quum in senatum legisset summi generis viros omnes primarios, quodam die, quem in maxime nefastis quis numeret, comprehendit illos tanquam pisces uno reti omnes, praeter eximios Angelos, qui quasi alati fuga huc illuc discesserant. habet omnes eo modo, quem nemo laudaverit, crimini dans singulis, quod imperatori insidiarentur, quem violabat, ut leniter dicam, ipse. paucos aliquot ad vincula damnavit; sed fuerunt etiam, qui oculis privarentur, et hi quidem plures; nonnullos exilio perpetuo e patria exterminavit. mox etiam vinctos divisit ita, ut alios caecaret, alios non caecaret, quo, opinor, hi perpetuo, dum mutilatos illos vident, in metu viverent augerentque sibi vinculorum miseriam.

Haud diu erat, quum ad gradum escendere superiorem aggreditur, priorem illum humilem esse ratus. itaque fremitum rursus simulat et molestias praetendit et onus consiliorum non iam ferendum,

καὶ βαρύτης προβάλλεται καὶ φόρτος φροντίδων οὐ φορητός, καὶ ὡς οὐκ ἂν εἴη αὐτῷ στερκτέα εἰ οὕτω πάσχειν κινδυνεύει τρόποις πολλοῖς. ἔπασχε δὲ ἄρα οὐδέν, ἀλλ' ἐνδόμυχος ἦν πολλοὺς αὐτὸς ὑποβαλεῖν καὶ εἰςαῦθις ἀτλήτοις παθήμασιν. ὡς δὲ ἐπέμενε μακρὰ γογγύζων καὶ κατὰ σχῆμα δυσανασχετῶν, καὶ τῇ μὲν ψυχῇ νεμόμενος βασιλικῶς τὴν μεγαλόπολιν, τῇ δὲ γλώσσῃ τὴν Παφλαγονίαν προφέρων καὶ ἅπερ αὐτὸς ἐρρητόρευεν ἐκεῖσε καλά, ὧν δῆθεν Κωνσταντινούπολις ἐστέρετο, καὶ θησαυροὺς ἐκόμπαζεν ἐκεῖ πεφυλαγμένους αὐτῷ, Φανίου δή τινα θύραν, καὶ αὐτὸς ταύτην ἀναπλαττόμενος τοῖς ἀγνοοῦσιν οἷα τύχη αὐτὸν τὰ πρὸ τούτων ἤλαυνε, καὶ ἦσαν τὰ τοιαῦτα προβλήματα φωνασκούμενα τῷ ἀνδρὶ ἐν συχνοῖς ὄχλοις καὶ συνεχῶς, καί ποτε καὶ παρά τισι τῶν θερμοτέρων ἐν τῷ κοινῷ, καὶ οὓς οὐδέν τι ἐκφοβεῖ διὰ τὸ μὴ ἔχειν πρᾶγμα καθ' ὃ δεδίξονται, καὶ ἤρεσε τοῖς τοιούτοις ἀναβοῆσαι ὡς, εἰ μὴ καλά σοι τὰ ἐνταῦθα, οὐδ' ἔστι προσμένειν ἐπ' ἀγαθῷ τῆς μεγαλοπόλεως, τίς ἂν εἴη ὁ προσίστασθαι φρονῶν σωτηρίᾳ τοιούτου ἀνδρός; καὶ ὅτι ἡ ὁδηγήτρια ἡ πολιοῦχος ἡμῶν ἀρκέσει αὐτὴ ἀντὶ πάντων καταπράξεσθαι τὰ ἡμῖν σύμφορα, — ὡς τοίνυν, ἐφ' οἷς παίζων ἐλάλει, οὕτως ἐμπεφορβίωτο, σιγᾷ εὐθύς, τὴν ὑποκριτικὴν σκηνὴν καθελὼν καὶ μηδέν τι πλέον εἰπεῖν προσθέμενος. καὶ γοῦν τὴν μηχανὴν ταύτην εἰς κενὸν ἰδὼν σχάσασαν, καί που καὶ αὖ-

1. φόρτος φορτίδων T

nec sibi gratum esse, si ita sibi patiendum sit multis modis. verum nihil ille patiebatur, sed meditabatur denuo multos intolerabili afficere miseria. itaque quum ita perpetuo fremeret et parum se rebus contentum esse simularet, et animo sibi placeret in regia urbis administratione, verbis autem Paphlagoniam praeferret et quae illic sibi bona esse praedicabat, quibus scilicet careret Cpolis, iactaretque thesauros ibi sibi asservatos, Phaniae videlicet quandam ianuam, a se ipso confictam, si qui nescirent, quae illum fortuna ante egisset: talia igitur quum in ore semper haberet in coetu quocunque, accidit id quondam coram quibusdam fervidioris in civitate ingenii, qui nulla re terrerentur, propterea quod non habebant, cur sibi timerent, ac placuit his vociferari, si displicerent, quae fierent, non esse, cur maneret bono civitatis: quis enim, aiunt, obstare velit talis hominis saluti! erit dux nostra praeses urbis, instar omnium ad perficienda, quae nobis salubria sunt. quum igitur ab iis, quibus illudere conatus erat, ita refutatus esset, conticuit statim, scena praestigiarum prostrata, nec verbum insuper addidit. eam igitur fraudem quum irritam videret, et ipse proverbio dixisset, ille funiculus nihil piscium attraxit, et

τὸς παροιμιωδῶς εἰπὼν ὡς αὕτη μὲν ἡ μήρινθος ἡμῖν οὐδὲν ἔσπασε, καὶ τὸν ἀκκισμὸν τοῦ ἐθέλειν ἀπελθεῖν γνωματεύσας οὐκ ἀγαθὸν εἶναι, οἷα τοῦ σχηματισμοῦ καὶ τοῦ χρώματος ἀναποιοῦντος ἅπερ κατὰ τῆς βασιλείας ἐβουλεύσατο, καὶ ἀποτελοῦντος αὐτὸν ἀντὶ ἄρχοντος ὕπαρχον, ἑτέρας γίνεται σοφωτέρας περιεργίας. ἡ δὲ ἦν μηκέτι ἀμέσως τοὺς ὀχλικοὺς καὶ ξύγκλυδας εἰς ὁμιλίαν ἀξιοῦν ἥκειν αὐτῷ, ἀλλὰ τοὺς ἐν αὐτοῖς προύχοντας καὶ οἵους ἔχειν περιάγειν τοὺς πλείονας καὶ κεφαλαρχεῖν ὥς ἐν οὐραῖς. ἀλιτήριοι ἄνθρωποι ἐκεῖνοι, φιλοστασιασταί, ὀχλοκόποι, βασιλεῖς οἷον ἕκαστος περὶ τοὺς ὁμοήθεις. φιλοῦμεν γὰρ οἱ ἐλαφρότεροι εὐκόλως ἕπεσθαι κελεύουσι τοῖς πρὸς ἃ πεφύκαμεν ὁδηγοῦσι· πεφύκαμεν δὲ οἱ πολλοὶ πρὸς τὸ φιλόκαινον, ἐπιθυμηταὶ ὄντες καινῶν ξυμβαμάτων, καὶ τὸν χρόνον ἀπαιτοῦντες ἐγκαινίζειν ἡμῖν ἄλλο τε ἄλλα ξενίζοντα.

Οἱ τοίνυν τῶν τοῦ δήμου τὰ πρῶτα φέροντες καὶ ἀνεγείρειν τοὺς λοιποὺς ἔχοντες, προβληματισθέντες οἷον ὑπο τοῦ Ἀνδρονίκου τὸ βουλητέον ἐκείνῳ, εἶτα τόπους αὐτοὶ ἐξεύρισκον κατὰ τοὺς δεινοὺς τοιαῦτα σοφίζεσθαι, δι' ὧν ἐπιχειρήσαντες συμπεραινοῦσι τὸ ἔκτοπον καὶ (ὀκνητέον δὲ εἰπεῖν) καὶ ἄτοπον· καὶ μυστηριασθέντες τὸ μὴ ὅσιον ἐτελοῦντο πρὸς ἐκεῖνο, καὶ ἐδᾳδούχουν εἰς ἐμφανὲς τὰ σκότους ἄξια, καὶ ἀναπείσαντες τοὺς ὄχλους μὴ ἂν ἐκφυγεῖν τὴν πόλιν τὸ

affectatam redeundi cupiditatem haud utilem esse intellexisset, quoniam artes illae fucusque ipsi afferebant, quod adversus imperium moliebatur, faciebantque eum pro imperatore ministrum, aliud prudentius artificium meditatur. erat id, ut iam non ipsos continuo de plebe et sentina homines in consuetudinem suam admitteret, sed primores eorum et qui reliquos tanquam agminis extremi milites regere et ducere possent. nequam illi homines erant, seditiosi, aurae popularis captatores, quasi reges quisque inter eiusdem farinae reliquos. solemus enim leviores facile sequi hortantes eos, qui praeeunt ad ea, ad quae inclinamus natura; inclinamus autem plerique ad rerum novarum studium, cupientes, ut quid novi fiat, expetentesque, ut alia alio tempore dies ferat.

Plebis primores igitur et ii, qui reliquos excitare possent, agere aggressi, quod Andronico placeret, vias deinde facile ipsi inveniebant, quibus plebem ad ea pellicerent, quibus perficerent rem inauditam eheu! et incredibilem. edocti igitur quod nefas esset, initiatique istis mysteriis, facibus illustrabant, quod tenebris obruendum erat, ac dictitantes coram plebeiis, non posse urbem evitare interi-

ἀπολεῖσθαι, εἰ μὴ τῷ μικρῷ καὶ ἀγυμνάστῳ Ἀλεξίῳ τὰ εἰς
278 βασιλείαν τὸν Ἀνδρόνικον συνδυάσουσιν, εὖ μάλα δεδασμέ-
νον καὶ τὰ εἰς τοιαύτας τέχνας, οἷόν τε ὄντα συνδιαφέρειν
ἐκείνῳ τὸν βασίλειον ζυγόν, οὐχ ὥστε μὴν καὶ καταρριπτεῖν,
ἀλλὰ καὶ μάλιστα ὑπανέχειν καὶ τὴν ἐκείνου μεγαλύνειν σμι-
κρότητα κοινωνίᾳ μὲν ἀξίας μιᾶς, ὑπεροχῇ δὲ κόπων καὶ πό-
νων, οἷς ὁ Ἀνδρόνικος εἴθιστο ἄδδην, πολυπλάνοις πλάναις
κατὰ τὸν εἰπόντα γεγυμνασμένος, ἤγειραν οὐκ ὀλίγους ἀνα-
πεισθῆναι ὀρθῶς ἀκούειν καὶ διαθερμανθῆναι εἰς ἔξάνυσιν
τοῦ συνάρχειν βασιλικῶς τόν τε Ἀλέξιον τόν τε Ἀνδρόνικον.
καὶ τὴν ἀρχὴν μὲν ὑπεψιθυρίζετο ἠρέμα τὸ σόφισμα, μετὰ
δὲ ἐλαλεῖτο, μικρὸν δὲ ὅσον καὶ ἐξεβοᾶτο τρανέστερον. καὶ
ἔδει λοιπὸν ἐμφανῶς προκληθῆναι εἰς τὴν ἀρχὴν τὸν Ἀνδρό-
νικον, καὶ εἰ μὴ πείθοιτο, ἀλλὰ τότε δυσωπηθῆναι· εἰ δὲ
μηδὲ οὕτω κατακλίνοιτο ἀτενῶς ἔχων, πειραθῆναι καὶ βίας,
καὶ κάλλιόν φασιν ὃν παθεῖν ἐκεῖνον ὃ μὴ βούλεται, τὸ βα-
σιλεῦσαι δηλαδή, ἥπερ ἐξολέσθαι τὰ κοσμικά. καὶ ἑταιρί-
ζονται μὲν εἰς τοῦτο πολλοὶ τῶν τοῦ λαοῦ, συνεπιρρέει δὲ
τῷ κλύδωνι τούτῳ καὶ ἀπόρροιά τις τῶν τῆς συγκλήτου, οὐ
πολλὴ μέν, ἐπίρρητος δὲ καὶ τοῦτό γε ἡμῖν ἀπόρρητος. οὐ
γὰρ ἁπλῶς ἀφωσιοῦτο αὕτη τὴν κατὰ τοῦ βασιλέως Ἀλεξίου
νεωτέρισιν κατὰ χάριν Ἀνδρονίκου, ἀλλ' ὡσεί καὶ μεμηνυῖα
βυσσόθεν ἐκυκᾶτο καὶ τὸν Ἀνδρόνικον συνεξέμαινε.

tum, nisi parvo et imperito Alexio imperii socium adderent Andronicum, virum earum artium scientissimum, et idoneum ferendo cum illo iugo imperii, non ita, ut deiiceret id onus, sed sustineret praeclare, et auctoritatem adderet illius exiguitati tum eiusdem communione dignitatis, tum defensione aerumnarum et laborum, quibus ad satietatem assuetus esset, vagis iactatus, ut ille ait, erroribus: talia igitur dictitando excitarunt haud paucos, ut non gravate illud audirent arderentque cupiditate partiendi inter Andronicum et Alexium imperii. atque initio quidem susurrabant leniter fraudem, deinde sermonibus agitabant, mox aperte clamitabant. debebat iam palam ad imperium vocari Andronicus, et, si non obsequeretur, tum vero precibus urgeri; si ne sic quidem moveretur, sed resisteret pertinacius, vi compelli: quippe praestare aiunt, pati illum, quod nollet, imperium scilicet, quam perire mundum. sociantur ad haec multi de plebe, sed abripitur eo flumine etiam senatorum pars, non magna quidem illa, sed, taedet dicere, infamis. neque enim detestati sunt suscepta adversus imperatorem Alexium in Andronici gratiam consilia, sed etiam quasi furore intus acti aestuabant et in furorem adigebant Andronicum.

Καὶ ἔσονται ἀοίδιμοι ἐν τούτοις οἱ τῆς ἡμέρας ἐκεῖνοι πιστοί, Κωνσταντῖνος ὁ Πατρηνός, τὸ τῆς κολακείας ἠκριβωμένον ἀφίδρυμα, καὶ ὁ ἁπλούχειρ Μιχαήλ, ἀνὴρ γλοιὸς μὲν πολιτεύσασθαι στρυφνὸς δὲ πονηρεύσασθαι. ἦν δὲ καί τις ἀνὴρ λάμπων ἐν τοῖς τοιούτοις ὡσεί που καὶ φρυκτὸς ὀλέθριος, μέσος ἦν ὅτε τὴν τύχην, πατρὸς ἐκφὺς δεξιοῦ λογίζεσθαι τὰ δημόσια καὶ ἐμβαθύνειν κλέμμασιν· Στέφανος μὲν τὸ κύριον, τὸ δὲ ἐπ' αὐτῷ Ἁγιοχριστοφορίτης· ὃς μεταθέμενος ἐξ ὧν ὁ κατὰ θεὸν διάκειται, Ἀντιχριστοφορίτης παρωνυμεῖτο τοῖς ὀρθὰ νοοῦσι. τοῦτον ὁ μὲν φθάσας χρόνος παρεσημήνατο εἰς ἀνδριάντα φαυλότητος. κηδεύσας γὰρ οὐ καθ' ἑαυτόν, ἀλλὰ πανουργευσάμενος ὑπὲρ ἀξίαν γάμον εὐγενῆ, δέδωκε τιμωρίαν οὐκ ἀγεννῆ· τὰς ῥῖνάς τε γὰρ ἀπεσχίσθη ἅτε μὴ καλῶς φριμαξάμενος καθ' ἧς οὐκ ἐπρεπε, καὶ τῶν αὐτοῦ νώτων σωφρονιστῆρες ἱμάντες κατεχόρευσαν. καὶ ὅμως ἰταμὸς ὢν καὶ τὴν αἰσχύνην ἀπὸ προσώπου θέμενος οὐκ ἀπήγαγεν ἑαυτὸν τοῦ προφαίνεσθαι, μὴ καὶ γελῷτο, ἀλλ' οἷα μηδέν τι κακὸν δεδρακὼς περιήρχετο ἔνθα καὶ πρῴην, φιλενδεικτῶν τὸ θράσος καὶ ἐπιδεικνύμενος τὸ μὴ αἰδεῖσθαι, καὶ οὕτω βιαζόμενος τὸ μηδέν τι φαῦλον ἢ ποιῆσαι ἢ παθεῖν. ὡς δὲ περιεωρᾶτο πρὸς πάντων, καὶ τοῦ γάμου τε τοῦ ὑψηλοῦ ἦν ἔκπτωτος καὶ οὐδέ τινα εἶχεν ἄλλην ἀνάβασιν, ἀλλ' ἐν κενοῖς τὰς βασιλείους θύρας ἐξέτριβε, λαγχάνει ποτὲ

Atque laudibus in his ferentur fideles isti, Constantinus Patrensis, adulationis effigies absolutissima, et simplicis manus ille Michael, vir blandus in negotiis, asper in nequitiis. erat etiam vir inter illos illustris tanquam taeda lucida, mediocri quondam fortuna, patre natus dextro ad pecuniam publicam inferendam rationibus, auferendam ex aerariis, Stephanus nomine, cognomine Hagiochristophorita, qui, quoniam abiecerat, secundum quae vivunt, qui pie vivunt, Antichristophorita cognominabatur ab iis, qui recte sentirent. hunc priora tempora ut statuam nequitiae notaverant. etenim uxore quaesita non pro conditione sua, sed supra ipsius dignitatem nobili, poenas haud ignobiles dedit. namque naribus privatus est, quod adhinnisset haud honeste, cui non debuerat, et in tergum eius flagella insiluerunt castigantia. verum qua erat procacia, omni pudore deposita, haud abstinebat, ne risui esset, quominus in publicum prodiret, sed tanquam nihil commisisset, circumibat ubi ante solitus fuerat, ostentans audaciam et impudentiam, atque ita speciem affectans, ac si nihil turpe aut fecisset aut passus esset. itaque quum ab omnibus contemneretur et matrimonio illo sublimi excidisset nec alium videret ascensum, sed imperatorias frustra fati-

προηκάμενος ἔπος ἄλλως μὲν σφαλερόν, ἑαυτῷ δὲ ἀναστάσιμον. ὡς γὰρ ὁ Μαυροζώμης Θεόδωρος ὁ ἐκ Πελοποννήσου, ἄνθρωπος πολυμεμφὴς ἐφ' οἷς ὑπὲρ τὸ δέον ἔδρα, μετὰ θάνατον τοῦ Ἁγιοθεοδωρίτου Μιχαὴλ τοῦ ἐν ὑπογραφεῦσι βασιλικοῖς μεγάλου, ἔγγιστα τῷ βασιλεῖ γεγονὼς ὑπερεφαίνετο, οἱ μὲν ἄλλοι ἐχεφρονοῦντες ἔπεττον εἴ τί που χόλου καὶ εἶχον ἐφ' οἷς μὴ ἀνέβαινον, ὁ δὲ πρὸ τῆς βασιλείου σκηνῆς καθήμενος ἐξεβόησεν εἰς πολλῶν ἀκοὰς λόγῳ σχετλιασμοῦ ἄδικα πάσχειν, εἴπερ ὁ δεῖνα μὲν καὶ ὁ δεῖνα, οὐκ εἰς τοσοῦτον κακοὶ πεφηνότες, εἶτα ὑψοῦνται, αὐτὸς δὲ φαυλεπίφαυλος ὤν, καὶ ὡς ἄν τις κωμικευόμενος εἴποι, μιαρὸς καὶ παμμίαρος καὶ μιαρώτατος, καὶ ἄνθος κακίας καὶ πονηρίας ἄβυσσος, καὶ οἷος διορᾶσθαι ὅσα καὶ δαίμων, ἀφίεται ζῆν εἰκῇ, καὶ οὐκ εἰς μέσον παράγεται, τὰ οἰκεῖα ἐπιδειξόμενος καὶ ἀρέσων εἰς πλουτοποιίαν. ἐπῆγε δὲ ἑαυτῷ καὶ ὅρκον μέγιστον, μὴ ἂν εὑρήσεσθαι τὸν ἐπὶ κακίᾳ ἴσον. ἔφη ταῦτα στηλογραφῶν ἑαυτὸν καὶ περιαυτολογῶν ὡς αὐτῷ ἔπρεπε, καὶ ἐπὶ πᾶσιν ἐστέναξεν ὡς βαρυπενθῶν, καὶ ἐξεπυρώθη χόλῳ τὸ πρόσωπον. καὶ οἱ μὲν ἄλλοι ἐταράχθησαν πρὸς τὸν λόγον καὶ ἐκαραδόκουν κακά, λογιζόμενοι ὡς οὐ μόνον αὐτὸς δεινὰ πείσεται αὐτίκα, τῆς βοῆς ἐντὸς ἀκουσθείσης καὶ εἰς ὕβριν τῷ βασιλεῖ λογισθείσης, ἀλλὰ καὶ αὐτοὶ πρὸς μέμψεως ἔσονται, ὅτι μὴ θυμὸν κατὰ τοιούτου ἀνδρὸς ἀνέλαβον. καὶ αὐτοὶ

garet fores, accidit quondam ut vocem per se levem, sed sibi utilem emitteret. nam quum Theodorus Maurozomas, ex Peloponneso oriundus, homo multum obiurgatus propter ea, quae praeter ius fasque fecerat, post Michaelis Hagiotheodoritae, qui erat primus ab epistolis imperatori, mortem eximie ab imperatore provectus esset, ceteri prudentes viri, nonnihil etiam invidia forsitan moti, stomachabantur, quod non et ipsi proveherentur, ille autem, pro foribus tentorii imperatorii assidens, clare, ut a multis audiretur, quasi indignabundus exclamavit, iniuste secum agi, quod, quum hic atque ille, se minus scelerati, iuvarentur, ipse, omnium sceleratissimus et, ut comicus dicturus esset, foedus et stercore foedior et foedissimus, ac flos nequitiae et vorago pravitatis, et qui perspiceret, quae vix perspiceret daemon, neglectus esset nec in medium produceretur ad ostendendas virtutes suas et explendam habendi cupiditatem. sacramento deinde diro se obstrinxit, si quisquam sibi par ad pravitatem reperiretur. quae quum dixit, suam sibi quasi statuam inscripsit et se notavit, ut decebat, singulis verbis ingemiscens, quasi miserrimus homo esset, et ira rubente facie. ad eam orationem ceteri animis turbabantur exspectabantque mala, veriti,

μὲν οὕτως· τοῦ δὲ καθ' ἡμᾶς βίου τὸ χρεὼν οἷς ἡμάρτομεν τότε μὲν ἀθῶον ἀφῆκε μεῖναι τὸν ἄνδρα, μέγα καὶ τοῦτο δοκοῦν εἶναι· οὐ μακρὸς δὲ διέσχε χρόνος, καὶ ἤρξατο παρυψοῦσθαι ὁ ἄνθρωπος, καὶ κηρύξας ἑαυτὸν πονηρότατον εὖρηκεν ἐπὶ πείρᾳ γέρας ὅμοιον, ὡς εἰ καὶ δεινός τις κλέπτειν εἶναι ἀνακηρύξας προσληφθείη ποθέν. καὶ ἐκεῖθεν ἀρξάμενος τοῦ κατὰ βίου ὕψους γίνεται ἐπὶ τοῦ στρατοῦ, καὶ εὑρεθεὶς ἐπὶ τοῦ Ἀνδρονίκου τοιοῦτος προσλαμβάνεται. καὶ ἡ καθ' ἡμῶν πτερωθεῖσα συμφορὰ αἴρει αὐτὸν ἐπὶ πλέον ὕψους, καὶ εἰς ψυχὴν ἐντήκει φιλίως τῷ Ἀνδρονίκῳ, ἵνα πάγχυ κακὸς κακὸν ἡγηλάζῃ, καὶ μὴ τὰ καλὰ τοῖς κακοῖς συμφύρηται, καὶ ὁ ὅμοιος εἰς τὸν ὅμοιον ἄγηται. καὶ οὕτω φρονηματισθεὶς εἰς πλέον, καὶ οὐκ ἀνασχόμενος εἰ καιρὸν ἄρτι ἐξευρὼν οὐ πτερύξεται, καθά τι δαιμόνιον πρόσωπον, πειρᾶται ὑπερπαίειν αὐτὸς εἰς τὸ κακὸν πάντας τε τοὺς ὡς ἐρρέθη τοῦ δήμου προάγοντας καὶ δὴ καὶ ἑαυτόν. καὶ συλλα- 278
βόμενος ὅσοι τῆς καλῆς συγκλήτου βουλῆς παραπτυσθέντες ἐξεβράσθησαν κατ' αὐτόν, κύμασιν ἐλαυνόμενοι ἃ πνεῦμα πονηρὸν ἤγειρεν (ἦν γὰρ καί τις δαιμονοφόρητος λέσχη σύγκλητος, ὡς προέκκειται, εὐφυῶς ἔχουσα κατ' ἐκεῖνον ἀλλοφρονεῖν), οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς φαύλας κεφαλὰς τοῦ δήμου, πρὸς δὲ καὶ τὸν τηνικαῦτα πατριαρχοῦντα, τὸν καμα-

7. βίον?

ne non solum ipse illico poenas daret, voce eius intus audita et pro contumelia imperatoris habita, sed etiam reprehenderentur et ipsi, quod iram in istum hominem non evomuissent. atque haec quidem illi. enimvero debita pro iis, quae commisimus, huic vitae poena haud attigit tum istum hominem: quod per se iam satis magnum fuit: sed non multum temporis interfuit, quum ille provehi coepisset, et, pessimum se esse fassus, experimenti causa simile munus nanciscerétur, ac si quis eximium ad furandum se professus recipiatur alicunde in auxilium. hinc igitur exorsus vitae curriculum magnificentius, exercitui praefectus est: atque talis inventus ab Andronico assumitur; evehitque illum immissa nobis miseria ad maiorem semper altitudinem, eumque insinuat in animum et amicitiam Andronici, ut malum prorsus malus duceret, neve cum malis boni confunderentur, sed par parem comitaretur. atque ita ad maiora ille adspirans nec iam sustinens, nisi occasionem modo nactus evolaret tanquam numen divinum, nequitia omnes, de quibus monitum est, duces plebis et se ipsum superare conatur. assumsit igitur, quotquot e summo ordine senatorio resputi et ad eum electi erant, undis iactati, quas malus excitaverat spiritus (erat quippe etiam a daemone quodam agitata

τηρὸν Βασίλειον, ἄνδρα θερμὸν καὶ οἷον καθομιλεῖν τοὺς καιροὺς ὡς τὸ παρ' αὐτῷ βουλόμενον ἔκρινεν, ὃς σοῦ μεγάλου Θεοδοσίου τῆς φίλης καθαρειότητος γενομένου ἀντεισῆκται, ὃν ὁ Ἀνδρόνικος ἤθελε καὶ (ἀνακάμψαι τὴν φράσιν) ὃς τὸν Ἀνδρόνικον ἤθελεν, ἓν μένος οὗτοι πνέοντες καὶ οἷον δι' ἀλλήλων ἥκοντες κατά τινα σύντηξιν ἤθους, καὶ ταυτιζόμενοι ταῖς ὧν ἔπραττον αἱρέσεσιν, — οὕτω δὴ οὖν προσειληφὼς καὶ τοῦτον ὁ τῶν φυλῶν ῥινηλάτης λογοθέτες (τοῦτό τε γὰρ ἐτιμήθη καὶ τὸ σεβαστὸς κληθῆναι, οὐ δήπου καὶ ὧν τοιοῦτος πρὸς πρᾶγμα), ἥκουσι παρὰ τὸν Ἀνδρόνικον τὴν τυραννίδα χοροβατήσαντες, δεινὰ ποιεῖν ἐκεῖνον λογοποιοῦντες κοινῇ ὡς ἐν ἐπικλήματος λόγῳ, εἰ τοὺς αὐτῷ πιστευθέντας παρὰ θεοῦ περιόψεται ὀλομένους, καὶ οὐ μόνον πόλιν ταύτην μεγίστην, ἀλλὰ καὶ ὅσων μερῶν αὐτὴ ἔχεται πρός τε ἥλιον ἀνίσχοντα καὶ πρὸς δυσμὰς καὶ ὅσα λοιπά. καὶ ἐσέμνυνον μὲν τὸν μικρὸν βασιλέα κατά γε τὸ φύσει καλόν, πρὸς δέ γε τὸ παρὸν οὐδὲν ἱερὸν αὐτὸν ἔφασκον εἶναι, καὶ ἀπεδοκίμαζον μονούμενον, καὶ προέπιπτον αὐτῷ τῶν ποδῶν οἱ τὴν κολακείαν περιττότεροι πεισθῆναι εἰς βασιλείαν καὶ τῶν αὐτῆς ἡνίων συνεπιδράξασθαι, μὴ καὶ κατὰ μῦθον ὁ νεανίας οὗτος Φαέθων, ἀτέχνως τὸ ἅρμα τῆς ἀρχῆς χειριζόμενος, κακῶς τὸ πᾶν διαθήσεται. ὅτε δὲ καὶ τῶν ποδῶν ἀπαλλαγεῖεν τοῦ Ἀν-

factio senatus, ut diximus, eximie parata ad illius furorem), et vero perdita plebis capita, praeterea qui tum patriarcha erat, nequam Basilium, fervidi ingenii virum et factum ad regenda tempora, sicut ipsi placeret, qui in locum magni Theodosii in beatam coeli puritatem recepti promotus erat, expetitus ab Andronico, et ipse invicem Andronicum expetens, unam illi animam spirantes et quasi conflati ingenii quadam similitudine, et consiliorum communione concordes, — assumsit igitur hunc quoque perditorum hominum indagator logotheta (eo enim honore ornatus erat et sebasti nomine, minime eo dignus nomine), adeuntque cuncti Andronicum, imperium quasi choro ducentes, iniurias scilicet minaturi et exprobraturi, si commissos sibi a deo homines perire pateretur, non solum maximam hanc civitatem, sed etiam quae cum ea coniunctae essent regiones ad orientem et occasum, ac reliqua omnia. ac venerabantur quidem imperatorem puerum pro dignitate generis, sed ad praesens tempus nihil eum sacrosanctum esse dicebant, reiiciebantque eum, si ita solus relinqueretur, et procumbebant ad Andronici pedes adulationis periti rogantesque, ut una cum illo regnum susciperet et habenas capesseret imperii, ne adolescens iste Phaethon, ut in fabula est, currum imperii regere conatus, misere omnia everteret. deinde autem quum a pedibus

δρονίκου ὀρθούμενοι, αἱ χεῖρες αὐτοῖς ὡς εἰς θεὸν ἀγετείνοντο καὶ ἐθεοκλύτουν ἐπὶ τοῖς αὐτοῖς. ὁ δὲ κατορθούμενον ἤδη βλέπων τὸ ἐφετόν, ἔνδον μὲν οἷα ἔπασχεν ἄν, καὶ ὡς ἔχαιρεν ἀμύθητα, τίς οὐκ ἂν τεκμήραιτο; τὰ μέντοι ἐκτὸς ἄλλως ἔχρωζεν ἑαυτόν, καὶ ἐδόκει μὴ ἂν φέρειν μηδὲ ζῆν, εἰ τοιαῦτα ἀκούοι καὶ ὡς εἰς ἀπιστίαν γυμνάζοιτο. καὶ τίς ἐγώ, ἔλεγε, καὶ πῶς ἂν δυναίμην; καὶ ὡς φευξοῦμαι, καὶ ὡς μεταστήσω τοῦ βιοῦν ἐμαυτόν, εἰ μὴ ἀφίεμαι. καὶ ἐρράπιζεν ἑαυτὸν καὶ ταῖς θριξὶν ἐνύβριζε καὶ πολλαχοῦ εἰλεῖτο, δοκῶν μὲν ἐθέλειν διέκδυσιν ὡς εἰς φυγήν, διδοὺς δὲ ἄλλως τόπον χαρᾷ καὶ γέλωτι λεληθότως ἐν τῷ στρέφειν ὧδε καὶ ἐκεῖ τὸ πρόσωπον, ὁποῖος ἐκεῖνος, τὸ περιπόνηρον.

Ὡς δὲ τὴν σκηνὴν ταύτην συμπήξεσθαι τεχνασάμενος ἀσφαλέστερον προσεποιήσατο πλασάμενος καὶ τοῦ ὑπερῴου γενέσθαι, εἴ πως οὕτω φαντάσει τοὺς πολλούς, ὡς ὑπερθέμενος τὴν ἐνεστηκυῖαν ὥραν φευξεῖται μετ' αὐτὴν καὶ ἀπαλλαγήσεται τοῦ ὀχλοκοπεῖσθαι, οἱ κόλακες ἐντεινάμενοι τὴν ἁρμονίαν τοῦ λήρου εἰς ὅσον πλέον οὐκ ἦν, φωνάς τε ἦραν καὶ φυλακὰς ἐπέταττον καὶ συντηρήσεις τῶν ἐκεῖ διεξόδων, καὶ διηποροῦντο τί ἂν καὶ γένοιτο. καὶ ὁ πατριάρχης ἐπιλυόμενος αὐτοῖς τὸ ἄπορον, ὡς ἡμεῖς καὶ τότε μανθάνοντες ἐγελῶμεν καὶ νῦν δὲ ἔτι γελῶμεν, παρῳδοῦντες ἕκαστος ἑαυ-

Andronici assurrexissent, manus tanquam ad deum protendebant, opemque implorabant pari consilio. ille vero quum iam adesse sibi, quod petebat, videret, intus quae senserit et quantopere gavisus sit, quis non suspicetur? speciem tamen diversam induebat, videbaturque ipsam adeo vitam aegre ferre, si talia audiret et incredibili scilicet modo exerceretur: quis ego, inquiebat, et quomodo istud possim! fugere malim et vitam deponere, nisi dimittar. ac plangebatur et crines scindebat et varie se iactabat, fugam se quaerere simulans, sed gaudio intus et laetitia exsultans, dum huc illuc, qua erat versutia, oculos vertit execrandos.

Quum autem, tabernaculum illud quo firmius constitueret, in superiorem aedium partem se evadere simulasset, si forte ita falleret plebem, acsi praestolatus, dum effluxisset, quae instabat, hora, deinde effugere vellet vexationes plebis, adulatores vehementiore vociferationis concentu, ut nihil posset supra, vires intendebant, vigilias custodesque disponebant in aedium portis, atque solliciti scilicet exspectabant, quid futurum esset. qua illos difficultate patriarcha exsolvit, ut res et tunc nobis audita risui fuerit et risui sit hodie, dum omnes sibi accinunt ridiculi "lude, lude in miseria." quippe se ipsum dixit compedes manicasque et collare et alia id genus pa-

τῷ κωμικώτερον τὸ "παῖζε παῖζ' ἐπὶ συμφοραῖς," αὐτὸς ἔφη καὶ ποδοκάκην καὶ χειροπέδας καὶ κλοιὸν περιτραχήλιον καὶ ὅσα τοιάδε μηχανήσασθαι τῷ Κομνηνῷ, δι' ὧν κατέχοιτο ἄν. εἶπεν ἐκεῖνος ταῦτα, καὶ οἱ πολλοὶ ἀφεώρων πρὸς ἐπίνοιάν τινος χαλκεύματος καὶ "πῶς ἔσται ταῦτα;" ἔλεγον. ὁ δ' εὐθὺς πλαγιάσας τὸ τῆς κεφαλῆς κάλυμμα, καὶ τὴν δεξιὰν εὐθετίσας εἰς ἀέριον σταυρικὸν χάραγμα, κατακροτεῖ δεσμοὺς τοὺς ἀρέσαντας, καὶ ἀμφιβαλὼν ἱεραρχικῶς ἐπέχει τὸν Ἀνδρόνικον, καὶ ἀφορίζει ὅποι εὗρε μένοντα, καὶ κατασκήπτει μὴ ἂν ἀφεῖναι τὴν πόλιν καὶ ἄλλην τραπῆναι. ὁ δὲ ὡς ἀβούλητα δῆθεν παθὼν καταβοᾶται τοῦ πατριάρχου οἷα οὕτω καταδήσαντος τὸν τρέχειν ἕτοιμον· καὶ "ὤμοι" φησί, "τί ποιεῖς, δέσποτα;" καὶ συχνὰ τοῦτο λογοκοπήσας ἄνεισιν ὑψοῦ στενάζων ὡς ἐπὶ μεγάλῳ κακῷ. καὶ ὁ πατριάρχης ὑπειπὼν τὰ δοκοῦντα ἡσύχαζε.

Καὶ τοῦ λοιποῦ, ἵνα μὴ τὴν κοσμικὴν ἀηδίαν ἀδολεσχῶ, γίνεται τῶν κακῶν δρόμος εἰς τὸν περίδοξον ναὸν τοῦ σωτῆρος Χριστοῦ τοῦ χαλκίτου, καὶ εὐφημία τοῦ Ἀνδρονίκου ἄκοντος εἰς βασιλέα, ὡς ἂν καὶ αὐτοὶ καὶ ἐκεῖνος εἴποιεν· εἶτα καὶ βία εἰς ἐκεῖνον, ὡς καὶ μὴ ἐθέλων ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ περίθεσις παρασήμων τῇ βασιλείᾳ πεδίλων, ἐκείνου μὴ καθιστῶντος τοὺς πόδας, καὶ περίδυσις διαδήματος καὶ ῥῖψις μὲν καπνικοῦ καλύμματος τοῦ περὶ κεφαλήν, ὅπερ Λαζόθεν εἶχε τὴν ἀφορμὴν εἰς σύμβολον ὧν ἔμελλε καπνῷ

rata habere ad retinendum Comnenum. quibus auditis, exspectabant illi vinciendi consilium, rogabantque, quid tandem istud foret. ille autem, mitra illico capiti transverse imposita, et dextra ad crucis aeriae signum mota, quassat vincula exoptata et Andronico iniicit, cohibetque eum potestate patriarchali, et includit finibus iis, intra quos eum reperit, obstringitque, ne urbe excedat aliove vertatur. Andronicus autem, quasi ingrata scilicet patiens, increpat patriarcham, quod ita constrinxerit ad fugam paratum, atque "eheu, inquit, quid agis, domine?" multumque repetitis his verbis, ascendit in aedes superiores, ingemiscens tanquam in magna calamitate. patriarcha hortatus, quae ipsi viderentur, acquievit.

Mox autem, ne calamitatem terrestrem longe persequar, perditorum hominum concursus ad templum praeclarum Christi salvatoris aenei fit, salutaturque Andronicus imperator invitus, ut ipse et isti homines dicturi sint; deinde etiam vis adhibetur, ac si nollet ipsorum dux esse, et induuntur imperii insigne calceamenta, ipso detrectante pedes, et diadema imponitur iniiciturque pileus fumidus, qui

φῦραι, κατεμπρήσας τὸ πᾶν, ἀντιφόρησις δὲ ἐρυθροῦ, αἰνιττομένη ὅσων κεφαλῶν καταψηφιεῖσθαι μέλλει αἵματα. καὶ συγκάθηται τὸ ἐντεῦθεν τῷ βασιλεῖ Ἀλεξίῳ, καὶ προκάθηται (ὑπερέκειτο γὰρ αὐθωρὸν ἐκείνου τὸ ἀπὸ τοῦδε), καὶ συντιμᾷ οὓς αὐτὸς ἐπέκρινε, καὶ προβάλλεται ἀρχάς, ἐξ αὐτῶν βαλβίδων τὸ τῆς κατ' αὐτὸν βασιλείας ἅρμα πρόσθεν βαλών. καὶ τὸ μέγα κακὸν τῷ μικρῷ καλῷ συγκίρναται.

Βραχὺς δ' ἐν μέσῳ χρόνος, καὶ περιγίνεται· καὶ ὡς ἂν μὴ θρήνου μεγάλου ἔξαρχος καθισταίμην τοῖς φιλαλεξίοις εἴτ' οὖν φιλοβασιλεῦσι, λεπτοτομῶν παχεῖαν σκυθρωπότητα, ἐκ ποδῶν ἀπάγει τὸν συμβασιλέα. καὶ τοῦ ζυγοῦ τὸν Ἀλέξιον ἐκτινάξας, εἴτε πνιγμῷ τῷ δι' ἀγχόνης, ὡς διαρρέει λόγος ὁ πλείων, εἴτε καὶ ἄλλως, ὡς ἐκεῖνος οἶδε καὶ οἱ συγκακοῦργοι, ἀντεμβάλλει τὸν υἱὸν Ἰωάννην, τὸν τοῦ Μανουὴλ ὕστερον, οὐχ ὅτι καλλίων ἦν, ἀλλ' ὅτι ὁ μὲν Μανουὴλ ἀπεστύγει τὰ τοῦ πατρὸς καί πως ἔβλεπεν εἰς τὸ μέλλον καὶ τὸν θεὸν ἐπίστροφον εἶναι τῶν γινομένων κακῶν ὑπελάλει, ὁ δὲ Ἰωάννης ἔστεργε καὶ τοῖς πλημμελουμένοις ἔχαιρε συνεφαπτόμενος.

Ἃ δὲ τὸ ἐντεῦθεν ὁ Ἀνδρόνικος — οὐ λέγω ἥμαρτεν ἢ ἐπλημμέλησεν (ἄλλως γὰρ οἱ θερμότεροι ὀνομάσαιεν ἄν), γλώττης δεῖται νεανικῆς φράζειν, καὶ πρὸ αὐτῆς λογισμοῦ βαθέος καὶ οἷον εὐστοχα βάλλειν καθ' ὧν ἂν ἐπιβαλεῖ· ἅπερ

e Lazis repetitus et quasi imago quaedam erat eorum, quae ille, rebus omnibus igne deletis, fumo turpaturus esset, et praefertur purpureus, quo significabatur, quot capitum postulaturus esset sanguinem. assidet deinde imperatori, ac praesidet (supereminet enim dehinc illico eum), promovetque, quos ipsi placet, ac proterit magistratus, inde ab initio imperii sui currum vehementius agens; ac miscentur magna mala bonis exiguis.

Brevi interiecto tempore, superior evasit. ne autem magnae lamentationis dux exsistam Alexii sive imperatoris amicis, in parvas particulas dissecanda truculentia: e medio tollit imperii socium. excusso igitur Alexio, sive fune et strangulatione, quae vulgaris fama est, sive alio modo, id quod ipse et facinoris socii noverunt, in locum eius substituit Ioannem filium, qui Manuele minor erat, non quod praestaret, sed quia Manuel aversabatur facinora patris et animo prospiciebat futura, deumque malorum, quae fierent, vindicem fore susurrabat, Ioannes autem venerabatur patrem et ultro iuvabat prava eius consilia.

Quae vero deinde Andronicus — non dico peccaverit aut commiserit (alio enim nomine appellaverint vehementiores), lingua iuvenili opus est, ut narretur, et vero ingenio subtili et quod feriat

ἡμεῖς ἀπολωλεκότες τῷ γήρᾳ τοσοῦτόν φαμεν ἐπιτέμνοντες, ὅτι, ὁποῖά τις Δαυὶδ μεμελετηκὼς ἀπεχθῆναι ἔν γε τῷ κατὰ τὸν Οὐρίαν καὶ τὴν γαμετήν, τὸν μὲν ἄνδρα βασιλέα τὸν Ἀλέξιον προϊάπτει κάτω, παραστείλας τοῦ ζῆν, εἶτα καὶ βυθῷ θαλάσσης πιστεύσας καθά τινές φασιν, ὡς οὐκ ἂν ἐγὼ ἀνακρίναιμι, καθάπαξ ἀπεστυγηκὼς τὴν φαύλην ταύτην περίστασιν. καὶ ἐκεῖνος μὲν οὕτω τὸν παῖδα βασιλέα συνέστειλεν, εἰ καὶ λόγοι τινὲς ὕστερον ζωὴν ἐκείνου κατεψεύσαντο· εἰς ὃ παίζων ὁ Ἀνδρόνικος ἐξελάλησέ τι δριμύ, ὃς ἀκούσας περί που τὰ κατὰ Σικελίαν τημελεῖσθαι τὸν Ἀλέξιον βασιλικῶς, ἡδὺ γελάσας "ἦ δὴ" ἔφη "ἄριστος κολυμβητής, εἴπερ ἐν Κωνσταντινουπόλει κατακυβιστήσας εἰς βαθεῖαν θάλασσαν ἀπνευστὶ διεξέδυ περὶ τὸν ἐκεῖσε πορθμόν." ἀποικίσας δὲ οὕτω τὸν ἄνδρα Ἀλέξιον, εἰσοικίζεται τὴν αὐτῷ μνηστήν, ὧ καὶ ἐκείνου κακοῦ, νεάνιδα θυγατέρα τοῦ τῆς Φραγγίας ῥηγός, ὀκνοῦσαν μέν, ὡς περιᾴδεται, τὴν συναφήν. ἤδη γὰρ καὶ φρενῶν ὑπεπίμπλατο, καὶ πεπειραμένη δὲ ἄλλως λειότητος ἐραστοῦ τὸν τραχὺν ἀπέστεργε. καί ποτε, φασί, καθ' ὕπνους φαντασαμένη τὸν νεανίαν καὶ ὦ Ἀλέξιε ἀνακράξασα, οἷα ἔπαθεν, οἶδεν αὐτή.

Καὶ ἦν μὲν ἴσως μέτριος τὴν κακίαν, εἴπερ ἐνταῦθα ἐλθὼν ἀδικήματος ἔληξε καὶ ἐστράφη πρὸς τὸν ἀληθῶς ἄν-

5. ὡς] οὓς?

scopum, quem petit: quae quum nos amiserimus senectute, hoc tantum strictim dico, eum quasi alterum fieri Davidem voluisse in eo, quod ille adversus Uriam et uxorem eius fecit, siquidem virum imperatorem Alexium pessumdat, prius vita privatum et deinde in mare demersum, ut quidam dicunt, ego autem diiudicare nolim, prorsus abominans rem eam detestabilem. ergo ille puerum imperatorem oppressit, etiamsi rumores quidam postea eiusdem vitam ementiebantur: ad quam famam acerbe dicto quondam lusit Andronicus, qui, quum audisset, regio honore alicubi in Sicilia haberi Alexium, subridens "egregius profecto, inquit, urinator ille est, si quidem Cpoli in mare demersus, non spiravit, dum emergeret in illo portu." itaque e medio sublato viro Alexio, in matrimonium ducit, eheu novam nequitiam, sponsam eius, filiam adolescentem regis Francorum, pertimescentem, ut fertur, id coniugium. etenim sapere illa iam coeperat, atque gustato suavi amico aversabatur asperum. et quondam, ut ferunt, quum per somnum adolescentem vidisset, et, o Alexi, exclamasset, quae passa sit, ipsa novit.

Ac fuisset fortasse modicus in nequitia, si eo progressus iniuriarum destitisset, et redisset ad humanitatem, pravis facinoribus ad im

θρωπον, ἀδικήσας εἰς βασιλείαν καὶ μεγάλου τυχὼν πράγματος. ὁ δ' ἀλλὰ πρὸς δεινὸν μέγα μεταπλασθεὶς τῇ θηριωδίᾳ τὸ κατὰ πάντων φοβερὸν πραγματεύεται, καὶ ἀφίησι μὲν πατὴρ ὡς ἤπιος εἶναι, ἀνθαιρεῖται δὲ μαίνεσθαι οὐκέτ' ἀνεκτῶς. καὶ ὡς εἴπερ μικρὰ ἐποίει κακά, ὅτε πρόφασιν εἶχε τὴν τοῦ βασιλέως Ἀλεξίου περιποίησιν, πολλαπλασιάζει τὰ ὑπὲρ ἑαυτοῦ καὶ τοῦ παιδὸς Ἰωάννου, καὶ εἰς οὕτως ἄποπτον ἐκκορυφοῖ τὸν τῆς μανίας κολωνὸν ὡς καὶ τὸν Ἰωάννην ἀναβλέψαντά ποτε παθεῖν ἴλιγγον. καὶ τοίνυν καὶ ἀνεκάλυψέ ποτε τῷ πατρὶ καὶ ἐκεῖνος τὸ κατὰ ψυχὴν πάθος, καὶ ἔδειξε φόβον ἔχειν εἰς τὸ μέλλον ἐφ' οἷς ὁ πατὴρ ἄρτι θρασύνεται. καὶ ὑποκλαίει μὲν μαλθακώτερον, οὐκ ἀποκναίει δὲ τὸν πατέρα τοῦ ἐν κακοῖς ἀνδρίζεσθαι καὶ δεινὰ βούλεσθαι. διὸ καὶ προαναφωνῶν τὸ καλὸν ἐκεῖνος βούλευμα γυναῖκάς τε τοὺς υἱοὺς προσέφη, ἐπιπλέξας ἐνταῦθα καὶ τὸν Μανουήλ, καὶ ἐπαρᾶται, μὴ ἂν εἰς ἄξιον ἐλθεῖν τοῦ ἡσυχῇ ζήσειν, μεγαλείους μόνους ἐκείνους ἐσομένους, ἐπὰν ὁ πατὴρ θάνοι. καὶ κομπάζει μακελλαρίους (εἰπεῖν κατ' ἐκεῖνον) καὶ μάγγιπας καὶ μύρων ἑψητὰς μέλλειν ἀφήσειν περιεῖναι, καὶ τοιούσδε τινάς, ὧν αὐτοὶ ἄρξοντες ὕστερον εἰκῇ ἄρτι δειλαίνονται, μεγάλα σεμνύνων ἐκεῖνος τὴν βασιλείαν τοῖς παισίν. εἰ οὕτω μικροβασιλεῖς ἀποβήσονται, ὅμοιον ὡς εἰ καὶ Γιγάντων ἀποστερῶν ἐθέλοι παραμυθεῖσθαι οἷς Πυγμαίων ἄρξειν αὐτοὺς ὑπόσχοιτο.

perium grassatus et magni voti compos factus. enimvero in monstrum terribile mutatus ferocia, adversus omnes horrenda parat, nec cogitat de Homerica illa lenitate paterna, sed induit pro ea saevitiam non iam tolerabilem. itaque, quasi parum mali fecisset, quum praetendebat imperatoris Alexii salutem, multiplicat iam, quae sua et Ioannis filii causa molitur, facinora, et ad eam altitudinem exstruit furoris molem, ut ipse etiam Ioannes quondam vertigine correptus sit. aperuit igitur ille patri animi aegritudinem, seque de futuro sollicitum esse significavit propter ea, quae pater auderet. lacrimas fundit mollius, nec cohibet patrem a pravis inceptis et exitiosa audacia. quin imo, pulcrum ille aperiens consilium, et feminas filios appellat, Manuelem quoque hic tangens, et cum imprecatione adseverat, non esse, quod tranquille viveret, sed magnificos solos illos fore, postquam ipse mortuus foret: gloriaturque, laniatores se et pistores et unguentorum coquos aliosque id genus relinquere velle, quibus illi postea imperaturi temere inertiae se darent, iactans imperium filiis, quo tam exiguae dignitatis forent, plane ita, acsi gigantibus privatos consolari vellet pollicendo, Pygmaeis eos imperaturos.

Γίνεται οὖν ὁ ἄνθρωπος ἐπὶ πλέον ἀπάνθρωπος, τὸν θῆρα μετενδυσάμενος. καὶ οἷα μὴ ἀρκοῦν αὐτῷ στερεῶσαι βασιλείαν, εἰ τοσούτους καὶ τοιούτους λογάδας τοὺς μὲν ἀπήγαγεν εἰς τοὺς πλείονας τοὺς δ' ἄλλως ἐκ μέσου ἔστησε, προσεπικαταβάλλει καὶ ἄλλους μυρίους ὅσους, μάρπτων ἐξείης, οὐ κατὰ αἰτίαν οὖσαν, ἀλλ' ὁποίας πλάσαιτ' ἂν κατὰ ζώντων ἄνθρωπος αὐτὸς μόνος ἐφιέμενος ζῆν διὰ τὸ φύσει κακύποπτον, ὃ παγίως αὐτῷ ἐνερριζωτο οἷς αὐτὴ ἀεὶ ἐδολίου κατὰ τῶν πρὸ αὐτοῦ· ὅθεν ᾤετο πάντας βασιλεῖς κατ' αὐτόν. καὶ οὐ λέγω τὸ πλῆθος τῶν πεπονθότων· οὐ προσάπτομαι τῆς ποιότητος· οὐκ ἐκτίθεμαι τὰ κατ' ἐκείνων συμπλάσματα· οὐ περιηγοῦμαι τρόπους ἢ τόπους καθ' οὓς καὶ ὅπως περανθείη τὸ κακόν, οὐκ ἄλλο τοιοῦτον οὐδέν, μὴ καὶ ἀηδίας ἀναταράξω βόρβορον. ἐκεῖνο μόνον λέγω, ὡς ἠρίστευεν ἀληθεύων ἐπὶ τῇ πρὸς τοὺς υἱοὺς ὑποσχέσει· οὐ πολλοῦ γὰρ ἐνέλιπε ψιλῶσαι ἀνθρώπων ἐπιδόξων τὴν μεγαλόπολιν. καὶ οὕτω μὲν κατὰ πάντων αὐτός· ἦσαν δὲ οὐδ' οἱ πάντες ἀπεοικότες ἐκείνου πρός γε τὸ μῖσος. μισούμενοι γὰρ ἐφιλοτιμοῦντο ἀντιμισεῖν, οὐκ εὐαγγελικῶς μέν, κατὰ βασιλικὸν δὲ ἐκεῖνο παράδειγμα. καὶ συλλεγέντες τῇ ἀμύνῃ πρός τι ἓν δρᾶν ἤθελον καὶ ἀντιλυπεῖν τὸν κατάρξαντα. ἦσαν δὲ ἐν τοῖς δρῶσι πρὸς ἄμυναν, ὅτι καὶ ἐν τοῖς παθοῦσι, καὶ οἱ τῆς

8. αὐτὴ] αὐτὸς?

Fit deinde homo ille in dies immanior, bestiae induens naturam. quasi autem satis non firmasset imperium tot talesque viros eximios partim ad inferos amandando, partim amovendo alio, adiecit etiam alios innumerabiles, temere comprehensos, non propter verum aliquod crimen, sed affingens, quae ficturus esset adversus vivos, qui solus vivere vellet propter insitam quandam a natura suspicionem, quae illi infixa haerebat propter ea, quae ipse semper molitus erat adversus priores: unde omnes post ipsum imperaturos suspicabatur. non dicam multitudinem eorum, qui supplicium subierunt; non attingam virtutes; non exponam ficta in eos crimina; non explicabo modos locosve, quibus facinus patratum est, nec alia id genus, ne eruendo coeno taedium moveam: hoc tantum dico, praeclare eum stetisse iis, quae filiis promiserat. etenim non multum abfuit, quin a viris illustribus vacuam urbem faceret. ergo talis ille adversus omnes erat: nec vero hi dissimiles odio. namque odio habiti ambitiose ipsi invicem odio habebant, non ex evangelio quidem, sed ad exemplum imperatorium. itaque coniunctis ad defensionem viribus, quo unum aliquid agerent, etiam vexare vicissim eum, qui coeperat vexare, volebant. erant autem in iis, qui agebant,

Ἄγαρ. τὰ γὰρ κατὰ Νικαέων πάθη, καὶ ὅσα οἱ Προυσαεῖς ἔτλησαν, ἥψαντο καὶ ἐκείνης καὶ εἰς πολὺ ἐχθίστην ἡμῖν ἐνέγραψαν· πολλοὺς γὰρ καὶ τῶν αὐτῆς ἐπιλέγδην ἡ Νίκαια, 281
ναὶ δὲ καὶ ἡ Προῦσα μετὰ πολύπονον ἄλωσιν μετεωρισθέντας εἶδον, ὅθεν ἔστι καταβῆναι εἰς Ἅιδην καὶ ταχὺ καὶ οἰκτιστα.

Καὶ οἷα μὲν ἐντεῦθεν οἱ ἀνατολικοὶ ἔπαθον, εἰς μνήμην, εἰ καὶ μὴ μετ' ἐγκωμίων τοῦ Ἀνδρονίκου, συγγραφέσθω ἕτερος, ἐκεχειρίαν τε ἄγων ἱκανήν, ἀλλὰ καὶ δακρύοις πλουτῶν· ἡμᾶς γὰρ ἐπέλιπον καὶ αὐτά. ἡμῖν δὲ οἷα ἐκεῖθεν συνέπεσον, καὶ ὡς ἡ τοῦ Ἀνδρονίκου, ὁμαλῶς λέξαι, οὐ προσήνεια καθίκετο καὶ ἡμῶν ὀλεθρία, φράσων ἔρχομαι, οὐ πρὸς εὐρυλογίαν οὐδ' αὐτά, μὴ καὶ πλατὺ μάλα βιβλιογραφήσειν ἀνάγκην εὑρήσω, ἀλλ' ὡς πρὸς ἐσκιαγραφημένην τῶν πεπραγμένων ὑπόδειξιν.

Οἱ βλαβέντες ἐκεῖνοι, οἱ πολλοί, οἱ ποικίλοι, οἱ πολύγλωσσοι, διασπαρέντες ἄλλοι ἄλλοθεν, εἴ τις φρήτρη ἐκ Πίσσης, εἴ τις ἀπὸ Γενούης, τὸ τῶν Τούσκων φῦλον καί τι Λαμπαρδικόν· οὐκ ἀπελίπετο δὲ οὐδὲ τὸ ἐκ Λογγιβάρδων βλάβέν, οὐδ' ὅσα ἄλλα· οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν εὐγενείας ἐπιτεταγμένων, Μαλεῖνος δέ τις καὶ Δαλασηνὸς καὶ Κλάδων καί τινες τοιοῦτοι τ ὄν τῆς ὑφειμένης, πρὸς δὲ καὶ θεραπευ-

21. δέ] τέ?

quo se defenderent, ut in iis, qui passi erant, etiam Agaris posteri. etenim Nicaeensium et Prusensium calamitates ad illos quoque pertinuerunt, eosque inimicissimos nobis fecerunt. namque multos ex ea quoque gente selectos Nicaea, quin imo Prusa quoque, post luctuosam expugnationem suspensos vidit, unde citus et miserabilis ad Orcum descensus est.

Quae tum orientales passi sint, ad memoriam posterorum licet, si minus ad laudem Andronici, componat alius, qui et otio et lacrimis abundaverit. etenim nos quidem illae quoque defecerunt. quae autem nobis deinde contigerint, et quomodo Andronici, ut modeste dicam, haud magna benevolentia nobis quoque exstiterit exitiosa, equidem narraturus sum, sed ne haec quidem copiosius, ne fuse scribendi mihi oriatur necessitas, sed quantum satis sit ad adumbrandam rerum gestarum historiam.

Afflicti illi homines, frequentes, varii, multarum linguarum, alii aliunde congregati, pars Pisa, pars Genua advecti, Tusca gens et Lampardica, nec non e Longobardis qui afflicti erant, et quotquot alii, quin etiam minoris dignitatis nobiles, Malenus quidam et Dalasenus atque Cladon, aliique id genus inferiores, ad hos princi-

ταὶ ἀρχόντων οὓς ὁ Ἀνδρόνικος φαύλως διέθετο —, οὗτοι δή, καὶ ὅσοι δὲ ἄλλοι ἐν ὁμοίοις κακοῖς ἦσαν, ἐπρέσβευσαν παρὰ πολλοὺς τῶν μέγιστα δυναμένων περί τε τὰ τῆς ἑῴας λήξεως καὶ τὰ ἑσπέρια. καὶ οἱ μὲν τὸν σουλτὰν ἠρέθισαν τὰ πλείω, προϊσχόμενοι εἰς δυσωπίαν τὸν τοῦ βραχυβίου βασιλέως Ἀλεξίου θάνατον, ᾧπερ ὤφειλε πιστὰ διὰ τὸν πατέρα Μανουὴλ ὁ τῶν Ἀγαρηνῶν ἔθναρχος· ἕτεροι δὲ τὸν ἐν Ἀντιοχείᾳ προκαθήμενον, τόν τε κατὰ κόσμον καὶ τὸν ἐκκλησιαστικῶς, ἄλλοι δὲ τὸν ἐν Ἱεροσολύμοις ζηλοῦντα βασιλικῶς ὑπὲρ τοῦ καλοῦ. ὠφειλέτην δὲ ἄρα καὶ τούτω τὼ ἄρχοντε ὀρθὴν ἀγάπην καὶ ἐπικουρίαν μετὰ τὸν Μανουὴλ ἀδικουμένῳ τῷ υἱῷ Ἀλεξίῳ. αἱ δὲ ἐντρεχέστεραι τῶν πρεσβειῶν περὶ τὰ καθ' ἑσπέραν ἐξετελοῦντο, καὶ ἐλιτάζετο πρὸς μὲν τῶν ὁ τῶν ἐν μεγάλῃ Ῥώμῃ ἀρχιερατικῶς ὑπερεστὼς καὶ εἴ τις ἄλλος παρ' αὐτῷ καὶ κατ' αὐτὸν ἰσχύων, πρὸς δὲ τῶν ὁ Γερμανικὸς φύλαρχος. ὠχλεῖτο δὲ πρεσβευτικῶς καὶ ὁ πολὺς τὴν ἐξουσίαν Ἀλαμπνός. καὶ οὐδὲ ὁ μαρκέσιος ἡσυχῇ μένειν ἀφίετο, καθάπερ οὐδὲ ὁ τῆς Οὐγγρίας κράλης καὶ ὃς δὲ ἄλλος ἰσχυρὸς περίοικος. καὶ ὅλως, ἔνθα περιήγησις ἀρχικῶν ὀνομάτων, ἐκεῖ ἀπέβλεπεν αὐτοῖς τὸ δεόμενον τῆς ψυχῆς καὶ οἱ πόδες αὐτίκα ἔτρεχον, καὶ ἡ γλῶσσα ἐλάλει καὶ ἐνήργει πρὸς πειθώ.

Μάλιστα δὲ τοιούτου ἐπειράθη ὄχλου ὁ τῶν Σικελῶν

pum, quos Andronicus suppliciis affecerat, domestici: hi igitur et si qui alii in pari miseria erant, converterunt se ad multos eorum, qui prae ceteris pollebant, ad orientem non minus, quam ad occidentem. alii Sultanem inprimis sollicitarunt, praetendentes movendi pudoris causa mortem immaturam imperatoris Alexii, cui propter patrem Manuelem fidem debebat rex Agarenorum; alii Antiochenorum principem tum civilem tum ecclesiasticum, alii rursus eum, qui Hierosolymis modo regio tutabatur, quod ius fasque erat. debebant enim hi quoque principes bonam fidem opemque post Manuelem afflicto filio eius Alexio. in primis autem impigre auxilia per occidentem petebantur. ab aliis pontifex Romanus maximus et si quis cum illo vel per illum alius pollebat, ab aliis dux et princeps Germanorum rogabatur. sollicitabatur etiam legationibus magnae potentiae princeps Alemannus; nec vero marchioni quietem concedebant, aut crali Hungarorum et si quis alius in iis finibus potens erat. omnino ubicunque nomina principalia audiebantur, eo illis supplex vertere animus, atque pedes properare, ac lingua loqui et suadere.

Maxime autem ab hac turba tentabatur Siculorum sive rex sive

εἴτε ῥὴξ εἴτε τύραννος, ὡς οἱ Διονύσιοι καθ' ἱστορίαν βεβαιοῦνται καὶ οἱ Φαλάριδες, καὶ ὅσοις δὲ ἄλλοις τὸ ἐκεῖ ἄρχειν τυραννεῖν καὶ ἦν καὶ ἐλέγετο. ἔνθα ὁ πρῶτος πρὸς βίαν καταρξας καὶ τὸ Ῥωμαϊκὸν ἐκεῖνο κομητάτον εἰς ῥηγάτον μεταγράψας Ῥογέριος ἦν, ῥέκτης ἀνὴρ καὶ τῷ ὄντι δραστήριος καὶ ἐν τοῖς ἐκεῖσε πολλὴν ἱστορίαν ὑπὲρ ἑαυτοῦ περικείμενος· δεύτερος δὲ μετ' ἐκεῖνον καὶ χρόνῳ καὶ χειρὶ καὶ τύχῃ παῖς ἐξ ἐκείνου, οὐκ οἶδ' ὅπως ἥκων τοῦ ὀνομάζεσθαι· ὁ δὲ ἄρτι ζῶν (Γελίελμον ἐκεῖνόν φασιν) μεγαλεπήβολος μὲν τὴν ἔφεσιν, μικροτελέστης δὲ ἐν ταῖς ἐπιβολαῖς· ὀλίγα μὲν γάρ τινα ἠνδραγαθίσατο, τὰ πλείω δὲ ἔπταισε. καὶ ὡς μὲν κατὰ τὴν σκέψιν Ἀριστοτέλους εἰς τριγονίαν τὰ πολλὰ τὸ τυραννικὸν φῦλον ἀνθοῦν εἶτα μαραίνεται, συχνὴ πεῖρα παρέδειξεν· οὗτος δέ, οἷς ἄρτι εὐτυχῶς ἑαυτῷ ἐπέτρεψεν, οἴοιτο ἂν τάχα οὐ μόνον οὐκ ἀπανθήσειν, τρίτος ὢν αὐτὸς τῷ γένει, ἀλλὰ καὶ κάρπιμος ἔσεσθαι· πάνυ γὰρ ἡμῶν κατευτύχησεν.

Ὁ δὲ οὖν Γελίελμος οὗτος κότον τε οἶμαι τρέφων οἷς ποτὲ ὁ Μανουὴλ κατεστράτευσε τῆς αὐτοῦ καὶ πολλὰ καὶ ἐλύπησε καὶ ἔβλαψε, καὶ ἅμα καὶ ζηλῶν πατρικὴν διὰ θαλάσσης ὁρμὴν ποτε παλαιὰν κατὰ τῆς Κωνσταντινουπόλεως, ἣν ὁ πατὴρ ἀνήνυτον ἐξετέλεσεν, ὁμοῦ δὲ καὶ συνάψας εἰς νοῦν τὴν καὶ διὰ γῆς καὶ διὰ θαλάττης μελέτην τοῦ Μα-

10. μικροτελεστὴς?

tyrannus, ut ex historia noti sunt Dionysii et Phalarides, et si qui alii ibi fuerunt, quorum regnum tyrannis et erat et dicebatur. primus qui illic violentius dominaretur, mutato in regnum comitatu Romano, Rogerius fuit, vir strenuus et sane quam impiger, et in ea regione rerum gestarum gloria ornatissimus; secundus autem post illum tum tempore tum fortitudine et fortuna nescio cuius nominis eiusdem filius fuit; sed qui nunc vivit (Wilhelmum eum nominant), suscipiendis rebus magnus, perficiendis exiguus est: nam pauca admodum bene, plurima male gessit. quippe quod Aristotelis sententiam, per tria genera familias regias plerumque florere, deinde extingui, saepe comprobavit experientia, ille certe quidem propter bonam, qua quum maxime lusit, fortunam crediderit fortasse, fore ut non solum non deflorescat, tertius quippe genere, sed ad faciendam messem maturescat. etenim adversus nos quidem rem felicissime gessit.

Hic igitur Wilhelmus tum ira, opinor, incensus, quod olim Manuel invasisset terram suam, eamque afflixisset et vastasset, tum expeditionem a patre olim adversus Cpolim, quamquam frustra, susceptam aemulatus, simulque animo volvens Manuelis et terrestre et

νουήλ κατὰ τῆς τῶν Σικελῶν (κατ' ἄμφω γὰρ ἐκεῖνος ἐπεχείρησε, καλῷ μὲν ἐπιβαλὼν πράγματι, κατακυβευθεὶς δὲ τύχαις πολέμου), προσίεται τὴν πρεσβείαν τῶν τοῦ Ἀνδρονίκου ἐχθρῶν, ὧν κατάρχειν ὁ Κομνηνὸς Ἀλέξιος ἠγλωΐζετο, πολυπλάνητος καὶ αὐτὸς καὶ μακρὰ περιοδεύσας, εἴγε πρὸς τοῖς ἄλλοις καὶ διὰ Ταυρικῆς καὶ Σκυθίδος γῆς ἐλθὼν διὰ τὸν Ἀνδρόνικον μυρία ἔκαμε. καὶ τυγχάνει βαλὼν ἔπος ὁ Σικελός, τήν τε ξηρὰν τήν τε ὑγρὰν ἐμπλῆσαι τῆς κατ' αὐτὸν δυνάμεως, καὶ οἷόν τινα νέφη στρατοῦ ὑπερστῆσαι καὶ αὐτῆς τῆς μεγαλοπόλεως, δι' ὧν ἐπιβρέξας ὄλεθρον κατακλύσει τοὺς ἀμφὶ τὸν Ἀνδρόνικον, φυσῶντος ἐνταῦθα μεγάλα καὶ τὰ τοιαῦτα νέφη συνελαύνοντος καὶ τοῦ Κομνηνοῦ Ἀλεξίου. ἔλεγε γάρ, ἀλλὰ καὶ ἐδόξαζε, πρὸς αὐτοῦ εἶναι τὴν πᾶσαν Ῥωμαΐδα καὶ φιλεῖν αὐτὸν εἰς τὸ γνήσιον, καὶ μὴ ἂν ἀφέξεσθαί τινας αὐτοῦ, ἀλλ' ἅμα ἢ κατιδεῖν ἢ μηνύματι ἐρεθισθῆναι, καὶ αὐτίκα ἐπιδιδόναι κατακύπτοντας ἑαυτοὺς εἰς ὑποταγήν. ἐνεκρύπτετο δὲ τοῖς λόγοις τούτοις καὶ νοῦς, ὡς οὕτως ἔχων καὶ οὕτω φιλούμενος καὶ εἰς τὰ ἑκάστων παραδυόμενος σπλάγχνα βασιλεύσει αὐτός, ῥίψας τὸν Ἀνδρόνικον, παραγόμενος κἀνταῦθα τῆς ὀρθῆς. ὁ γὰρ Σικελὸς ῥᾳ̃ξ ἄλλα
282 ἤθελε, καὶ Σικελίαν μὲν καὶ τὸ κατ' αὐτὴν ῥηγάτον ἑτέροις, ὥς φασιν, ἀποκαταστῆσαι, αὐτὸς δὲ μετεμβῆναι εἰς τὴν μεγαλόπολιν μεμελέτηκε.

maritimum adversus Siciliam inceptum (etenim terra ille marique Siculos adortus est, bono quidem intentus consilio, sed casibus belli obrutus), benigne recipit ab inimicis Andronici missam legationem, cuius ducem se ferebat Alexius Comnenus, vagus ille longisque iactatus peregrinationibus, siquidem praeter multas regiones alias etiam Taurorum et Scytharum terram propter Andronicum adiit, et mala exantlavit innumerabilia. ac minas quondam Siculus iecit, terram et mare se oppleturum copiis et quasi nubes militum ipsi immissurum imperii capiti, unde effusa pernicies inundatura esset Andronicum eiusque socios, vehementer tum spirante ac tales nubilas cogente etiam Alexio Comneno. dicebat is enim et sane opinabatur, universum populum Romanum sibi favere et sincere amicum esse, nec quemquam a se discessurum, sed simulatque aut vidissent se aut nuntio excitati forent, illico omnes in deditionem se tradituros. quibus sermonibus profecto spes occultabatur, fore ut, quum talis esset et ita diligeretur et insinuasset se in animos omnium, Andronico depulso, imperaret ipse, a recta via hic utique aberrans. rex Siculus enim diversa meditabatur, cogitabatque, ut ferunt, suarum terrarum regnum concedere aliis, ipse in urbem transire.

Συνέπεσε δέ τι ἐν τούτοις καὶ τοιοῦτον. εἴδομεν ἡμεῖς μετὰ τὴν ἐν ἡμῖν μεγίστην δυσπραγίαν ἄνδρα τινὰ εὐσταλῆ, μελαγχρῆ πρὸς βάθος, ἐσταλμένον εὖ μάλα τὰ πάντα κατὰ Λατίνους, πλὴν ὅσον βαθυγένειον, ἐσχηματισμένον μὲν ὡσεὶ καὶ ἀποστολικῶς, λεγόμενον δὲ ὑπερπόνηρον εἶναι. ἡ δὲ φήμη καὶ ἱππότην δεξιὸν αὐτὸν εἶχεν, ὡς καὶ ὁ εὐγενὴς ἵππος, ὑπομαρτυρεῖν ἐῴκει, ὃς αὐτὸν ἔφερε, καὶ οἱ ἐκείνου ἐξελιγμοί, ὅτε ἤρετο ἔφιππος. ὑπισχνεῖτο δὲ τὸ κατὰ ζώνην αὐτῷ ξίφος καὶ ὁπλίτην αὐτὸν εἶναι. οὕτω τὸν μοναχὸν ἐψεύδετο, εἰς ὃν ἐπιπολῆς ἐχρωμάτιστο. Ἀλεξίου δὲ κλῆσιν φέρων Σικουντηνὸν ἑαυτὸν ἐπεκάλει Φιλαδελφηνόν, ἄλλα τινὰ πρὸς ἑτέρων καὶ γνωριζόμενος καὶ λεγόμενος. οὗτος ὁ ἄνθρωπος, ὅστις ποτὲ καὶ ἔστι, πλέον τῶν ἄλλων κατά γε πονηρὰν μέθοδον τὸ πῦρ τοῦ καταθαλώσαντος ἡμᾶς πολέμου ἐξηνέμωσεν εἰς αἰθέριον. ἦν μὲν γὰρ ὁ δακρύων ἄξιος βασιλεὺς Ἀλέξιος κείμενος ὡς ὁ Ἀνδρόνικος ἔθετο, αὐτὸς δὲ ὁ μοναχὸς οὐκ οἶδα σαφῶς ὅθεν πλεύσας εἰς τὰ ὑπὲρ τὸν Ἀδρίαν ἔθνη ἐπεδείκνυέ τινα παῖδα, ἐς ὁμοιόν τι καὶ χρόας καὶ ἡλικίας ἥκειν φαινόμενον τῷ βασιλεῖ Ἀλεξίῳ. καὶ ἦν μέν, φασίν, ἐκεῖνο παιδίον ἀγροικικὸν ἔκ ποθεν Βαγεντίας· αὐτὸς δὲ ταῖς ἡμῶν ἁμαρτίαις τὸ τοιοῦτον σόφισμα διδαχθεὶς καὶ παρίστατο δουλικώτερον τῷ ἀγεννεῖ ἐκείνῳ παιδίῳ, καὶ τοὺς πόδας ἔνιπτε, καὶ ὅσα ἄλλα πρὸς ὑπηρεσίαν ἐτέλει

Accidit inter illa hoc quoque. vidimus post rerum nostrarum cladem gravissimam hominem formosum, pallio pullo indutum, habitu prorsus Latino, nisi quod barbam promissam haberet, vultu quasi apostolico, sed ingenio, ut dicebatur, pravissimo. fama eundem egregium equitem ferebat, id quod et generosus equus, qui illum gestabat, et decursus, quibus se iactabat equitando, probare videbantur. ac promittebat e zona eius suspensus ensis pugnatorem. ita ille monachum, cuius speciem induerat, ementiebatur. Alexii nomen ferebat, Sicuntenum se Philadelphenum cognominans, atque alio aliis nomine notus et appellatus. is igitur homo, quisquis est, prae ceteris pravo studio ignem belli, quo correpti sumus, ad flammam excitavit. iacebat enim lacrimandus imperator Alexius quemadmodum Andronicus decreverat; sed monachus ille, profectus, haud satis scio unde, ad gentes supra mare Adriaticum habitantes, puerum aliquem ostendebat, qui specie et aetate similis esse videretur imperatori Alexio. fuisse autem fertur pusio agrestis quidam e Bagentia oriundus. ipse autem, vitiis nostris istam edoctus fraudem, servili plane modo ignobili illi puero adstabat, pedes eius lavabat et reliqua omnia officia tanquam imperatori praestabat, facile defungens nequi-

ὡς ἐπὶ βασιλεῖ, ῥᾳδιουργῶν κατὰ πονηρίαν, καὶ ἀναδιδάξας ἐκεῖνον βασιλέα ἑαυτὸν ἐπιλέγειν, καὶ θαρρύνας καὶ ἐγκελεύεσθαι τούτῳ ὅσα καὶ δούλῳ καὶ ἀπειλεῖσθαι δριμύτερον. καὶ βασιλικὴν αὐτῷ σκηνὴν οὕτω πηξάμενος περιέφερεν ἐξ ἔθνους εἰς ἔθνος, καὶ μάλιστα εἰς ὅσα κακῶς διέθετο ὁ Ἀνδρόνικος. καὶ συνέκλαιε τραγικώτερον, καὶ σκηνοβατῶν ἀδικίαν μεγάλην ὡς ἐπὶ βασιλικῷ τούτῳ παιδὶ ὀφειλομένῳ πιστὴν φιλίαν ὑπὸ Χριστιανῶν ἀγαθῶν προσκαλεῖτο εἰς ἄμυναν, ὑποδεικνὺς κατὰ τὸ εἰκὸς καὶ σημεῖα τριχῶν ξανθότητα, ὀδόντος λεῖψιν, ὁποίαν τινὰ καὶ ὁ ἀληθὴς Ἀλέξιος ἐκεῖνος δυσπραγεῖν εἰλήχε, βλέμματος ἐμβριθειαν ὡσεὶ καὶ βασιλικοῦ, πλάσιν σώματος εὐπαγῆ, καθ' ἣν μάλιστα τὸ ἀγροτικὸν εὐδοκίμως ἔχει, καὶ ἄλλα τινά. καὶ οἱ δυσωπούμενοι διετίθεντο πρὸς πένθος καὶ ἠλέουν, οἷα μὴ ἐξακριβοῦν ἔχοντες οἷς ἐπεπρόσθει τῇ διακρίσει τῶν σημείων τοῖς ἔθνεσιν ἡ κατὰ τοῦ Ἀνδρονίκου μῆνις. ὅθεν καὶ ἀπανούργως πειθόμενοι τὸν παῖδα βλέπειν Ἀλέξιον, ὃ καὶ ὁ ἐξ ἀγροιωτῶν οὗτος παῖς ἐτέθη καλεῖσθαι, κατέκυπτον εἰς προσκύνησιν, ἠσπάζοντο, μετέωρον ἦγον, δώροις ἐδεξιοῦντο πολλοῖς· ἃ δὴ κατέσπα ὁ μοναχός, ἀπεκβαίνων βαρύπλουτος οἷς ἐμπορικῶς τὸν παῖδα καπηλεύων ἐχρηματίζετο. καὶ ἡ μὲν ἀλήθεια οὕτω λαθοῦσα ἐνδόμυχος ἦν, τὸ δὲ ψεῦδος ἐκνικῆσαν ἐξεθύμωσε τὰ ἔθνη πρὸς ἄμυναν· οἳ

tiis suis, quum et praecepisset ei, ut imperatorem se appellaret, et suasisset, ut imperaret ipsi et minaretur tanquam servo vehementius. itaque constructo tabernaculo imperatorio, ad omnes eum gentes circumducebat, eas maxime, quibuscum dissidebat Andronicus. lamentabatur tragico modo, et tanquam de pulpito iniuriam imperatorii istius pueri ingentem declamans, fidem opemque bonorum Christianorum ad defensionem eius implorabat, ostendens, quo rem probabilem et manifestam faceret, flavum colorem capillorum, unius dentis defectum, quo forte etiam verus ille Alexius laboraverat, vultus acumen quasi regium, conformationem corporis firmam, qua nimirum praecipue excellit genus hominum rusticum, et alia quaedam. plerique flebili oratione ad luctum et misericordiam movebantur, quippe qui rem discernere non possent, propterea quod a cognoscendis indiciis odio Andronici prohibebantur. quare sine fraude videre se puerum Alexium rati, quo sane nomine puer ille rusticus appellari solebat, adorabant eum, salutabant, humeris sublimem gestabant, muneribus ornabant studiose. quae quidem munera monachus ille hauriebat, praedives evadens isto, quo puerum mercatorum modo quasi venditabat, artificio. ac veritas quidem ita occultata latebat, evincensque mendacium ad opem ferendam excitabat, quotquot olim sacra-

φθάσαντες ἐνέδησαν αὐτοὺς ὅρκοις εἰς πίστιν τῷ τε Μανουὴλ καὶ τῷ διαδεξαμένῳ αὐτὸν υἱῷ Ἀλεξίῳ. ἤχθη δὲ καὶ πρὸς τὸν ῥῆγα Σικελίας ὁ τοιοῦτος πλαστὸς βασιλεύς. καὶ ὁ μὲν Κομνηνὸς Ἀλέξιος, ὁ τὸν Σικελὸν ἐρεθίσας, ἤλεγχε τὸν ἀγροιώτην τοῦτον παῖδα, ναὶ δὲ καὶ οἱ σὺν αὐτῷ· οἱ δὲ ἐκ τῶν ἐθνῶν ἐβεβαιοῦντο εὖ ὅτι μάλα καὶ ἀπηκριβωμένως ἐπίστασθαι αὐτὸν ἐκεῖνον εἶναι τὸν παῖδα τοῦ Μανουήλ, ὑπὲρ οὗ καὶ ἀποθανεῖσθαι αὐτούς. τέλος δὲ ὁ μὲν Σικελός, εἰ καὶ ἐπέγνω, φασί, τὸ ἀληθές, ὅμως πεισμονὴν ἰδίαν ἔχων καὶ τοῦ θρόνου Κωνσταντινουπόλεως ἐφιέμενος, οἱ δὲ ἐθνικοὶ Ἀλεξίου βασιλέως εἴδωλον πρὸ τῆς φαντασίας φέροντες (τὸν γὰρ δηλωθέντα παῖδα ἡ Σικελία ἔχει ἀπελεγχθέντα θρέμμα εἶναι ἀγροῦ) καὶ ἐγκαταστῆσαι τὴν φαντασίαν εἰς βασιλέα τοῖς μεγαλοπολίταις φρυαττόμενοι, κινοῦνται καθ' ἡμῶν θάρσει πολλῷ, καὶ ταῦτα κωλύμης οὔτι μάλα μὴ σταθερᾶς, ὡς ἐξῆν, ἀναφαινομένης ἐκ τῶν κρειττόνων συμβούλων, τοῦ τε ἱεράρχου φασὶ τοῦ κατὰ Σικελίαν Πανόρμου καὶ τοῦ τῆς ἐκεῖσε Μεσσήνης, καὶ ἑτέρων, ὅσοι τὸ δέον συνεώρων, ἀγχινοίας τε στάθμῃ ἀπορθοῦντες ἑαυτοὺς εἰς προόρασιν τοῦ μὴ ἂν ἐξεῖναι τὸν Σικελὸν κόμητα εἰς κοσμικὸν ἐγγραφήσεσθαι βασιλέα, ὅς ποτε τῇ Κωνσταντινουπόλει δοὺξ ὑπέκειτο, καὶ τὸ μηδὲ εὖ ἔχειν λόγου τὴν τῆς μάχης πρόφασιν. τί γάρ, εἴπερ ὁ τὴν Κωνσταντινούπολιν διέπων ἐξαμαρτάνοι φονεύων

15. μὴ] δὴ?

mentis se ad fidem obstrinxerant Manueli et heredi eius Alexio. ductus igitur est etiam ad regem Siculorum subditicius ille imperator. ac redarguebant quidem Alexius Comnenus, qui Siculum irritaverat, et ii, qui eum sequebantur, puerum istum agrestem; sed qui e gentibus erant, perbene et certo nosse se affirmabant, filium illum Manuelis esse, pro quo etiam mortem oppetituri essent. postremo Siculus, etiamsi perspexerat, ut ferunt, verum, tamen suam sibi propriam fidem habens, et solii Cpolitani cupiditate incensus, provinciales autem imperatoris Alexii quasi spectrum animo secuti (puerum enim, de quo diximus, Sicilia tenet originis rusticae convictum) spectrumque id civitati Cpolitanae pro imperatore obtrudere gestientes, bellum adversus nos magna alacritate movent, et quidem minime ita acriter, ut licebat, rem impedientibus primariis auctoribus, pontifice Romano et praesule Panormitarum, Messaniorum, aliis, qui verum viderent, atque mente ad normam rationis directa intelligerent, comitem Siculum, qui quondam dux fuisset Cpoli subiectus, non debere ad imperium promoveri universum, ac ne iustam quidem esse, quae praetenderetur, causam belli. quid enim? si is, qui Cpolim admini-

ἢ τυραννῶν, δίκας ἂν διδοίη τῷ παρεγγράπτῳ ῥηγὶ τῷ ἐν Σικελοῖς; εἰ μὴ ἄρα πᾶσα βασιλεία, παίουσά τι κατὰ βίον, εὐθύνεσθαι κινδυνευτέα πρὸς τοῦ ὠρεγμένου, ὡς εἰ καὶ ἐπαιδαγωγεῖτο ἢ ἐδεσπόζετο.

Καὶ ὅμως τοῦ Κομνηνοῦ Ἀλεξίου ἀπισχυρισαμένου τὴν Κωνσταντινούπολιν παραδοῦναι ῥᾷον τῷ ῥηγὶ Σικελίας, ὡς εἰ καὶ ἐν χεροῖν αὐτὴν ἔσφιγγεν ὁ ἀπάλαμνος, γίνεται κίνησις πολυεθνὴς ἐπιλεγομένη τῷ Σικελῷ καὶ αὐτὸν προγράφουσα κεφαλαιωτήν, καὶ ἐκκενοῦνται θησαυροὶ τῷ μηδὲ μεγάλας οὕτω τι τὰς προσόδους ἔχοντι. καὶ τῇ μὲν θαλάσσῃ ἐπίστευσε νῆας μακρὰς ἑτεροίας τε καὶ ἱππαγωγοὺς ὑπὲρ τὰς διακοσίας, τῆς δὲ γῆς κατεκρόαινεν ἱππικὸν ἐπίλεκτον, οὐ μόνον
283 ἐξ ὧν συνεκροτεῖτο αὐτός, ἀλλὰ καὶ ἄλλο παντοδαπὸν συμμαχικόν. καὶ λέγεται ὡς ἑκατόν ποθεν λόγου χάριν ἐπιρρεόντων εἰς συμμαχίαν, καὶ αὖ ἑτέρωθεν πλειόνων ἢ καὶ τοσούτων ἢ καὶ εἰς ἔλαττον ὑποβιβαζομένων, βραχεῖς τινὰς ἐκεῖθεν ἀποκρίνων τοὺς λοιποὺς ἐξηθέριζε. καὶ ἦσαν οὕτως αὐτῷ οἱ ἱππόται οἷοι ἀλαζονεύεσθαι κατὰ τὴν ἐν αὐτοῖς φύσιν τριηκοσίων ἀνδρῶν ἕκαστος ἄντα κατὰ πόλεμον στήσεσθαι, οὐδὲν ἀπεοικότες οὐδ' αὐτοὶ τοῦ Κομνηνοῦ, ὃς μόνος ἐδόξαζε τὴν τοσαύτην βασιλείαν ταχὺ καταλήψεσθαι, βραχὺ κατ' αὐτῆς παρακαλπάσας τὸν ἵππον, καὶ κατακτήσεσθαι αὐτὴν χειρισάμενος ὡσεὶ καὶ στρουθοῦ φωλεόν, λόγῳ μὲν τῷ

19. ἂν τὰ T

strat, caede vel violentia peccaverit, poenasne dabit fraude provecto regi Siculo? scilicet, nisi forte omne imperium, si iacturam fecerit morte regis, suscipiendum est cuicunque placuerit, quasi paedagogo et domino egeat.

Sed tamen Alexio Comneno adseverante, facile se Cpolim traditurum regi Siculorum, quasi manibus eam torqueret nequam iste, ingentes ex variis gentibus copiae Siculo parantur, quem sibi summum ducem adoptant, exhauriturque aerarium eius, quod reditus non ita magnos habebat. ac mari quidem naves longas tum alias tum equis repletas commisit plus ducentas, terram autem terebat equitatu praestabili, non solum ab ipso conscripto, sed etiam alieno auxiliari vario. ferunt autem, quum centum, ut hoc utar, alicunde advenissent auxilium laturi, aut aliunde plures vel totidem vel denique pauciores, admodum paucos ex iis delectos, ceteros reiectos esse. erantque tam generosi equites, ut gloriarentur, pro virtute sua se singulos adversus trecentos bello dimicaturos esse, nihil illi dissimiles Comneni, qui sibi videbatur tantum solus imperium, aliquantisper equo ad urbem advectus, expugnaturus esse et tanquam passeris latibulum in pote-

Σικελῷ, ὃν καὶ γνησίως αὐθέντην ἐπεγράφετο, ψυχῇ δὲ ἑαυτῷ. ἐνδάλλετο γὰρ (οὐκ οἶδαμεν ὅπως), καθὰ καὶ προεξεθέμεθα, ἅμα τε ἐκφαίνεσθαί που, καὶ πάντας εὐθὺς τοὺς Ῥωμαίων ὀφθαλμοὺς εἰς αὐτὸν ὡς ἥλιον ἐπιστρέφεσθαι καὶ αὐτοῦ μόνου γίνεσθαι.

Ἐξεῖρψεν οὖν ἡ Λατίνη γῆ πλῆθος οὕτω πολὺ στρατιᾶς, ἀφ' ἱκανοῦ ἡμᾶς ἐκφοβοῦν. καὶ γίνονται πάντες τῆς Ἰλλυριῶν ἠπειρώτιδος, ἣ τερματίζει τὰ Ῥωμαίων εἰς τὸν Ἀδρίαν κόλπον· καὶ περισχόντες τὴν τῶν ἐκεῖσε μητρόπολιν, τὸ Δυρράχιον, ἀπονητὶ ἀποχειροῦνται καὶ ὡς εἰπεῖν αὐτοβοεί, κατὰ μὲν τὸν Ἀνδρόνικον φάναι προδεδομένην ὑπ' ἄλλων εἰς τὸ πᾶν (οὕτω γὰρ ἐκεῖνος ἐθεράπευε τὰ κατ' αὐτόν, οὐχ ἑαυτῷ ἀλλ' ἑτέροις ἐπιγράφων ἃ ἐδυστύχει δι' αὐτὸν ἡ Ῥωμαΐς γῆ), πρὸς δὲ ἀλήθειαν ὑπ' αὐτοῦ ἐκείνου πρόδοτον. καὶ γάρ τοι πρὸ βραχέων χρόνου Ῥωμανόν τινα στεῖλας, ὃν ὁ καλὸς Ἴστρος φαύλην ἀπόρροιαν ἐναπερευξάμενος εἰς Κωνσταντινούπολιν γαμβρὸν ἐκείνῳ ἐφυλάξατο ἐν τοῖς τότε καιροῖς, τοὺς ἐν τῷ Δυρραχίῳ ἀνθοῦντας ἐμάρανε πλούτου ἔρωτι, ὁποῖος ἐκεῖνος, πλουτῶν ἄντικρυς τὰ τοιαῦτα, μὴ κορεννύμενος. κἀντεῦθεν ἡ πόλις κακυνθεῖσα καὶ μὴ πάνυ γενναίως ἀντισχοῦσα ἑάλω, καὶ μαλακῶς ἔπαθεν ἐμπρησμοῖς τε καὶ λοιποῖς κακοῖς, ὁπόσα φιλεῖ ἀνδρίζεσθαι πόλεμος οὐ στη-

statem, ut simulabat quidem, Siculi, quem sane principem sibi ferebat, sed revera suam ipsius, redacturus esse. etenim nescio, quomodo factum sit, ut opinaretur, quemadmodum supra exposuimus, simulatque apparuisset, omnium statim oculos Romanorum in semet ut solem conversum iri et sibi soli inhaesuros esse.

Emisit igitur terra Latina tantam militum multitudinem, quae satis nos terrefaceret. congregati omnes in Illyriorum agros, quibus imperium Romanum ad sinum Adriaticum terminatur, obsident eius regiones urbem Dyrrhachium, ac facili opera et sub manum, ut ita dicam, expugnant, proditam, ut Andronicus quidem dicebat, ab aliis omnino (solebat enim ita ille res suas constituere, ut non sibi, sed aliis attribueret, si quid detrimenti per eum cepisset terra Romana), sed revera ab ipso proditam. etenim paulo ante misso Dyrrhachium Romano quodam, quod tetrum eiectamentum Cpolim delatum pulcher iste Ister generum Andronico ad illud tempus asservarat, exhauserat subinde opulentiores incolas habendi cupiditate, qua erat, quantumvis isto modo ditescens, insatiabili. unde depravata nec admodum generose renisa civitas ea capta, et muliebriter incendiis ceterisque malis passa est, quae bello infligi solent, quod non cessaturum, sed progressurum et reliquos deinceps terrore percussurum erat. ita igitur

σόμενος ἀλλὰ προβησόμενος καὶ ἑκστήσων φόβῳ τοὺς ἑφεξῆς. οὕτω δὲ ἐαλωκυῖα ἡ τοιαύτη πόλις ἐθρόησε μὲν εἰς πολὺ καὶ ἡμᾶς καὶ ὅσοι δὲ ἄλλοι το εὐεπιχείρητον τοῦ ἐκεῖ δυσπραγήματος ἔμαθον· οὓς ἐλύπει καὶ ἡ τοῦ ἀγαθοῦ στρατηγοῦ Ἰωάννου τοῦ Βρανᾶ κατάσχεσις, ὃς οὐ πολὺν περικεί-μενος στρατόν, καὶ ὅμως εἰς φυλακὴν τοῦ φρουρίου παραβυσθεὶς φόβῳ τοῦ βασιλέως Ἀνδρονίκου, μὴ καὶ προδότης ἐπικληθεὶς καὶ εἰς χεῖρας ἐκείνῳ πεσὼν ἀπαχθείη τοῦ ζῆν, παρήχθη τῇ τῆς πόλεως ἁλώσει εἰς Σικελίαν αἰχμάλωτος.

Καὶ ἐξεφόβει μὲν οὕτω τοὺς πέριξ μέχρι καὶ ἐς Θεσσαλονίκην τὸ οὕτω ταχὺ τῆς ἁλώσεως ἐκείνης, καὶ ὅτι, καθά τις ἂν εἴποι τὸ τάχος τοῦ κακοῦ ἐνδεικνύμενος, θατέρῳ μὲν τοῖν ποδοῖν ἕκαστος τῶν πολεμίων ἐπέβη τῆς Ἰλλυριῶν γῆς, θατέρῳ δὲ κατενεπήδησε τῆς ἐχυρωτάτης ἐκείνης πόλεως. ὅτι δὲ καὶ τὰ ἐκεῖθεν ἕως καὶ ἐς τὴν καθ' ἡμᾶς Μακεδονικὴν οὐδὲν αὐτοῖς ὁδοῦ προσέστη σκῶλον εἰς ἐμπόδιον, ἀλλὰ τοῦτο τὰς ἁπάντων ψυχὰς ἑτοίμους ἔστησε τῶν κατ' αὐτὰς ἀπαλλάττεσθαι σωμάτων, οἷς ἐταράχθησαν. οὐκ ἔστι γὰρ ὅπου συνήντετό τι δεῖμα ἐκείνοις, οὐ μέγα, οὐ μικρόν, οὐ μέσον· ἀλλ' ὡς διὰ λείων πεδίων ποταμὸς πλήθων, ἐκεῖνος ὁ πεζὸς κατέρρεε στρατός, ἕως ἡμῖν συνέμιξεν ἄσκυλτος. ὁ δέ γε ναυτικὸς τὴν οἰκείαν τραπόμενος ἔπλεε συνελευσόμενος ἐν καιρῷ μεριταις καὶ κορυφώσων ἡμῖν εἰς μέγα τὸ κακόν. καὶ

captum tale oppidum vehementer et nos afflixit et quicunque alii cognoverant, quam levi opera ea clades nobis illata esset: quos sollicitabat etiam egregii ducis, Ioannis Branae, captivitas, qui haud magna stipatus manu, et tamen in arcem coactus, ut defenderet eam, metu imperatoris Andronici, ne proditionis crimine in manus eius incideret et vita privaretur, urbe expugnata, captivus in Siciliam abductus est.

Terrebat igitur gentes finitimas Thessalonicam usque tam praepropera urbis illius expugnatio, et quod unusquisque hostium, ut quis dixerit ad significandam mali velocitatem, altero pede in terra Illyrica constiterat, altero transsiluerat in urbem illam firmissimam; quodque ex illa inde regione usque in hanc nostram Macedoniam ne palus quidem illis impedimento erat itineris, sed ista res cunctorum animos paratos fecerat ad relinquenda corpora: adeo omnes perturbati erant. etenim nusquam illis terriculum se obtulit, nec ingens nec exiguum nec mediocre: sed, velut per planitiem fluvius tumidus, exercitus ille terrestris volvebatur, donec ad nos delatus est incolumis. copiae navales autem sua via proficiscebantur, ut iungerentur ad tempus sociis, et cumularent miseriam nostram; appuleruntque diebus

υστέρησε τοῦ πεζοῦ ἡμέρας τινάς, εἰς ἔνδειξιν οἶμαί τινα τῆς τε καθ' ἡμας οὐθενείας τῆς τε κατ' αὐτοὺς ἰσχύος, ταύτης μὲν ὡς, εἴπερ ὁμοῦ ἐπῆλθον ἡμῖν, οὐκ ἂν οὐδὲ γοῦν μίαν ἡμέραν ἀντέσχομεν, ἐκείνης δέ, ὅτι καὶ μόνον τὸ πεζὸν τοῦ στρατοῦ περικαθήμενον ἔχοντες οὕτως ἀρετῶντες ἦμεν τῷ φαύλῳ στρατηγῷ ὡς μηδεμίαν ἐκδρομήν τινα κατ' αὐτὸν γενέσθαι στρατιωτικήν, ἀλλὰ φυλάττεσθαι τῷ ῥηγὶ τοὺς ἐκείνου εἰς ἀδνούμιον ἀπρονόμευτον καὶ οἷον μὴ παθεῖν κολόβωσιν.

Καὶ ὁ μὲν πεζὸς λαὸς περιεκάθισε καθ' ὥραν ἀρίστου τὴν καθ' ἡμᾶς πόλιν, Αὐγούστου μηνὸς ἄγοντος ἕκτην ἡμέραν, καθ' ἣν ἡ ἔνδοξος κοίμησις τῆς παναγνου θεομήτορος μνημονεύεται. καὶ τότε δὴ οὐκέτι φευκτὰ ἦν ἡμῖν, ἀλλ' οἱ ἀγχινούστεροι προεωρῶντο οἷα πείσονται, ὅπου γε οὔκουν ὀλίγοι καὶ πρὸ τούτων συνεώρων τὸ μέλλον, πολλαχόθεν αὐτὸ τεκμαιρόμενοι. ἡμεῖς γοῦν φθάσαντες τὴν τῶν πολεμίων ἔφοδον, τοὺς ὅσοι μεθ' ἡμῶν τῆς Κωνσταντινουπόλεως ἦσαν τέκνα ἐξεστείλαμεν εἰς τοὺς ἑαυτῶν, οὐ μόνον ὁδοπόριον ἐνδαψιλευσάμενοι ἀλλά τι καὶ τῶν ἐς χάριν βαθυτέρας γνώμης, ὡς αὐτοὶ θανάτῳ ἀπολούμενοι. καὶ τῶν ἐν Θεσσαλονίκῃ δέ τινας, οἷς οὐδὲν ἦν ἔργου ἀλλ' ἢ μόνον φόβος, βουλὴν αἰτήσαντας οὐκ ἐκρυψάμεθα ὃ δειλιᾶν ἡμῖν ἐπῆλθε, καὶ παρωρμήσαμεν φυλάξασθαι, καὶ ἐφυλάχθησαν. καὶ ἦν μὲν τὸ πρᾶγμα καὶ ἡμῖν ἐφετὸν οἷα ἐθελοψυχοῦσιν, ἐπεσχέθημεν δὲ

aliquot post terrestrem exercitum, quod documento esset nostrae infirmitatis, illorum potentiae, huius quidem, quod, si simul nos invasissent, ne unum quidem diem restitissemus, illius autem, quod a solo exercitu terrestri obsessi ita generosi eramus cum malo isto duce, ut, nulla adversus illos eruptione facta, regi asservarentur milites, centuriis integris nec ulla clade afflictis.

Exercitus terrestris igitur sub prandium urbem nostram obsedit, mensis Augusti die sexto, quo die memoria venerabilis assumtionis sanctissimae deiparae celebratur. ac tum quidem non iam effugere poteramus, praevidebantque intelligentiores, quae passuri essent, quum haud pauci profecto iam ante futura praesensissent, multis ducti indiciis. nos certe ante adventum hostium adolescentes, qui Cpoli oriundi nobiscum erant, ad suos ablegavimus, non solum viatico eos benigne prosecuti, sed etiam largiti nonnihil pro animi sententia reconditiore, tanquam ipsi mox vita defuncturi. ac Thessalonicensium quoque nonnullos, quibus nihil negotii praeter metum erat, consilium rogati non celavimus, quae nos formido incessisset, sed cohortati sumus, ut saluti suae consulerent: ac consuluerunt sane. eratque idem nobis quoque optabile ut vivendi cupidis, sed prohibeba-

δυοῖν ἕνεκεν, ὡς δοκεῖν· οὔτε γὰρ ὁ στρατηγὸς προεθυμήθη σωθῆναι ἡμᾶς δι' αἰτίαν ἣν ὡς θυμοσόφῳ ἐκείνῳ εἰδέναι μόνῳ κεχάρισται· ὁ λαὸς δὲ τοῦ θεοῦ ὁ ἐνταῦθα μὴ ἂν ὑπολιπέσθαι εἰπών, εἰ καὶ ἡμεῖς ἐκδράμωμεν φυγαδίαι, ἔκλεισεν ἡμῖν οὕτω τὰς πύλας τοῦ σωθῆναι βούλεσθαι. καὶ τοῦτο
284 μὲν τὸ φαινόμενον· ἃ δὲ ὁ θεὸς ἐνταῦθα ἤθελεν, ἕτερα ἦν, ἓν μὲν τὸ παιδεύσειν ἡμᾶς ἀνθ' ὧν αὐτῷ προσεκρούομεν, δεύτερον δὲ τὸ φιλανθρωπεύσασθαι εἰς τὰς τοῦ Ἀνδρονίκου χεῖρας βαλεῖν ἡμᾶς. ἐρώμη γὰρ ὡς, εἴγε τῆς πόλεως ταύτης εἰς ὅσον βραχύ τι προεποδίσαμεν, οὐκ ἂν ἐζήσαμεν, ἀλλ' ὁ τῆς ὀργῆς αὐτοῦ τρυγίας ἐναπηρεύχθη ἂν εἰς ἡμᾶς. εἰ δέ τι καὶ τρίτον ἦν θεοῦ ἐνταῦθα σκέμμα, τὸ ἡμᾶς παραμείναντας πρὸς ἀγαθοῦ τινὸς ἀποβῆναι τοῖς περισεσωσμένοις ἀδελφοῖς, ἐδιδάχθησαν οἱ πεπειραμένοι σὺν θεῷ. καὶ ἦν ἡμῖν τοῦτο τὸ παράμονον οὐ κατ' ἐκεῖνο τὸ παλαιότερον, ὅτε νῆες μὲν ἀποστατικαὶ Λατινικαί τινες ἐφ' ἡμᾶς ἐκ Βυζαντίου ἀρχέκακοι ἐπλωΐσαντο, κατὰ τοῦ Ἀνδρονίκου καὶ αὗται συμπεπνευκυῖαι, ἡμεῖς δὲ παρεμένομεν. ἀλλ' ἐκεῖνο μὲν καὶ πρόβαν ἐνέφαινε τῶν ἄρτι, δοκιμάζουσαν οἷα οἱ Λατῖνοι ἐπαγωνίσονται ἡμῶν καθιππάσασθαι, καὶ φόβον εἶχεν οὐ πολύν· τὰ δὲ νῦν οἴμοι ὡς ἡμῖν ἀπέβαινεν ὑπερλίαν καὶ ἐναγώνια καὶ φοβερά.

14. περιπειράμενοι T

mur duabus de causis, ut videtur. etenim nec dux servari nos voluit propter causam, quam ipsi ut viro sapienti cognovisse contigit, et plebs ecclesiae urbana, remansuram se negando, si nos abissemus profugi, fores nobis praeclusit, ne fuga salutem quaereremus. atque hoc quidem in conspectu erat. sed quae deus tunc agebat, alia erant: qui partim castigare nos vellet pro iis, quibus a nobis offensus esset, partim commiserari, ne in manus Andronici committeremur. manifestum est enim, si ex hac urbe parumper processissemus, non iam nos victuros fuisse, sed vetus illius in nos erupisset odium. enimvero, si tertium quoddam deo tum consilium erat, salutem nostram haud insalubrem fuisse conservatis fratribus, cognoverunt, qui cum gratia divina tentati sunt. nec nobis accidit haec mansio ut olim, quum naves Latinae aliquot seditiosae iniuria nos lacesserent, adversus Andronicum quoque conspiratione facta, nosque remanendum nobis esse putaremus. sed fuit illud nobis specimen eorum, quae modo evenerunt, quo appareret, quantas Latini nobis pugnas turbasque paraturi essent, nec vero magnum incussit terrorem; praesentia autem quam nobis nimio plus calamitosa et terribilia exstiterunt!

Ἀλλὰ ταῦτα μὲν ὡς ἐν παρεκδρομῇ τινὶ λόγου γεγράφαται, τὴν δὲ πόλιν συνεῖχεν ὡς οἷον ἐν ἀγκάλαις ὅ τε καθ' ἵππους ὅ τε κατὰ τὰς νῆας στρατός, καὶ ἡ τοῦ στρατηγοῦ ἀβελτηρία ἐνταῦθα μάλιστα διεφαίνετο, μηδὲ τὰ πρῴην ἄδηλος οὖσα, ὡς ἡ συγγραφὴ ἐν ὀλιγίστῳ διαδείξεται. τὰ πρῶτα μὲν γάρ, τῶν πολεμίων οὐ μακρὰν ὄντων, βιασάμενοί τινες τῶν στρατιωτῶν ἀνδρίσασθαι (ὁ γάρ τοι στρατηγὸς δεινὸς ἦν κοιμᾶσθαι) ἀφώρμησαν, καὶ συνέσχον ἕνα τινά· ὃν καὶ λαμπρῶς περιδύσαντες τὰ στρατιωτικά, οὐκ ἐκ τῶν ἐκείνου (ψιλὸς γὰρ ἦν) ἀλλ' ἐκ τῶν παρ' αὐτοῖς, ἐπόμπευόν τε διὰ μέσης τῆς πόλεως καὶ ὡς μέγαν τινὰ ἐλόντες ἐκύδαινον. καὶ γραφὴ εὐθὺς τοῦ καὶ στρατηγοῦ καὶ δουκὸς εἰς τὸν βασιλέα, ὡς εὐτυχῶς ἡμῖν τὰ εἰς μάχην φέρεται. ἡμέρα μετὰ ταύτην δευτέρα, καὶ μετεξέτεροι στέλλονται, καὶ αἱροῦσιν οὐκέτι οὐδ' ἄνθρωπον, ἀλλὰ δύο ἱππάρια δυστυχῆ καὶ σκίασμα στρατιώτου κεφαλῆς· ὁ γὰρ τοῦτο ἔχων διεκπέφευγε, προπάμενος οἷον εἰς λύτρον αὐτὸ τοῖς ἐπιδιώκουσιν. καὶ αὐτίκα θρίαμβοι πάλιν ἐν τῇ πόλει, καὶ τὰ αἰχμάλωτα ἱππαρίδια περιεβλέποντο, οἷα μέγα ὂν ὅτι περ αὐτὰ εἶλον, καὶ τὸ σκιάδιον ἐπὶ σημαίας ἤρτητο καθά τι κορυφαῖον σκύλευμα. καὶ γράμμα πάλιν τοῦ δυσαριστέως παρὰ τὸν βασιλέα, ὡς εὐτυχοῦμεν τὰ κατὰ πόλεμον. ὡς δὲ ἐκεῖθεν ἐρεθισθέντες οἱ

13. ἡμέρᾳ — δευτέρᾳ T 19. μέγαν T 21. περὶ T

Sed haec quidem quasi degrediente oratione scripta sunt. urbem interim tanquam amplexu tenebant terrestres et navales copiae, ducisque ignavia insanabilis tum praecipue elucebat, quamquam nec prius latuerat, ut narratio nostra iam declarabit. primum enim, quum haud longe hostes abessent, milites nonnulli impetrarunt, ut pugnarent (dux enim ipse eximius erat ad dormiendum), et urbe egressi comprehenderunt aliquem ex hostibus: quem splendide armis, non ipsius (quippe nudus erat), sed suis ornatum per mediam urbem ducebant et tanquam captivum illustrem ostentabant gloriosius. hinc statim ducis ad imperatorem literae, bene nobis bellum procedere. illuxerat dies post illum secundus, quum nonnulli mitterentur caperentque non iam hominem, sed duos miseros equulos et galeam militis: quam qui gesserat, ipse effugerat, galea tanquam pretio libertatis persequentibus proiecta. illico rursus triumphi per urbem aguntur, spectanturque capti equuli, tanquam magnum quid esset, quod eos cepissemus, atque supra signum militare galea extollitur velut spolia opima. ac literae rursus principis miserabilis ad imperatorem dantur, prospere res adversus hostes geri. sed quum inde irritatae terrestres hostium copiae vesparum instar in nos involarent (prius

κατὰ γῆν πολέμιοι, καθὰ καί τινες σφῆκες, ταχὺ καθ' ἡμῶν ἐπιερύξαντο (τὰ γὰρ πρὸ τούτων ἀνεβάλλοντο, καραδοκοῦντες τὸ ναυτικὸν κατά τι σύνθημα) καὶ τὴν πόλιν ἐκ τῶν δυσμόθεν μεγάλων πυλῶν ἕως καὶ ἐς ὅλην τὴν ἀκρόπολιν ἀκηρυκτεὶ ἐπιδραμόντες ἐκυκλώσαντο, γίνεταί τις ἐκεῖ ἐκδρομὴ δύο μὲν Λατίνων ἱππέων ἐκ τοῦ τῶν Πρεβεντζούνων ἔθνους, ὃ δὴ πολὺ καὶ τεθαρρημένον τῷ Σικελικῷ στρατῷ παρείπετο, πλειόνων δὲ ἐν τῶν ἡμεδαπῶν· ὑπὲρ τοὺς δέκα γάρ. καὶ πίπτει μὲν οὐδείς, ἐναγώνιοι δὲ οἱ Λατῖνοι διεκφεύγουσι τὸ πεσεῖν. καὶ πάλιν ἀναφορὰ εἰς τὸν βασιλέα τρίτη, ὡς τῇ βασιλικῇ εὐχῇ τε καὶ εὐτυχίᾳ νενικήκαμεν καὶ τὸν τρίτον πόλεμον, οὐκ οἶδα τίνων περιγενόμενοι. καὶ ἤθελε μὲν ὁ στρατηγὸς τὰς τρεῖς ταύτας αὐτοῦ νίκας ἐνὶ ἐπιστολίῳ περιλαβεῖν, φειδοῦ δαπάνης καὶ δρομικῶν ἵππων· ἐγκρατὴς γὰρ ἦν χειρῶν ἀληθῶς ὁ ἄνθρωπος. ἀλλὰ προεκαλεῖτο τὸν καλλίνικον εἰς τὸ δαπανῆσαι τὸ ἐθέλειν κατὰ τοῦ βασιλέως γελᾶν, καὶ ἦγεν αὐτῷ πρὸς ἀνάγκης τὸ πρᾶγμα. ἐκεῖνός τε γὰρ ἐμίσει τοῦτον, καθὰ καὶ τοὺς λοιποὺς ὅσοις τὸ γένος ἔλαμπε· καὶ αὐτὸς δὲ ἀντέστρεφε τὸ μῖσος πρὸς αὐτὸν οὐ μακρὰν τοῦ ἀνάλογον. ὅς γε καὶ ἀνεφθέγγετο δεδιέναι καθ' ἑκάστην μήποτέ τις αὐτῷ ἐκ μεγαλοπόλεως ἐπιπετασθείη ἐξορύξων τοὺς ὀφθαλμούς, καί ποτε καὶ τοιάδε ἔφη φῦναι μητρός, κακολογήσας θυμῷ τὴν τιμίαν ἐκείνην, ἐὰν εἰς Κωνσταντινούπολιν ἀναστραφείη. ὅθεν καὶ διεδήλου ὡς ἄλλην

11. πρῶτον T

enim cessaverant, opperientes classis ex composito adventum), et urbem a magna porta septentrionali ultra arcem usque nullo misso praecone adortae oppugnarent, fit ibi concursus duorum equitum Latinorum e Brabantinorum gente, qui frequentes et audaces in exercitu Siculo erant, cum manu longe maiore nostrorum militum: erant hi enim plus decem. verum nemo cecidit, sed pugnando Latini mortem effugiunt. rursus nuntius ad imperatorem tertius mittitur, imperatoris auspicio et fortuna primo etiam proelio nos vicisse, nescio quibus hostibus superiores factos. ac comprehensurus erat dux noster tres suas victorias epistola singulari, quo pecuniae et veredis parceret: temperabat enim revera manibus iste homo: sed incitabat ad impensas pulcrum istum victorem, et quasi necessitate cogebat, irridendi imperatoris cupido. namque oderat eum imperator, sicut reliquos quotquot genere illustri erant; nec admodum modus discrepabat, quo ille odium rependebat, dicere solitus, timere se quoditie, ne quis Cpoli advolaret, qui oculos sibi effoderet; quin etiam iuratus quondam, illa se matre natum, venerandae convicians deiparae,



τινὰ τραπέσθαι αἱρήσεται, καὶ μείζονος κακοῦ ἀνθελέσθαι τι βραχύτερον, καὶ τοῦ ζῆν ἐξ ὀφθαλμῶν προθέσθαι ὃ ἄν τις εἴποι κακόν.

Οὐκοῦν καὶ μεθώδευε τὸ τοιοῦτον, καὶ οὐ βαθείᾳ ψυχῇ μεριμνῶν τὰ κατὰ πόλιν ἀνέπειθε τὸν Ἀνδρόνικον εὖ μάλα τεχνικῶς ὡς εὖ ἔχουσι τὰ καθ' ἡμᾶς, καὶ ὡς περιπεποίηται ἡ πόλις ἄριστα καὶ οὐδὲν αὐτῇ τῶν δεόντων ἐνδεῖ, οὐ πύργων ἀσφάλεια, οὐ πετροβόλοι μηχαναί, οὐ τειχῶν ἐπιποίησις, οὐ περιτειχίσματος ἐρυμνότης, οὐ πλῆθος καὶ κάλλος ὑρμάτων, οὐκ ἄλλο οὐδέν, ψευδῆ μὲν γράφων πρὸς τὸ ἑαυτῷ μόνῳ συνοῖσον καὶ ἀνεξέλεγκτα, ὅτι μηδὲ ἦν τις ὁ εἴτε εἰδὼς ἅπερ ἔγραφεν εἴτε λαλῶν εἴτε λαλεῖν τολμῶν, πείθων δὲ ἐκεῖνον οὐκ εὐτυχῶς ἡμῖν. πεπραγμάτευτο γὰρ θάρρος ἐμβαλεῖν τῷ βασιλεῖ περὶ ἡμῶν, ὡς οὐκ ἄν τι κακὸν πάθοιμεν, ἵνα καφαλὴ μόνος αὐτὸς ἐφίσταιτο τοῖς ὧδε, καὶ μή τινι ἑτέρῳ ἐπιτραπείη τὰ τῇδε, οἵῳ περισώσασθαι ταῦτα, καὶ οὕτω τῆς ἀρχῆς αὐτόν ποτε παραλυθῆναι καὶ εἰς χεῖρας τῷ Ἀνδρονίκῳ περιτυχεῖν, ὑφ' ὧν καὶ πάλαι ἂν συνετρίβη, εἰ μὴ ὁ σεβαστοκράτωρ Μανουὴλ ἀγαθὰ λαλῶν καὶ μέσος πίπτων γυναικείου λόγῳ αὐτὸν περιεσώζετο, οὐ πρὸς γαλήνην ἡμῖν ἀλλ' ὡς εἰς τυφῶνα τὸ πᾶν κυκήσοντα. καὶ ἐς τοσοῦτον περιῆλθε 285
πανούργως τὸν βασιλέα ταῖς τοιαύταις μεθόδοις ὁ δοὺξ οὐ-

7. αὐτὴ T

si Cpolim reveteretur: quo etiam significabat, alio potius se abiturum, et prae calamitate maiori praeoptaturum minorem, et malle se, quam oculis privatum vivere, malo quocunque affligi.

Itaque talia ille secum agitans, nec admodum curae sibi habens salutem urbis, persuadebat callide Andronico, bene res nostras habere et urbem optime instructam esse, nec deesse quidquam necessarium, non turrium firmitatem aut ballistas, non murorum moeniumque munimenta, non currus frequentes praestantesque, nec ullam rem aliam: quae mendacia quidem erant, ad ipsius solum commodum conficta, nec tamen confutari poterant, quia nemo erat, qui aut nosset ea, quae ille scribebat, aut loqueretur aut auderet loqui, sed credibilia omnia ista erant imperatori, haud profecto nobis feliciter. hoc enim dux noster agebat, ut imperatori bonum de nobis animum faceret, tanquam nihil undecunque afflictis, quo solus rerum caput esset, neve civitas nostra committeretur alii, qui servare eam posset, ipse loco motus in manus Andronici incideret, quibus iam pridem contritus fuisset, nisi Manuel sebastocrator placando et interveniendo mulierculae causa illum servasset, haud consulens tranquillitati nostrae, sed tempestatem excitans cuncta turbaturam. atque ita calli-

τος, ὡς καὶ εὐχαριστίαν αὐτῷ γραφῆναι πρὸς τοῦ ἀμειλίκτου καὶ μὴ εἰδότος, οἶμαι, ὅπερ ἔστι χάρις. διὸ καὶ τῇ εὐχαριστίᾳ ὑπεσμύχετό τις καυτήρ. ηὔχετο γὰρ ἡ βασιλικὴ γραφὴ ἐχόμενα τῆς χάριτος οὕτως "γένοιτο δὲ καὶ ἐπὶ τὰ ἑξῆς τὴν τοιαύτην εὐχαριστίαν φυλάττεσθαί σοι," αἰνιττομένη ὡς μικρὸν ὅσον, καὶ οὐ παραμενεῖ. ὃ καὶ γέγονεν· ἑάλωσαν γὰρ δι' αὐτὸν ὡς ἐπὶ θανάτῳ ἐκεῖ καὶ ἡ τούτου μήτηρ καὶ ὁ ἀδελφός, οὐδὲν αὐτοὶ ἁμαρτόντες.

Καὶ τοῦτο μὲν μετ' οὐ πολὺ εἰς ἐκείνους· αὐτὸς δὲ τέως ἰσχύων κατὰ τῆς ἡμῶν ἀπωλείας, καὶ διὰ τοῦτο ἐνσκιρώσας τῇ τοῦ βασιλέως ψυχῇ ὡς αὐταρκεῖ οὖτος τὰ ὑπὲρ τῆς πόλεως, ἴσχυσε πεῖσαι τὰ εἰς ἡμῶν ὄλεθρον. ἔστειλε μὲν γὰρ ὁ βασιλεὺς προμηθικώτερον στρατιὰν ἐπὶ ἀμύνῃ τῶν καθ' ἡμᾶς, πεποιθὼς δὲ οἷς ἐκ τοῦ Δαυὶδ ἀπεκλανᾶτο, παρηγγυήσατο μήτε εἰς τὴν πόλιν αὐτοὺς κατωδύσεσθαι μήτε μὴν τοῖς πολεμίοις δόμοσε χωρῆσαι γενομένους ἐν χρῷ μάχης, ὡς ἐντεῦθεν ἡμᾶς μέν, μὴ εἰδότας ἐπικουρίαν ἐκ τῶν ἐσταλμένων, παραδοκεῖν καὶ ἐκκρέμασθαι τῆς εἰς ἐκείνους ἐλπίδος, αὐτοὺς δὲ ἀναιμωτὶ ζῆν, ἀφοσιουμένους τηνάλλως τὸ εἰς ἡμᾶς ἐπικουρικόν. ἦσαν δὲ συχνοὶ ἐκεῖνοι, ὁ τῶν ἀνατολικῶν μέγας δομέστικος Γίδος, ὁ Παλαιολόγος Ἀνδρόνικος, ὁ Καμύτζης Μανουήλ, ὁ Χοῦμνος καὶ ἕτεροι. ἐπέρρευσε δὲ αὐτοῖς ἐς

19. ἀφοσιωμένους T

de imperatorem artibus illis decepit dux noster, ut etiam gratiae illi literis agerentur ab implacabili illo et ignaro, opinor, quid esset gratia. unde sub gratia illa gliscebat scintilla quaedam. precabatur enim imperatoria epistola, quae ad gratiam illam pertinebant, his verbis "ac fiat, ut in posterum quoque ea tibi gratia servetur" significans, non diu fore, quum peritura esset. id quod sane evenit. capti enim et morti destinati sunt illius causa mater et frater eius, qui nihil ipsi commiserant.

Atque hoc quidem non multo post illis accidit: ipse autem ad perniciem nostram tunc validus et propterea in imperatoris animo confirmare conatus hanc opinionem, satis se tueri posse urbem, obtinebat, quae nobis exitio futura essent. misit enim imperator prudenter exercitum ad defendendam urbem nostram, sed confisus nuntiis, quibus a Davide dicipiebatur, vetuit eos aut urbem intrare aut pugnam cum hoste committere, ita ut nos tum, haud sentientes ex illis auxilium, frustra praestolaremur ope eorum confisi, ipsi caede abstinerent et placide viverent, inanem nobis et dicis causa opem ferentes. erat autem eorum magnus numerus, Gidus, magnus domesticus orientis, Andronicus Palaeologus, Manuel Camytzes, Chumnus,

παντελῶς ὕστερον καὶ ὁ τῷ βασιλεῖ πάνυ ἐγγύς, ὁ παρακοιμώμενος Νικηφόρος, ὃς γράμμα στείλας πρὸς τὸν δοῦκα Δαυὶδ ἔθετο τρόπον ἄλλον τὰ χείλη αὐτοῦ κατ' οὐρανὸν καὶ τὴν γλῶσσαν ἀφῆκε διέρχεσθαι περὶ γῆν. ἔφατο γὰρ μήτε τὸν οὐρανὸν ἄστροις ἐνευθηνεῖσθαι τοσούτοις μήτε τὴν γῆν ἄμμῳ τοσῇδε πλήθειν ὁπόσος αὐτῷ στρατὸς ἐφέπεται, προσεπιλαλῶν καὶ ὑποδεδοικέναι μή ποτε οἱ Λατῖνοι ἐκπευθόμενοι ὅσην ἰσχὺν περιβέβληται φευξοῦνται, καὶ μενεῖ αὐτὸς κενὸς τοιαύτης ἄγρας. ἔγραψεν αὐτὸς τοιαῦτα, καὶ ἡμεῖς ἐπιστεύσαμεν· τὸ γὰρ ἐπὶ σωτηρίᾳ βουλόμενον τῆς ψυχῆς ἕτοιμον ἦν πρὸς πειθώ.

Καὶ οὕτω μὲν τὰ ἐκ τῶν βασιλικῶν ἀποστόλων ἐψεύδοντο ἡμᾶς· τὸ δὲ πολέμιον ἐπελθὸν τό τε ξηρᾶθεν καὶ τὸ ἐκ θαλάσσης ἐξηρτύετο κατ' ἐπιστήμην εἰς μάχην. καὶ οἱ μὲν ἐκ τῶν δυσμικῶν ἄλλα ἐποίουν καινά τινα κατὰ νόμους ἑλεπόλεων, αἷς διὰ τὸ ἐκ μεγέθους δυσμεταχείριστον οὐδὲ ἐνέλαμψέ τις ἐνέργεια· οἱ δὲ περὶ τὰ ἑῷα (ἦσαν δὲ μάλιστα ἐκεῖνοι τὸ ναυτικὸν πλῆθος) πρὸς τὸ συνηθέστερον ἔβλεπον, καὶ συσκευασάμενοι μηχανὰς πετροβόλους, μικρομεγέθεις μὲν πλείονας, ὡς ἐπιβουλεύειν δι' αὐτῶν τοῖς ἐκ τῶν τειχέων πολεμοῦσιν ἡμεδαποῖς, δύο δὲ μείζονας, ὧν θατέρᾳ σεισμοῦ θυγάτηρ, τολμήσαντα φάναι, ἐντεινάμενοι δὲ καὶ τοὺς τὴν εὐεπιβούλευτον τάφρον συρφετοῦ πλήσαντας καὶ τὸ περίτει-

12. ψευδόντων T

alii. accessit ad hos admodum sero imperatori familiarissimus Nicephorus cubicularius, qui missis ad Davidem ducem litteris inepte labia ad coelum extulit, linguam in terram demissam habuit. dixit enim, nec coelum tot stellis distinctum esse, nec terram ita arena abundare, ut frequens se exercitus sequeretur, adiiciens etiam, timere se, ne Latini, comperto, quantas copias adduceret, fugae se darent, ipse expers fieret tantae praedae. talia scribebat ille, et nos iis fidem habebamus. namque animi salutis cupidi proclives ad spem erant.

Ita igitur promissa nos eludebant legati imperatorii. hostilis exercitus autem et terra et mari ingruens perite instruebatur ad obsidionem. atque ii quidem, qui ad occidentem constituti erant, nova quaedam tentabant helepolium genere, quae tamen, propter magnitudinem inhabiliores, nullius usus erant; sed qui ad orientem constiterant (copiae navales maxime), usitata: magis agebant machinas, quibus saxa coniicerent, plures minores, quibus excipérent nostros in muris pugnantes, maiores duas, quarum alteram audacius quis quassationis filiam dixerit, adhibebant, atque utebantur enixe eorum opera, qui fossas occultas sulphure replere, et moenia concutere, op-

χος δὲ κατασεῖσαι δεινοὺς καὶ τῷ τείχει προσβαλεῖν καὶ διορύξαι αὐτὸ εἰς κατάπτωσιν, ἐγίνοντο τῶν ἔργων εἰς ὅσον χραταιόν, καὶ ἀκάθεκτοι κατειργάζοντο. καὶ προέτρεχον αὐτοῖς πάντων συχνοὶ ἀκροβολισμοί. πρὸς δείλην γὰρ κατασχόντες τὰς ναῦς εἰς αὔριον ἔωθεν μάχης κρατερῆς ἐνήρξαντο. καὶ τὸ μὲν δυσμικὸν ἅπαν ἕως καὶ εἰς ὅλον τὸ κύκλῳ τῆς ἀκροπάλεως (κατὰ σχῆμα γάρ τι δρεπάνου ἐκ θαλάσσης ἕως καὶ τῶν ἐκεῖσε πυλῶν περιήγετο πυργηροῦν) οὐχ οὕτω πράγματα ἡμῖν παρεῖχεν οὔτε τραύματα ἐνέτριβε, τὸ δὲ ἐξ ἀπατολῆς ἐθηριοῦτο. ἦν δὲ μάχης ἐλεύθερον τὸ παράλιον ὅλον, τὸ μὲν ὅτι ψιλὰ θαλασσίου ὕδατος ἦν τὰ πρὸς τῷ τείχει διὰ τὸν καιρὸν θερινὸν ὄντα καὶ μὴ πληθύοντα τὴν θάλασσαν μέχρι καὶ ἐς αὐτὸν τειχισμόν, ὡς ἐντεῦθεν ἐξ ἀσυμμέτρου τοῖς ἐκ τῶν παραλίων τειχέων καὶ τοῖς ἐκ θαλάττης εἶναι τὴν μάχην, τὸ δ' ὅτι δαήμονες ὄντες ἐκεῖνοι μάχης περὶ τὸ πωνοῦν μᾶλλον τῆς πόλεως ἐμελέτησαν ἐντήκειν πληγάς. ἐκεῖθεν γὰρ διέγνων δύνασθαι ἂν βλάψαι ἡμᾶς, ὡς καὶ προσεδρεύειν εὖ μάλα δυνάμενοι διὰ τὸ τοῦ αἰγιαλοῦ ἀγχιβαθὲς καὶ οὕτως εὐλίμενον, καὶ ὅτι καὶ τὸ τεῖχος οὐκ ἀπονήρως εἶχεν ἐκεῖσε, ἀτέχνως τε τὴν ἀρχὴν συσταθὲν καὶ οὐκ εὖ συμπαγὲν καὶ μηδὲ μεμελημένον ἄρτι τῷ καλῷ στρατηγῷ. ἐῴκει γὰρ ἰατρῷ παρακολουθοῦντι σώματι πονοῦντι μέν, οἷῳ δὲ μὴ φιλεῖσθαι ὡς ἀναποιηθῆναι πρὸς ὑγίειαν, κἀντεῦθεν ἀμελοῦντι

14. τῆς T

pugnare et subruere callerent, urgebantque ea opera, quantum possent, procedebantque ita, ut retardari nequirent. adiuvabantur autem crebra universorum iaculatione. sub vesperam enim navibus appulsis, postridie prima luce proelium commiserunt. et occidentales quidem copiae universae per totum arcis circuitum (etenim in falcis speciem a mari ad portas pertinebant obsidentes) minus nobis negotii excitabant, nec vulnera infligebant graviora; sed orientales prorsus feroces erant. vacabat autem bello totum litus, partim, quia vada erant ad moenia, propter tempus aestivum non ad murum pertinente aqua marina, ita ut ibi impar inter eos, qui e moenibus pugnabant, et navales hostium copias pugna esset, partim, quia, ut erant belli periti, debiliori potius parti urbis vulnera infligere tentabant. intellexerant enim, illinc se nobis nocere posse, siquidem et prope admodum accedere licebat propter litoris altitudinem magnam et portuosam, et moenia ibi parum firma erant, quia non solum imperite primum condita nec bene compacta, sed etiam a bono tum duce nostro neglecta erant. similis enim is erat medico, qui, quum corpus infirmum, sed insanabile, curat, curam eam ut fastidiosam ne-

τὸ νοσοῦν ἀνακομίσασθαι. καὶ οὐκ ἔστι διαπιστῆσαι τοὺς εὖ κατεγνωκότας τὸ πρᾶγμα ὡς πάνυ τι βραχὺ προδότου τοῦ κυρίως διενεγκεῖν ὁ Δαυὶδ φαίνεται καθ' ἡμῶν, εἰ μή τις ἄρα θερμότερον ἐπιβάλλων ὡς ἔν τινι πλάστιγγι παρισάζοι ἐκεῖνον εἰς προδότην αὐτύχρημα. δίχα γὰρ συνθεσιῶν ἐπὶ ῥητοῖς καὶ μηνύσεων γνωρίμων, ἃ δὴ καὶ αὐτὰ πολλοὶ κατηγοροῦσιν ἐκείνου, τἆλλα πάντα προδοτικῶς εἶχεν ὁ ἀνήρ. καὶ κοινὸν αὐτῷ τε καὶ τῷ κατὰ σπουδὴν φανερὰν ἄλλως προδότῃ τὸ τοῦ κοινοῦ μὲν ὑπερορᾶν περιφρονητικῶς, ἑαυτῷ δὲ μόνῳ χαρίζεσθαι, καὶ προτίθεσθαι πάντας μὲν ἀπιέναι, περιεῖναι δὲ μόνα τὰ κατ' αὐτόν. ἐμέμφοντο οἱ στρατιωτικοὶ ὅτι τὰ πετροβόλα ἐν ἡμῖν ὄργανα οὐκ εὐχρήστως εἶχον ὡς ἀντιφερίζειν πρὸς τὰ τῶν ἀντιμάχων. ὁ δὲ ἀφεὶς κατορθοῦν τὸ ψεγόμενον "καὶ τί ποιήσω" ἔλεγε, καὶ ἠρκεῖτο εἰπεῖν τοσοῦτον ὁ κομψὸς Πυθαγοριστής, δοκῶν μὲν ἱερὸν εἶναι σιγῆς 286 διὰ τὸ ἐχεμυθεῖν τὰ πλείω, ἄλλως δὲ κατὰ τοὺς λοχῶντας πνίγων τὴν λαλιάν, ἄνθρωπος ἐπέχων καὶ τὰ ἐς πονηρίαν ἀδιόρατος καὶ τό γε κρυψίνουν πολυβενθής. ἤκουεν ὡς τὸ περίτειχος καταλαμβάνεται διὰ τὸ ἀνεχύρωτον ἔχειν, καὶ παρέπεμπεν αὐτὸ ταῖς μητράσι τῶν πολεμίων παραβύειν, ἔνθα αἰσχρορρήμων εἴποι ἂν ἀνήρ. ἐπιλειπόντων ὀϊστῶν τοῖς ἐπὶ τῶν τειχέων ἦν βελῶν ζήτησις· ὁ δὲ καὶ ποῦ ἂν αὐτοὺς

gligit. nec dubitare possunt, qui rem bene norunt, parum a proprii nominis proditore Davidem illum discrepasse in iis, quae adversus nos egit, nisi quis calidius quasi in trutina positum proditori prorsus parem esse duxerit. nam praeter pactiones iustas et manifesta indicia, quae tamen nonnulli illi exprobrant, in rebus reliquis omnibus proditoris personam agebat. erat illi commune cum proditore, qui aperta fraude agit, quod rem publicam contemptim negligebat, sibi soli gratificabatur, cunctos perire volebat, modo ipse suaque servarentur. querebantur milites, quod machinamenta nobis non essent idonea, quibus resisti posset machinis hostium: ille, nihil sollicitus, ut corrigeret, quod vituperabatur, "quid faciam," dixit, et dixisse satis habuit, vafer quasi Pythagorisso, qui videretur quidem sacrum taciturnitatis esse eo, quod reticeret pleraque, sed revera subdole coram insidiantibus premeret verba, homo continens, cuius nequitia perspici non posset et malignitas alte lateret. audiebat, moenia expugnari propter infirmitatem: committebat ea, ut quis dixerit dicacior, matribus hostium farcienda. deficiebant sagittae, et qui in muro erant, nova tela quaerebant: ubi ea inveniret, murmurabat, nec dabat quidquam, et urbs affligebatur. frangebatur machina, et oportebat eam refici, et lignum anquirebatur: ubinam lignum esset, re-

εὗροι ὑπετονθόρυζε, καὶ ἐδίδου μηδέν, καὶ ἡ πόλις ἔκαμνεν. ἐκλᾶτο μηχανὴ καὶ ἦν ἀναγκαία ἐπιποιηθῆναι, καὶ ἐζητεῖτο ξύλον· καὶ ποῦ ἂν εἴη αὐτὸ παρελάλει. ἐμάνθανέ τις ἄλλο τι ἐνδεῖν τῶν δεόντων, καὶ ἐλάλει· καὶ ἦν τηνικαῦτα ὁ κατὰ παροιμίαν σιγηλὸς ἥρως Εὐρυβάτας, καὶ ἠπειλεῖτο κατὰ πληγῶν, κατὰ κεφαλῆς, κατὰ ὀμμάτων, κατὰ σκολοπισμοῦ, εἰ μὴ παύσοιντο λαλεῖν οἱ τοιοῦτοι, διομνύμενος εἰς πίστιν σταθερᾶς ἀπειλῆς βασιλικὴν κεφαλήν. τῶν τις δὲ οὐ πάνυ τοῦ δήμου καὶ κατεάγη τῆς κεφαλῆς, τὰ περὶ τὸ πρόσωπον ῥάβδῳ πληγείς, ὅτι τὰ στρατηγικὰ φαύλως ἐνεργούμενα κατεμέμψατο. καὶ τῶν βλεπόντων οὐδεὶς οὐδὲ γογγύσαι τετόλμηκε. στρατιῶται δὲ παρρησιαζόμενοι καὶ ὀρθὰ λαλοῦντες ἓν μόνον πρὸς τοῦ ἀτόπου ἤκουον, ὡς ὅτι κατατόπια εἰληχότες ἐκεῖσε καὶ μόνον πονεῖσθαι ἀνάγκην ἔχουσι, πλέον δέ τι μὴ περιεργάζεσθαι, εἰ μὴ κακὰ αἱροῖντο πείσεσθαι. σῖτον ἐπαρκέσειν τῇ πόλει ὀφείλων, ὁ δ' ἐς τοσοῦτον ἀπημέλησεν ὡς ἑαυτῷ μὲν λαβῇ τοῦ τοιούτου καλοῦ πλοῖτον παχὺν περιθέσθαι, οὗ τί ὁ ἄθλιος ἀπώνατο; τῇ δὲ πόλει ἐγκαταστῆσαι λιμόν, ὡς, εἰ μὴ ταχὺ κατέσπασεν ὁ τῶν πολεμίων σίδηρος, ἀλλήλους ἂν κινδυνεῦσαι καταφαγεῖν.

Γέγονε καὶ λειπανδρίας τῇ πόλει ταύτῃ αἴτιος· πληρώσας γὰρ ἐν πολλοῖς τὰς χεῖρας ὧν οὐκ ἐχρῆν, ἀφίει τοὺς ἐθέλοντας λειποτακτεῖν καὶ φεύγειν τὴν πατρίδα, ὅποι βούλοιντο. καὶ οἱ βαρύπλουτοι περιποιούμενοι οὕτω τὸ σώζεσθαι ἀπετέ-

spondebat. cognoverat quispiam, aliud quid necessarium deesse, et indicabat: tum ille, ut in proverbio est, taciturnus heros Clamates erat, minabatur flagellum, securim, scalprum, stipitem, nisi desissent conqueri, per caput imperiale iuratus, minis se fidem facturum. quidam adeo non plane plebeius caput confractum tulit, facie sibi baculo percussa, quod rem militarem male administrari arguerat: nec quisquam spectantium vel mussitare ausus est. milites liberius loqui et vera dicere ausi ex homine nequam nihil nisi hoc audiebant, stationes suas nacti diligenter tenerent, neve quidquam praeterea agerent, nisi duriora pati mallent. quum annonae providere deberet, ita eam neglexit, ut sibimet ipsi, opportunitate ea pulcre usus, magnam pecuniam faceret (cuius tamen quem ille fructum habuit?) civitatem fame premeret, ut nisi cito correpti essent ferro hostili, coacti paene fuissent, se invicem comedere.

Exstitit idem huic urbi auctor desertionis. replens enim manus divitiis, quibus non debuerat, dimittebat, qui signa deserere vellent, et e patria eos discedere, quocunque vellent, patiebatur.



λουν καί τι χεῖρον· μισθαρνοῦντες γὰρ τῶν δημοτικῶν ὅσοι δεξιοὶ τὰς χεῖρας καὶ βριαροὶ ῥάβδον τε κατενεγκεῖν καὶ λίθον μακρὰν ἀφεῖναι καὶ μηχανὴν διαχειρίσασθαι καὶ τόξον νευρὰν ἐντεῖναι καὶ βαλεῖν, ἐξεχώρουν τῆς πατρίδος, καὶ αὐτὴν μὲν ἀπεστέρουν οὕτως ἀμυντήρων, ἑαυτοῖς δὲ ὅσα καὶ στρατηγοῖς ἔπειθον τοιοῦτον ἀκολουθεῖν στρατόν, δώροις πείθοντες. κἄν τις αὐτῷ ὑπηγόρευσε, καὶ μάλιστά γε ἡμεῖς οἱ μὴ πάνυ τι δεδιότες, ὡς οὐκ ἀγαθὸν τῇ πόλει τὸ οὕτω γενέσθαι, ἀλλ' ἐνταῦθα οὐκ ἦν φορητὸς ὁ ἀνήρ, σχετλιάζων καὶ δυσανασχετῶν εἰ μεμφθείη ὡς περιιδὼν γενομένην οὕτω τὴν πόλιν κένανδρον.

Τὸ δὲ δὴ κορυφαῖον ἐν τοῖς καθ' ἡμᾶς τούτοις κακοῖς καὶ ἡ τοῦ ἀναγκαιοτάτου ὕδατος ἔκλειψις ἦν. ὡς γὰρ ἡ τῆς ἀκροπόλεως δεξαμενὴ ἀργῶς ἐκ μακροῦ εἶχε, καὶ ἐχρῆν ἀναποιηθῆναι αὐτὴν ἐκθεραπευθεῖσαν ἔνθα χρόνῳ καταπεπόνητο, ἐγίνετο τοῦτο μόλις μέν, ἀλλ' οὖν. καί τις τῶν τῆς στρατιᾶς οὐκ ἀφανὴς (Λέων ἦν ἐκεῖνος ὁ Μαζιδᾶς), ἀποδεξάμενος τὸ πρᾶγμα καὶ ἐπαινέσας, παρεκάλεσε τὸν Δαυὶδ ἡμέρας τριβῆναί τινας μετὰ τὸ ἔργον, ἵνα στεγανωθὲν τὸ ἀγγεῖον ἔχῃ φυλάττειν τὸ πιστευθὲν ὕδωρ ἀσφαλῶς, διὰ τὸ μηδὲ ἀνάγκην τέως ἐπιτεθεῖσθαί τινα οἷα τῶν πολεμίων οὔπω ἐπικειμένων ἀλλὰ πορρωτέρω που διεστώτων. καὶ ἤρεσεν ὁ λόγος τῷ Δαυΐδ, ὅσα γε δόξαι. ἄνεμος δὲ ἁρπά-

praedivites igitur ita sibi salutem quaerebant, ut penderent aliquantulum pecuniae. conductis enim e plebe, qui dextera et valida manu vibrare hastam, saxum longe iacere, machinam agere, nervum arcus tendere et mittere sagittam possent, ex urbe discedebant eamque privabant defensoribus, relinquebant obedientem sibi ut ducibus istam turbam, praemiis comparatam. atque si quis illum admoneret, velut nos maxime, prorsus quippe intrepidi, haud salutare urbi esse, quod ista ita fierent, tum vero plane non ferendus homo erat, conquerens et indignans, exprobrari sibi, quod urbem virls ita vacuefieri pateretur.

Summum autem in his malis aquae, rei maxime omnium necessariae, inopia erat. nam quum cisterna arcis diu quiesset, ac refici et resarciri deberet, ubi vetustate vexata erat, factum illud est aegre quidem, sed tamen factum est. sed ex exercitu quidam haud ignobilis (Leo Mazidas ille fuit), re cognita et probata, Davidem cohortatus est, ut finito opere dies aliquot praetermitteret, priusquam aquam ingereret, quo instaurata cisterna incorruptam servare posset aquam receptam, quoniam nulla dum necessitas premeret, hoste nondum instante, sed procul absente. placuit ea oratio Davidi, ut videbatur qui-

σας τὸν τοῦ Μαζιδᾶ λόγον ἀπήγαγε, καὶ λήθῃ καταχώσας τὸ κοῦ Δαυὶδ φρονοῦν ἀνέφυσε βλάστην ἀδρυνθεῖσαν πρέμνον μεγάλου κακοῦ. οὔπω γὰρ ἦν ὀψία δείλη, καὶ τὸ χορταῆθεν ὕδωρ ἀπολυθὲν θέειν κατὰ τοῦ σκεύους ἐλεύθερον κατηγόρει τὸν δρόμον τῷ κελαρυσμῷ. καὶ ὁ Μαζιδᾶς παροδεύειν τυχών, καὶ ἀκούσας ὃ ἐγίνετο, τρέχει σπεύδων ἐπὶ τὸν Δαυὶδ καὶ ἀναμιμνήσκει προενεγκὼν ἃ εἶπε. καὶ ὁ Δαυὶδ ἀγανακτῆσαι σκηψάμενος προυβάλετο λαθέσθαι. ἀκούσας δὲ δεῖν ἐπισχεθῆναι τὸ ὕδωρ ὡς ἐγχωροῦν γενέσθαι καὶ εἰσαῦθις τὸ καλόν, ἀπηνήνατο, ἐπιτάξας ἀφίεσθαι ῥέειν τὸ ὕδωρ. καὶ τοίνυν αὐτὸ μὲν εἰσέρρεεν, ἡ δεξαμενὴ δὲ ἐξέπεμπεν ὃ ἐδέχετο, ἀναλυθείσης τῆς προσφάτου ἐπιποιήσεως οἷς τὸ ὕδωρ ἀπαλεῖψαν τὴν ὑγρὰν παρέσυρε τίτανον. καὶ οὐ πολλαὶ ἡμέραι ᾤχοντο, καὶ ἦν τὸ ἀγγεῖον κενόν· ὅθεν συνεξεκενώθησαν ἡμῖν ἅπασαι αἱ ἐπὶ τῇ ἀκροπόλει ἐλπίδες, καὶ οὐκέτι οὐδεὶς ἀνέβλεπεν εἰς αὐτήν. καὶ ἡμεῖς οὖν συσκευασάμενοι ἐκεῖσε καταντήσειν, εἴπερ βίᾳ, καὶ τὰ ἀναγκαῖα συγκομισάμενοι, ἐπεὶ μάθοιμεν ἀπολωλέναι τὸ ὕδωρ, συγκατερρύημεν τὸ εὔελπι, καὶ διανείμαντες ἐκεῖ τὴν συγκομιδὴν μόνου τοῦ δειλιᾶν καὶ εὔχεσθαι κατέστημεν.

Τίς ἂν δὴ ἀπαγάγοι τὰ τοιαῦτα τοῦ κατὰ προδοσίαν συγγενικοῦ; εἰ γὰρ καὶ μηδαμοῦ ἐνταῦθα συνθήκη πρὸς πολεμίους (θετέον γὰρ οὕτως) οὐδὲ ἀρέσκεια ἐπὶ δώροις, φει-

18. *συγκατερρύη μὲν* T

dem. verum venti abstulerunt orationem Mazidae, et oblivione obruentes mentem Davidis, summiserunt surculum, qui adultus stirps magnae miseriae exstitit. nondum enim multa vespera erat, quum aqua ingesta libere per canalem effluens strepitu decursum argueret. Mazidas forte praeteriens quum audisset, quid rei esset, ad Davidem cursu festinat, et admonet, quod suaserit. Davides dolere se simulat et rei oblitum esse dicit. monitus autem, aquam effluentem retinendam esse, quoniam damnum corrigi posset, recusavit, sed illam emitti iussit. itaque aqua influebat quidem, sed emittebat rursus cisterna, quod receperat, dissoluto, quod recens reparatum fuerat, quia calcem humidam aqua abstersam auferebat. nec multi dies effluxerant, quum cisterna inanis esset: unde simul inanis exstitit omnis spes nostra in arce collocata, nec iam quisquam in eam suspiciebat. nos igitur, rebus convasatis, ut illuc concederemus, si necessitas cogeret, et collectis rebus necessariis, quum aquam defecisse audissemus, distributa ibi copia, ad formidinem et preces redacti sumus.

Quis vero vindicaverit haec ab affinitate proditionis? etiamsi enim nulla illi cum hoste pactio (ponendum enim hoc est) nec praemiis

δοῖ τοῦ ἐμπελάσαι τόν τε ἀδελφὸν τήν τε μητέρα τοῖς τοῦ Ἀνδρονίκου ἀφύκτοις λίνοις, ἀλλ' αὐτὸ δὴ τὸ ἄκρως ἀμελεῖν καὶ παρὰ φαῦλον τὴν τοσαύτην πόλιν τίθεσθαι καὶ τὸν ἐν αὐτῇ πάντα λαόν, καί που καὶ εὔχεσθαι τὸν στρατηγὸν ἐπιτμηθῆναι τὸν τῆς ἁλώσεως χρόνον, εἴ πως ἐκφυγὼν τὸ τοῦ βασιλέως πρόσωπον ἐς κόρακας πτερύξεται, συγγενὲς ἂν εἴη μάλα τῷ προδιδόναι, καί που καὶ χεῖρον, ὡς ἄν τις τοῦ λαλεῖν τεχνίτης ἐπαγωνίσαιτο. καὶ ὃ λογίζεσθαι συνετὸς ταν- 287
τίζοι γοῦν ταῦτ' ἂν κατὰ τὸ σύστοιχον. οὕτω καὶ οἰακοστρόφος νεὼς οὐ κατὰ κυρείαν ἀλλὰ μισθοῦ εἰ τῷ κεφαλαιωσαμένῳ τὴν ναῦν ἐγκοτοίη ἐς ὅσον οὐκ ἔστι πλέον ἐπιτεῖναι, παραμένει μέν ποτε κινδυνευούσῃ, λαλεῖ δὲ ἀσυντελῆ καὶ πράττει οὐκ ἀρραθύμως, καὶ τὴν τέχνην εἰς τὸ πᾶν συστείλας ἀφίησι τὸ σκάφος προσαραχθῆναι σκοπέλῳ καὶ κατὰ βυθοῦ δῦναι αὐτῷ φόρτῳ καὶ ἀνδράσιν. οὕτω καὶ φύλαξ τελεσφόρου ἀμπέλου, καθάπαξ ἀποστυγῶν τὸν δεσπότην κατὰ μῖσος τέλειον, βοτρύων μὲν ἴσως ἅπτεται εἰς οὐδέν, συχνὰ δὲ πῇ μὲν κάτω περιοδεύει πῇ δὲ τοῦ σκοπευτηρίου γίνεται, καὶ ὧδε καὶ ἐκεῖ περιβλεπόμενος φαντάζει ἐπιμέλειαν, ὁρῶν δὲ τὴν τοῦ φραγμοῦ σύμπηξιν καὶ τὴν ἐπ' αὐτῷ τάφρον ἐπιβουλευσάμενά ποθεν οὐκ ἀποκωλύει, ἀλλ' οἷα καὶ ἀπονυστάζων διάκειται, ἀνύων μὲν οὕτω τὸ κατὰ τοῦ κτησαμένου τὴν ἄμπελον βλάβος, μελετῶν δὲ ὀμεῖσθαι τοῖς αἰτιωμένοις ὡς

emta gratia intercesserit, metu, ne frater et mater in insidias Andronici inevitabiles committerentur, profecto insignis ista negligentia, qua tantam urbem et civitatem universam pro nihilo dux habebat, quin imo expugnationis moram etiam contrahi cupiebat, si forte evitare adspectum imperatoris et recta hinc abire posset, admodum affinis proditioni et fortasse etiam peius quid erat, ut quis fortasse demonstraverit dicendi artifex. homo ratiocinandi peritus in eandem certe classem haecce retulerit. gubernator navis, qui non nauclerus idem, sed mercede conductus fuerit, si magistro navis succenseat, ut non possit magis, remanebit quidem in navi, si forte ea periclitetur, sed loquetur vana nec non seguiter aget, omni denique studio prorsus intermisso, navigium scopulo impingi et pessum ire una cum onere virisque patietur. similiter rursus custos vineae, odio dominum Vatiniano abominans, uvas fortasse non attigerit, sed crebro vel infra collem inambulaverit vel continuerit se in specula, et hic illic circumspiciendo diligentiam simulaverit, nec arcuerit, securus, dum sepimentum et fossam videt, insidiantes alicunde fures, sed quasi somniculosus decubuerit, explens ita suum in dominum vineae odium, sed tamen iurare paratus, si quis accusaverit, nec discessisse se a vinea, nec

οὔτε φεύγοι τοῦ ἀμπελῶνος οὔτε κεκλόφοι οὔτ' ἀποδοίη, ἀφιεὶς δὲ τὸ οὐδὲ μὴν ἀμελήσοι, ὃ τὴν ἄμπελον ἀπηχρείωσε. ταῦτα δὲ τὰ καὶ τῷ Δαυὶδ ἐμφαινόμενα, δι' ὧν οὐ μόνον ὁ Ἀνδρόνικος ψέγοιτ' ἄν, δύσνουν ἑαυτῷ ἄνδρα καὶ βαθὺν πονηρεύσασθαι τηλικούτοις ἐπιστήσας πράγμασιν, ἀλλὰ καὶ ὁ Δαυὶδ ἀπελέγχοιτο μὴ ἂν ἔχειν διεκφυγεῖν γραφὴν τοῦ προδοῦναι. ἀνακεφαλαιώσασθαι γὰρ τὸ ἐπιχειρηθέν, οὔτε κυβερνήτης καραδοκῶν, εἴπερ ὁρμισθείη, ἀποβαλέσθαι τὴν κεφαλὴν κατὰ τὸν δυστυχῆ σωτῆρα τοῦ Ξέρξου, οἰκήσοι ἂν ῥαχίαις φθάσας προσαράξαι τὸ σκάφος, κύμασιν ἐκδούς, εἴ πως ἐκκολυμβήσας μόνος περιγενήσεται· καὶ ἀμπελῶνος δὲ φύλακα δαπανᾶν μὲν τὸ πιστευθὲν οὐκ εἰδότα, χόλῳ δὲ τῷ κατὰ τοῦ δεσπότου ἀφιέντα κλέπτεσθαι καὶ θηρίοις βλάπτεσθαι, οὐκ ἂν νοσφιζοίμην λέγειν προδοῦναι τὴν ἄμπελον.

Ὦ οἷον κακόν, ὦ Ἀνδρόνικε, μεγίστοις ἔργοις, καὶ κίνδυνον δεινότατον ἐπισυρομένοις εἴπερ ἀμεληθείη, ἕνα τινὰ μόνον εἰς αὐτοκράτορα κεφαλὴν ἐφιστᾶν, καὶ αὐτὸν δὲ οὕτε λίαν ἐπιστήμονα τοῦ δρᾶν καὶ ὕποπτον δέ. ὦ Ἐπιμηθεῦ βασιλικέ, οἷον ἡμᾶς διέθου κακόν. ὦ ἀλυσιτελὴς ὑστεροβουλία. ὦ δυσανακλήτου καλοῦ ἀκίχητα ἐπιδίωξις. ὦ εἰκαῖος ἐκεῖνος μετάμελος. οὐκ ἔσχε γάρ εἰς τέλος τὰ τοῦ Δαυὶδ οὐδὲ τὸν βασιλέα λαθεῖν. διὸ καὶ ἐξέστειλε μὲν ἐκεῖνος τὸν εἰς μνήμην ἤδη γραφικὴν ἀποτεθειμένον παρακοιμώμενον, οὐ

uvas furatum esse vel donasse aliis, prudenter autem non eiurans eam, qua vineam perdidit, negligentiam. similia in Davide manifesta sunt, ita ut non solum Andronicus reprehendendus sit, quod hominem sibi inimicum et ad nequitiam versutissimum tantis rebus praefecerit, sed etiam Davides ita coargui possit, ut crimen proditionis effugere nequeat. rem enim in conspectum proponam: gubernator, qui timuerit, ne, si ad terram appulerit, capitis damnetur, infelicis illius, qui Xerxem servavit, exemplo, non dubitaverit, navi prius scopulis illisa, undis se committere, si forte nando ipse solus conservetur; neque equidem vineae custodem, qui, nescius, quomodo consumat rem sibi commissam, odio domini commotus uvas furandas et bestiis laedendas permiserit, proditorem vineae nominare dubitaverim.

Quanta ista, Andronice, stultitia est, rebus maximis et, si negligantur, periculum gravissimum trahentibus, unum aliquem hominem praeficere, eumque nec admodum peritum et suspectum! o, imperator Epimetheu, quam male nobis consuluisti! o seram consilii prudentiam! o tardam curam salutis! o vanam istam poenitentiam! nam ne imperatorem quidem diu celari potuit Davidis nequitia. quare misit ille cubicularium illum, cuius iam mentionem fecimus, qui non



μόνον ἐπὶ ἀμύνῃ τῆς πόλεως, ἀλλὰ καὶ ὡς ἄν, φασίν, ὑπελθὼν δεξιῶς ἀμύνηται τὸν ἀπατεῶνα Δαυὶδ εἰς ὄλεθρον· ἤδη γὰρ κατέγνω τὸν ἄνδρα καὶ ὁ βασιλεὺς ὀψιμαθέστερον, οἷα βυσσοδομεύων ἦν. ἐκρήτιζε δὲ ἄρα πρὸς Κρῆτα ἐκεῖνος, καὶ τὸν ὕπουλον Ἄργον τὸν Δαυὶδ, ἀνυστάκτοις τά γε εἰς ποιηρίαν ὄμμασι βλέποντα, οὐκ ἔσχεν ἀψοφητὶ δι' Ἑρμοῦ ἐκείνου εὐπτέρου βαλεῖν καὶ καταβαλεῖν, ἀλλὰ προαισθόμενος ὁ Δαυὶδ φθάνει ἐπιτεμὼν τὸν καιρὸν τοῦ ἡμετέρου κακοῦ ὡς εἰς καλὸν ἑαυτῷ· καὶ οἷον ὑποδὺς βυθὸν κατὰ λάρον, ὃς ὑποπτήξας ἁλιαίετον βυθισθείη, ἐξέφυγε τὸν ἀγκυλοχείλην Ἀνδρόνικον, Ἀνδρόνικος ἀποβὰς αὐτὸς κατ' ἐκείνου τοῦ γαμψώνυχος. ἑσπέρας γὰρ ἦλθεν ὁ παρακοιμώμενος, καὶ αὔριον ἕωθεν ἀπολώλαμεν, διοικονομησαμένου τοῦ Δαυὶδ μήτ' ἔνδον ἰδεῖν ὃν ἐδεδίει, μήτε μὴν ἔξωθεν ἐπικουρίαν γενέσθαι ἡμῖν ἐπὶ σωτηρίᾳ μὲν τῶν ἄλλων βλάβῃ δὲ αὐτοῦ, ἢν ἔπαθεν ἂν σεσωσμένης τῆς πόλεως. οὕτως ὁ Δαυὶδ κυνηγετούμενος ὑπὸ τοῦ Ἀνδρονίκου ἐμηχανᾶτο μὴ πεσεῖν ὑπὸ ἄγραν ἐκείνῳ, παρ' οὐδὲν μὴ ὅτι γε τὴν καλὴν Θεσσαλονίκην, εἰ μόνον περισωθείη αὐτός, ἀλλ' οὐδὲ τὸν πάντα κόσμον τιθέμενος.

Οὐκοῦν ἡμέραι συχναί, αἱ μὲν πρὸ τοῦ σφοδροῦ πολέμου αἱ δὲ κατὰ τὴν τούτου ἀκμήν, καὶ οὐδεὶς ἐκεῖνον εἶδεν οὔτε ἐν ὅπλοις δεινοῖς δύναντα οὔτε ἵππον εὐγενοῖς ἐπιβάν-

solum urbem defenderet, sed etiam callide circumveniret et in perniciem committeret fraudulentum istum Davidem. etenim intellexerat iam imperator quoque, quam is occulti ingenii homo esset. Cretensis igitur Cretensi insidiabatur, nec poterat imperator subdolum Argum Davidem, qui siccis oculis malitiam spectaret, Mercurii illius alati opera sine strepitu prosternere, sed re praesensa Davides antevertit illum, exitii nostri tempore ad suam maturato salutem; et quasi in profundum submersus lari instar, qui aquilam evitaturus urinatur, aduncinasi Andronicum effugit, dum Andronicus ipse abit velut bestia illa ungulata. vespere enim cubicularius advenit, et postero mane perieramus, rebus a Davide ita institutis, ut neque intus se videret, quem timebat, neque foris auxilium ferri posset ad salutem quidem reliquorum, sed ipsius perniciem, qua periturus erat, si urbs servata fuisset. ita Davides, quasi indagine sectante se Andronico, effecit, ne illius praeda fieret, pulcherrimam urbem Thessalonicam dummodo ipse servaretur, quin imo totum orbem terrarum, nihili aestimans.

Itaque dies multi praeterierunt, partim ante summum belli ardorem, partim inter eos tumultus vehementissimos, quum nemo illum aut armis indutum aut equo insidentem videret. mulus eum vehe-

τα. ἡμίονος δὲ ὤχει αὐτὸν ἀπὸ βράκας καὶ πεδίλων νεωτερικῶν. ἔσκεπε δὲ καὶ τὴν κεφαλὴν Ἰβηρικώτερον ἔκφυλος πῖλος ἐρυθρός· βάρβαροι ἐκεῖνον καὶ τεχνῶνται καὶ καλοῦσιν ἢ φιλοῦσι, πολύπτυχον μὲν καὶ οὕτω συνεσταλμένον κάτω τὴν λοιπὴν περίθεσιν, τὰ δὲ περὶ πρόσωπον εὐρυνόμενον καὶ πρηνεύοντα ἐς ἱκανὸν κατὰ ἡλίου, ἵνα καὶ οὕτω τὸν στρατιώτην ἀπολέγοιτο τρυφερευόμενος ἀνηλίαστα. ἑορτὴ φιληδεῖ τοιούτοις ἀνδράσι· πανήγυρις οἷδε τοιούσδε στολμούς· νυμφίος ἂν οὕτω θρύπτοιτο ἁβρυνόμενος. τόξον δ' ἐκεῖνος εἴ που καὶ χειρισθείη, πειρᾶσθαι εἶπες ἂν αὐτὸν ἐκείνου κατὰ τοὺς ὠνουμένους, ὅπως ἂν ἔχοι τοῦ τείνεσθαι. κατὰ δέ γε τὴν ἀκρόπολιν λέγεται ὄϊστὸν ἕνα κατὰ τῶν ἐκεῖ περικαθημένων ἀφεῖναι, καὶ λίθον ἕνα ἐκ σφενδόνης· εἶτα καὶ ὑποθέσθαι τοῖς ἐπὶ τῶν τειχέων πεδίλων ῥαφέας ἔχονειδίζειν τοὺς πέριξ Λατίνους, οὓς καὶ τοσοῦτον ἠμύνατο, κακὰ ἡμῖν ῥάπτοντας καὶ ἐγγελῶντας οἷς ἤκουον. ἔλεγον δὲ οἱ ἀμφ' αὐτὸν σκώπτοντες ἐκεῖνον καὶ ὅτι καθήμενος ἔσω τειχέων κάτω περὶ σκιάν, καὶ βέλη βλέπων ἔξωθεν ἐπιπετεννύμενα, εἰώθει λέγειν ὡς ναί, καλέ, κακὰ τὰ ὧδε, καὶ εὐθὺς ἀναπηδῶν μετεκάθιζεν εἰς ἄσυλόν τινα σκιατραφίαν καὶ ἄσκυλτον, πρὸς τὸν εὖ ἔχοντα τοῖχον μεταρρέπων, ὅ φασι, καὶ ζῆν κυρώσας ἔξω βελῶν.

288 Καὶ τοιοῦτον ὄντα ἐκόλαπτον ἐς καρδίαν αὐτὴν οἱ τρῶ-

bat braccis et calceis puerilibus vestitum; caput quoque more Ibero peregrinus tegebat pileus ruber: quem barbari et fabricantur et quo ipsis placet nomine appellant, plicatum et compositum ceteroquin, circa faciem protentum et pronum ad solem defendendum: ita ut sic quoque militiam Davides, tanquam umbratilis homo, quasi abiuraret. pompae talibus viris laetantur; conciones eius generis vestitum norunt; sponsus ita ad mollitiem licet effeminetur. arcum sicubi ille tractabat, crederes tanquam ab emturo tentari, si videres, quam perite intenderetur. ex arce unam misisse sagittam in obsidentes, et unum funda excussisse lapidem fertur; deinde etiam suasisse militibus arcis praesidiariis, ut calceorum sutores increparent circumsidentes Latinos, quos tam belle repelleret, perniciem nobis suentes et irridentes propter ea, quae audirent. dicebant etiam cavillatores quidam, eundem intra moenia humi in umbra sedentem, quum extrinsecus tela intenta videret, dicere solitum esse, "haud tuta, amice, haec sunt," et illico prosiluisse et discessisse in umbram tutam et otiosam, reclinantem, ut aiunt, ad murum bene firmum, et extra telorum iactum saluti consulentem.

Ac talem hominem venerabantur pectora plangentes blandi me-

κται ἄρεσκοι, καθαρώτερον δ' ἐκφῆναι, οὐκ ἀνίεσαν θωπεύοντες οἱ τὴν κολακείαν περίεργοι, καὶ ἔρρεπε πρὸς αὐτοὺς τῷ κούφῳ ἡ πλάστιγξ, κῆρας ἔχουσα κατὰ τὰς ποιητικάς, νενούσας εἰς Τάρταρον. οἳ δὴ καρδιοκολάπται κόλακες καὶ παρηύγαζον ἐν σφίσιν αὐτοῖς κατὰ τῆς πόλεως μῖσος, οἷς τῷ τὴν πόλιν μισοῦντι κακοήθως συνδιετίθεντο. καὶ ἦν ἐπ' αὐτοῖς τὸ τοῦ Παιανιέως ῥήτορος, ὅπερ ἐκεῖνος περὶ κλοπῆς γνωματεύων κυκλικῶς περιήγαγεν, ὧδέ πως παρατεκτήνασθαι· σοὶ μέν, ὦ Δαυΐδ, προδοτικὸν τὸ φιλικόν, εἴπερ ἦν ὅμοιόν σοι.

Ἆρα δὲ οὕτως εἰρηναῖος, ὧν ἐπέτρεπεν ἄλλοις ποιεῖν τὸ δέον εἰς μάχην; οὔκουν, ἀλλ' εἰς παντελὲς καὶ αὐτὸς τὸν Ἄρην ἐπέδησεν ἔν γε ἡμῖν, οὐκ οἶδα τίς ποτε τῶν ἐξ Ἀλωέως ὤν, τάχα δ' ἂν Ἐφιάλτης εἴτ' οὖν Ἐπίαλτος, ὁ παρὰ τοῖς Ἀσκληπιάδαις ἐπαχθῶς τοὺς ἀνακειμένους βαρύνων, οἷα καὶ πνιγαλεὺς ὁ αὐτός. ὧτος γὰρ οὐκ ἂν λεχθείη ὃς οὐδενὶ τῶν εὖ λεγόντων ἐδίδου ὦτα, εἰ μὴ ἄρα κατά τι σκῶμμα παροιμιῶδες τὸ ἐπὶ εὐηθείᾳ· τοιούτους γὰρ τοὺς ὠτους καὶ ὄρνιθας ἡ παροιμία ἔχει δοκιμάσασα. οὔτε τοίνυν αὐτὸς ἤθελε δραστήριος εἶναι, καὶ τοὺς λοιποὺς δὲ ἀπεκώλυε, κατάγχων εἰς βίαν. ἐκδρομὴν γοῦν θέσθαι τὴν τυχοῦσαν κατὰ τῶν ἐχθρῶν εἰς τοσοῦτον ἐδέησεν ὥστε, οἶμαι, ὁ Σικελός, εἴπερ εἶχε μυκτῆρά τινα νεύοντα πρὸς ἀστεϊσμόν, εἰς εὐεργέτην αὐτὸν προσεποιήσατο ἄν, ἐπείπερ οἷα καὶ ὀφθαλμοῦ κό-

18. ἔχοι T

bulones, vel, ut planius dicam, haud cessabant illi adulari assentationis artifices. inclinabatur autem sensim in illos trutina, cui parcae secundum poetas impositae erant, ad orcum spectantes. qui quidem adulatores et refulgebant ipsi odium urbis, secundum ea, quae cum hoste illo civitatis turpiter pacti erant, et poterat in eos dictum illud oratoris Paeaniensis, quod ille de furto sententia quasi in orbem flexa pronuntiavit, ita transferri: prodendi tibi, Davides, amici erant, si tui similes erant.

Num igitur ille, ita ipse amans otii, aliis mandavit ad bellum necessaria? minime vero; quin imo Martem ipse inter nos constrinxit, nescio quis e filiis Alois, Ephialtes forsitan sive Epialtus, qui apud Asclepiadas vehementer angit dormientes, utpote incubo idem. Otum enim non appellaverim eum, quippe qui nemini bene suadentium aurem praeberet, nisi forte secundum facetum quoddam in stultitiam proverbium. tales enim otos et aves proverbium illud significat. ergo ille strenue agere nec ipse volebat, nec ceteros patiebatur, vi cunctos coercens. eruptionem certe in hostes qualemcunque facere adeo debebat, ut Siculus, si nasum ad facetias proniorem ha-

ρην ἐκείνῳ διεφυλάξατο τὴν στρατιάν, ὡς μηδένα γοῦν ἐξ αὐτῶν ἀπολέσθαι τό γε εἰς αὐτὸν ἧκον, εἰ καὶ στρατιῶταί τινες, οὐχ ἥκιστα δὲ τὰ τῆς Θεσσαλονίκης τέκνα, οἱ μετὰ τοὺς φυγάδας περίλοιποι, ἀπολεοντωθέντες οἷον τῷ ὑπὲρ τῆς πατρίδος θυμῷ, δεινὰ ἐποίουν ὁσημέραι κατὰ τῶν πολεμίων, ὡς οὐκ ἄν τις ἐλπίσειε, δραστηριούμενοι.

Καὶ εἶδεν ἄν τις ἐνταῦθα πονηρίαν ἀνδρὸς φαύλου καὶ σοφιστείαν βύθιον. παρακλητευόμενος γὰρ ἀνοίγεσθαι τὰς πολιτικὰς πύλας ἐπὶ πολέμῳ καὶ μὴ ὑπακούων, εἶτα καί τινα σφοδρότερα μανθάνων καὶ ὁ αὐτὸς αὖθις μένων, καὶ ἀνακρινόμενος ἐφ' ᾧ τῶν πολεμίων οὕτω φείδεται, πρῶτα μὲν προβάλλεται βασίλειον τηρεῖν κέλευσμα, καστροφυλακεῖν ἐπιτάσσον αὐτῷ. μανθάνων δὲ ὡς οὐ τοῦτό ἐστι καστροφύλακα εἶναί τινα, τὸ ἔσω τείχους ἐγκεκλεῖσθαι, ἀλλὰ τὸ πάντα ποιεῖν δι' ὧν ἂν τοὺς ἐχθροὺς βλάψειε καὶ τὸ κάστρον οὕτω φυλάξειεν, εἰ μή τις καλοίη καὶ οἴκου ἢ ἀμπέλου ἢ νεὼς φύλακα τὸν ἔσω ἐγκορδυληθέντα καὶ οἰκουρικῶς καθήμενον, εἴ τί που δὲ ἔξωθεν ἐπίβουλον, ἀλλ' ἐκεῖνο ἀφιέντα εὖ ἔχειν ἕως καὶ ἐντὸς παρεισδύσεται ὀλέθριον, — ὁ δὲ δικαιολογεῖσθαι τοῦ λοιποῦ ἀφεὶς διέβαλλε, λέγων δεδιέναι μὴ τὸν πηλὸν ἀφεθέντες τινὲς προελθεῖν ἐκπετασθήσονται εἰς τὸ φυγεῖν, καὶ οὕτως ἐπὶ πλέον λειπανδρήσῃ τὰ τῆς πόλεως. καὶ ἐδυσχέραινον μὲν οἱ ἀγαθοὶ στρατηγοὶ ἀκούοντες τοῦτο καὶ οἱ στρατιῶται, ἔφερον δ' ὅμως εἰ σώματι πόλεως καλῷ φαύλη

buisset, inter amicos eum numeraturus fuisset, siquidem ille exercitum eius tanquam pupulam servabat, ut nemo hostium periret, quantum quidem in ipso esset. namque milites quidam, invenes Thessalonicenses maxime, qui post profugos illos reliqui erant, animis pro salute patriae leonem instar animosis, graviter quotidie hostes affligebant, audere parati, quod nemo crediderit.

Atque erat tum videre ignaviam et occultam astutiam hominis nequam. invitatus enim, ut portas urbanas bello aperiret, nec tamen obediens, deinde etiam graviora quaedam expertus, sed rursus loco suo manens, rogatusque postremo, quare ita parceret hostibus, primum quidem mandatum imperatoris observare se fingit, quo castra custodire iubeatur; mox autem, quum edocetur, non esse illum castrorum custodem, qui intra muros se contineat, sed qui omnia faciat, quibus hostis affligi possit, et ita castra tueatur, nisi forte quis aedium aut vitis aut navis custodem nominaverit, qui intus involutus et segnis desideat, atque si quid foris insidiarum immineat, illud negligat, donec irruperit pernicies — tum vero ille disputare iam distulit, atque timere se ait, ne, si faecem civitatis adversus hostem

ἐφίσταται κεφαλή, καὶ οὐκ ἐτόλμων ἐγχειρεῖν λύειν τὴν ἐπιτεταγμένην ἁρμονίαν αὐτοῖς, πειθαρχοῦντες οὐκ ἐπ' ἀγαθῷ. ἀλλ' ὅτε ποτὲ καὶ αὐτὸς ἐκύρωσε πειθοῖ εἶξαι, ῥᾳδιουργεῖ οὕτω. τοῦ Χούμνου τεθαρρηκότος ἅμα τῷ περὶ αὐτὸν στρατιωτικῷ λάχει ἐπεισπεσεῖν τοῖς ἐκ τῶν ἑῴων πυλῶν πολεμοῦσι, καὶ ἐγκεχειρηκότος οὕτως, εἰ καὶ δυστυχῶς ἀπέβη τὸ τέλος διὰ φαυλότητα τῶν συναραμένων αὐτῷ τῆς μάχης, καὶ ὀχλούντων τῶν τε ἐπηλύδων στρατιωτῶν καὶ τῶν τῆς πόλεως δὲ τέκνων, ἃ ταύτῃ περιελείφθησαν μετὰ τοὺς φυγαδίας, κατὰ σπουδὴν ἐκδραμεῖν ἐπὶ τοὺς πολιορκοῦντας διὰ τὸ τοὺς Λατίνους ὅλους γενέσθαι τοῦ ἀντιχωρῆσαι κατὰ τοῦ Χούμνου, αὐτὸς μόγις ἀνοίξας τὰς πύλας καὶ ἀφεὶς δῆθεν ἐκδρομὴν προβῆναι τὴν ζητουμένην, εἶτα συνέκλεισεν ὄπισθεν αὐτῶν, ὡς μόλις δυνηθῆναι τοὺς ἐξελθόντας ἔσω γενέσθαι [τὰ] τῆς πόλεως, κἀντεῦθεν ἐκείνους δεινὴν οὕτω ποινὴν τοῦ θαρσεῖν τινυμένους διομόσασθαι ἡσυχάζειν τοῦ λοιποῦ καὶ μὴ βιάζεσθαι τὰ μὴ δυνατά, ἔνθα θεὸς ἄλλα βούλεται.

Οὐκ ἂν δὲ εἴη πάρεργον ἐνταῦθα προσιστορῆσαι πρὸς θαῦμα τοῦ στρατηγοῦ καὶ ὅτι, τοῦ κατὰ τὸν Χοῦμνον πολέμου ἔξω τότε ῥαγέντος καὶ τοῦ πράγματος διηκουσμένου καὶ εἰς αὐτόν, αὐτὸς ἀφεὶς διπλῶσαι τοῖς βαρβάροις τὸν κίνδυνον, εἴπερ ὁ Χοῦμνος μὲν ἐκεῖθεν πονοῖτο αὐτὸς δ' ἐνταῦθα καταστρατηγοίη, ὡς ἂν κακοῖς ἑκατέρωθεν ἐναποληφθὲν τὸ

emiserit, in fugam illi vertantur, atque ita etiam magis civitas deseratur. aegre quidem ferebant talia boni duces ac milites, sed ferebant tamen, quod corpori civitatis pulcro malum impositum caput esset, nec tentabant ordinem constitutum tollere, obediebantque, haud sane salubriter. quum autem aliquando statuisset obedientem se praestare, sic temere egit. quum Chumnus cum cohorte sua hostes ad portam orientalem constitutos adoriri auderet, conareturque quamquam res infeliciter evenit propter ignaviam comitantium illum militum et turbas tum a peregrinis tum a civitatis liberis, qui post ceterorum fugam reliqui erant, excitatas) ferociter procurrere adversus obsidentes Latinos, qui totos se illi obiecerunt, Davides portam vix apertam, ut emitterentur, qui eruptionem facturi erant, statim post eos rursus clausit, ita ut vix possent, qui exierant, intra moenia reverti, iurarentque, post talem virtutis suae poenam, posthac se quieturos nec iam conaturos, quae nefas esset, quando deus decrevisset alia.

Haud alienum videtur, quo cognoscatur mirum ducis ingenium, adiicere, quod, dum Chumnus extra moenia deproeliatur atque rei nuntii in urbem afferuntur, ipse barbaros duplici cingere discrimine, si, dum Chumnus illinc hostem urget, hinc ipse institisset, ut utrimque

βάρβαρον καὶ κατά τε στέρνων καὶ κατά τε νώτων πληττόμενον καὶ βαλλόμενον ὀχλοῖτο, οὕτω γοῦν στρατηγεῖν ἀφεὶς ὡς ἔπρεπε, πομπικῶς ἄλλως διέκειτο. ὕψιστος γὰρ ἐν τῷ ἐφῳ γηλόφῳ τοῦ καθ' ἡμᾶς Ζαβαρείου ἐπανηγύριζε, θεωρικῶς τὴν τῆς μάχης ἐκείνης γνωματεύων διάθεσιν, ἣν ἐγειρομένη κόνις ὑπὸ τῶν τρεχόντων καὶ ἀντιτρεχόντων ἐσήμαινε. καὶ οἷα μὲν αὐτὸς τότε εὔχετο ἂν ἢ κατεύχετο, οὐδεὶς ἂν εἰδείη μαθών· ἐκεῖνο δὲ δῆλον, ὡς ὤκνει καὶνταῦθα τοὺς Λατίνους ὀχλῆσαι καί τι σκύλας ἀπασχολῆσαι τοῦ καθ' ἡμῶν πολέμου, ὡς οἷα τάχα που δεδιὼς μὴ καὶ ἐπικαλέσωσιν ὡς δι' αὐτὸν δίπαλτοι τὸ Ῥωμαϊκὸν αὐτοῖς ἐπετέθησαν στράτευμα. καὶ ἔπασχε μὲν τηνικαῦτα μυκτῆρα ἐκ τῶν γυναικῶν,
289 ὅτι καθελὼν ἐκείνας τοῦ ἄνω ἐκεῖ ἐστάναι αὐτὸς οὐ κατά τι αἴσιον ἀναβαίη, γυναικεῖον τόπον ἀναπληρῶν· ἦν δὲ αὐτῷ καὶ ὁ ἐκ τῶν γυναίων μῶμος ὡσεὶ οὐθέν. πόθεν γὰρ εἶχε γνοὺς ἐννοήσασθαι ὡς πολλοὶ γυναικῶν ὀνειδισμοὶ σφαλλομένους ἄνδρας ἀνώρθωσαν, βαρβαρικούς τε καὶ Ἕλληνας; καὶ ἔχομεν καὶ ταύτην βλάβην ἐξ αὐτοῦ μεγάλην καὶ προφανῆ· ἐπάθομεν γὰρ αὐτῶν Λατίνων ἐξαγγελόντων ὡς, εἴπερ τὴν ὥραν ἐκείνην καθ' ἣν ὁ Χοῦμνος αὐτοῖς ἐπέθετο ἐνεπήδησαν οἱ τῆς πόλεως περὶ τὸν ναύσταθμον, τάς τε μηχανὰς ἁπάσας εἷλον ἂν καὶ τὸ στρατόπεδον ἀπήγαγον, ἐμπρήσαντες καὶ νῆας ὅσας ἐξεγένετο ἂν αὐτοῖς.

periculis barbari circumdati, adversi et aversi feriendo iaculandoque premerentur: quod igitur hoc ita administrare, ut decebat, neglexerit, ac vana se delectaverit pompa. escendit enim in collem orientalem Zabarii nostri, concionatusque ibi artificiose disputabat de pugnae illius administratione, quam sub adorientium et resistentium pedibus excitatus pulvis indicabat. quae ille tum precatus aut imprecatus sit, nemo novit: hoc manifestum est, cessasse eum tum Latinos lacessere et vexando nos levare parumper ab eo bello, quippe qui vereretur haud dubie, ne se accusarent, quod ipso auctore Romani ancipitem sibi exercitum immisissent. atque risui tum erat mulieribus, quod, semet inde deductis, ipse ascendisset, id quod minime decebat, in locum muliebrem. enimvero ludibrium mulierum quoque ille nihili aestimabat. unde enim cognitum habuerit, crebro labantes viros, et barbaros et Graecos, opprobriis mulierum erectos esse? habemus autem hanc quoque eiusdem ignominiam et magnam et manifestam. nobis etenim ipsi Latini narrarunt, si tum, quum Chumnus illos invaderet, nostri milites naves in portu congregatas adorti essent, capturos eos fuisse cunctas machinas et exercitum fugaturos, combustis etiam, quot ipsi possent, navibus.

Ἀλλὰ τοῦτο μὲν ὕστερον ἡμῖν ἐπῆλθε μαθεῖν· ὁ δὲ στρατηγὸς τέως μεθώδευεν ἀσκύλτως τὰ ἑαυτοῦ καὶ ἐνετρύφα τῇ ἀρχῇ, καὶ παρακαλούμενος εἰς ἔργα φιλοπονικῶς αὐτὸς ἐώρταζε τὸ ἀπορραθυμεῖν καὶ ἀναπίπτειν καὶ ἀνίεσθαι καὶ καταπροΐεσθαι τὰ ἡμέτερα μίσει τῷ κατὰ τοῦ βασιλέως, πάνυ μὲν, ἀνθρωπίνως δ' οὖν, ἰδίου κακοῦ τοῦ κατ' αὐτὸν τὸ καθ' ἡμᾶς κοινὸν ἀλλαττόμενος, καὶ τὴν τοῦ Σικελοῦ τῆς τοῦ μεγάλου Κωνσταντίνου προτιθείς, καὶ ὡς ἄν εἴποι τις, τοῦ κατὰ Χάρυβδιν σκοπέλου τὸν ἕτερον ἀνθαιρούμενος. καὶ ὤχλει μὲν αὐτὸν εἰς τὰ καλὰ καὶ ὁ σεβαστὸς Ἰωάννης ὁ Μαυροζώμης, ἐν τῷ ἐκ Πελοποννήσου ἀναβαίνειν μετὰ στρατοῦ παραμείνας ἐνταῦθα, οὔτι κατ' εὔνοιαν μάλα τῶν καθ' ἡμᾶς, ὡς ὑπενόουν πολλοί, ἀλλὰ τοῦτο μὲν εἰς πρόφασιν, πρὸς ἀλήθειαν δὲ πόθῳ καὶ αὐτὸς τοῦ βλέπειν, οὗπερ ἐκπεσεῖν — μή τι δὲ ἄρα καὶ τοῦ ζῆν — φόβον εἶχε καὶ αὐτὸς ἐκ τοῦ Ἀνδρονίκου, ὡς λόγος ἔρρει. καὶ ὅμως ἐλάλει καλὰ καὶ ἤλεγχε τὸν στρατηγόν, ὅπως ἂν καὶ διέκειτο. ὁ δὲ οὐδ' αὐτοῦ ἐπίστροφος ἦν, ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδενός, ἓν ἐκεῖνο σκέμμα στήσας ἐν ἑαυτῷ, τῇ Θεσσαλονίκῃ συγκατοικήσεσθαι δέει τοῦ Ἀνδρονίκου. καὶ μὴν εἶχεν ἂν ἐγγύην ἐπινοήσασθαι ὡς, εἴγε σώσει τὴν πόλιν, ἐκμειλίξεται τὸν ἄγριον οἷα πεπιστωμένος εἶναι ζῆν ἄξιος. ἀλλ' οὔτε τὸν τοῦ βασιλικοῦ ἦθους εὗρεν ἐθάρρει στήσεσθαι ἂν ἐπί τινος

Sed illud quidem ut comperiremus, postea nobis contigit. tum autem dux iste nulla re turbatus sua commoda quaerebat, imperium negligebat, adhortansque ad strenue laborandum alios, ipse otio, inertia et ignavia feriebatur prodebatque res nostras, odio imperatoris commotus, pessime quidem, sed humane tamen, privatum suum incommodum nostro depellens communi, atque civitatem Siculi praeponens civitati magni Constantini, et quasi, ut quis dixerit, prae Charybdi alterum praeoptans scopulum Scyllam. atque turbat eum in pulcris illis inceptis Ioannes Maurozomes quoque, sebastus, qui e Peloponneso rediens cum exercitu hic constiterat, minime quidem nostri admodum gratia, ut multi opinabantur, sed illud quidem simulans, revera amore oculorum commotus, quas ne per Andronicum amitteret — ne dicam vitam — etiam illum metuere fama manabat. nihilo tamen minus bona verba dabat, redarguebatque ducem nostrum, quo iste ingenio esset. at ille ne hunc quidem respiciebat, ut neminem alium, hac una re sibi tanquam scopo proposita, ut cum Thessalonica periret, metu Andronici. et tamen urbe servata quasi pignori quodam confidere poterat, placaturum se esse illius ferociam, si ita se vita haud indignum praestitisset. enimvero nec sperabat, aestuan-

καλοῦ, καὶ αἱ ἁμαρτίαι δὲ ἡμῶν ἀπήγαγον αὐτοῦ τὴν τοιαύτην ἔννοιαν.

Καὶ ὧδε μὲν ἡ κεφαλὴ τῆς πόλεως· τὸ δέ γε λοιπὸν ἅπαν σῶμα πάντῃ διάφορον ἦν, ἑτεροιούμενον εἰς ἀγαθόν. καὶ οἱ μὲν ἔξωθεν στρατευσάμενοι οὐκ ἂν ἔχοι τις εἰπεῖν ὡς τὸ ἀρεϊκὸν ἐψεύδοντο, οἷς ἐνέπρεπον καὶ οἱ ἐξ Ἀλανῶν καὶ εἴ τινες Ἴβηρες. οἱ δὲ τῆς πόλεως ἰθαγενεῖς, τὸ γνήσιον τηροῦντες φιλόπατρι, οὐ πολλοὶ μὲν ἦσαν· τὸ γὰρ πλεῖον ἀνέμοις ἑαυτὸ ἐπιτρέψαν ᾤχετο, καὶ μάλιστα τὸ προέχον κατά τε χεῖρα, ὡς ἐρρέθη, καὶ τὸ δύνασθαι τὸ ἐλέγχειν τὸν στρατηγὸν καὶ συμμετάγειν εἰς τὸ καλόν. καὶ εἶπεν ἄν τις ἀνθρώπους τούτους, τοὺς ὑποστάντας παραμεῖναι τῇ πόλει, οὐκέτι πολιτικοὺς καὶ ἡμετέρου βίου καὶ οἰκοδεσποτίας, ἀλλὰ ληστείας καὶ θηριωδίας καὶ ἐμβριθοῦς ἀγριότητος. ἦσαν γὰρ ἀληθῶς θυμοῦ τοῦ ὑπὲρ πατρίδος ἀκρατεῖς, ἄνδρες κατορθωμάτων, ἀνδρίας γέμοντες, ἀλκὴν πνέοντες, πεπλασμένοι πρὸς ῥωμαλεότητα, διψῶντες μάχην, κατὰ βαρβαρικῶν σαρκῶν πεινῶντες, φάναι τὸ πᾶν, ἀρειμάνιοι· οἳ οὕτως ἐξελάθοντο τῶν ἄλλων ὡς μόνου γενέσθαι τοῦ πολεμεῖν, καὶ τῆς κατ' οἶκον τύρβης ἀνθελέσθαι τὸν ἐπὶ τοῦ τείχους κίνδυνον.

Οὐ τοίνυν ἄνδρες μόνοι ἀλλὰ καὶ γυναῖκες πρὸς Ἄρην ἐμαίνοντο. καὶ ὅσαι μὲν λίθους παρεφόρουν ταῖς τε ἄλλαις μηχαναῖς καὶ τοῖς σφενδονῶσι, καὶ ὅσαι ὑδροφόρουν ἀκμά-

tem imperatoris animum sedari posse virtute aliqua, et errores nostri a tali illum consilio prohibebant.

Tale igitur civitatis caput erat. reliquum corpus universum quacunque diversum erat, in bonam partem varians. nam illi quidem, qui extra urbem militiam agebant, nemo dixerit, quantopere Martem fefellerint, in quibus et Alani eluxerunt et Iberes nonnulli. verum nobiles viri civitatis, qui innatum hominibus amorem patriae servarent, haud multi erant; plerique enim ventis se commiserant profugi, ii maxime, qui et manu pollebant, ut supra dictum est, et reprehendere atque reducere ad bonam frugem praefectum potuissent. atque credidisset quispiam eos, qui in urbe manere sustinuerunt, non tam cives et nostrae vitae homines et patres familias, sed praedones esse bestiarum instar feroces. erant enim revera amore patriae indomito, strenui, virtutis pleni, fortitudinem spirantes, manu promti, pugnae sitientes. barbararum carnium esurientes, ut uno verbo dicam, furore Mavortio acti: qui reliqua omnia ita obliviscebantur, ut nihil nisi pugnas meditarentur, et turbis domesticis anteponerent pericula moenium.

Nec vero viri tantum, sed etiam mulieres furore agitabantur Mavortio: atque illae quidem, quae saxa quum reliquis machinamentis

ζουσαί τε καὶ νεάνιδες, καὶ μὴν καὶ ὅσας τὸ γῆρας ἤδη καταργεῖν ἐποίει τὰ ἔργα συγκεκυφυίας ἔνθα τὸ τέλος πεσούμεθα, αἱ τοιαῦται δόξαιεν ἂν οὐδέν τι μέγα ποιεῖν, εἰ καὶ ἐποίουν, τὸ δύνασθαι βιαζόμεναι καὶ δι' ἡμέρας πονούμεναι. ὅσαι δὲ καὶ πρὸς ὁπλισμὸν ἐρρύθμιζον ἑαυτάς, ῥάκη καὶ ψιάθους ἐναπτόμεναι ὥσει καί τινας θώρακας, καὶ τὰς κεφαλὰς μίτραις εἰς ἕλιγμα διαλαμβάνουσαι, εἴ πως στρατιῶται εἶναι σοφίσονται, καὶ λίθους ἐπισαττόμεναι ἀγαθοὺς ἐκ χειρῶν ἀφίεσθαι τοῦ τείχους ἐγίνοντο, καὶ ὡς εἶχον ἔβαλλον τοὺς ἐχθρούς, — ἀλλ' αὐταὶ τὴν Ἀμαζόνειον ἱστορίαν συγκροτοῦσι καὶ οὐκ ἀφιᾶσιν ἐκείνην ἐλέγχεσθαι. καὶ τὰς παλαιὰς δὲ διακρούονται παρευδοκιμοῦσαι, ἃς οἴδαμεν κουραῖς κεφαλῶν ἐπικουρεῖν τοῖς πατριώταις, σχοινοπλοκοῦσι κατὰ πολέμου ἀναγκαίως ἐκ τοιούτων τριχῶν· οὐ γὰρ τρίχας αὖται ἀλλὰ ψυχὰς προΐεντο. ἰδὼν ἂν Σολομὼν αὐτὰς συγκατέγραψε τῇ παρ' αὐτῷ ἀνδρικῇ γυναικί, προσαπορήσας, εἰς ἣν προυβάλετο ζήτησιν. καὶ ἦν εἰπεῖν τότε τοὺς ὁρῶντας τόν τε Δαυῒδ καὶ τοὺς ἀμφ' αὐτὸν Δαυϊτικούς (ἦσαν γάρ, ὅσοι εἰς ταὐτὸν ἐκείνῳ ἐνόουν, κακὰ φρονοῦντες, ὁποῖα τὰ τῶν κοράκων κολάκων· οἵπερ ἐπαίνους κρώζοντες, ἐφ' οἷς ἐκεῖνος ἀφραίνων ἦν, ἐφύσων εἰς μεγαλειότητα) ὡς αἱ μὲν γυναῖκες ἡμῖν ἄνδρες ἐγένοντο, γυναῖκες δὲ οἱ ἄνδρες οἱ δαυϊδίζοντες.

tum fundis suggerebant, aut aquam apportabant, adolescentes illae et puellae, quin etiam quae aetate provectiore ad opera infirmiores factae et curvatae erant, ad sepulcrum quasi proclives, eae videbantur nihil magnum facere, etiamsi faciebant, quantum poterant, fatigantes se et toto die laborantes. quotquot autem ad proelia se accingebant, pannis et tegumentis iuncosis tanquam lorica corpus indutae, et caput fasciis tortis vinctae, quo militiam parare possent, undique advectos lapides de muro coniiciebant, et eo, quo erant, habitu hostes lacessebant — illae vero Amazonum historiam comprobabant, nec eam refutari patiebantur; ac reprimebant obscurabantque veteres illas, quas crinibus suis subvenisse civibus traditum est, qui funes ad bellum necessarios ex illarum capillis texuerunt. ipae enim non crines, sed animas profundebant. quas si Solomo vidisset, composuisset eas forti illi mulieri suae, dubius praeterea de quaestione, quam sibi proposuit. ac dicere tum poterat, qui Davidem et qui eum sectabantur Davidicos videret (erant enim, qui cum illo sentiebant, malevoli, ut consueverunt cornices adulantes: qui laudes crocitantes, quibus ille insaniebat, ad superbiam eum inflabant), mulieres nobis viros factas esse, viros autem, qui Davidi adhaerebant, mulieres.

Τί δέ; τὸ μὲν λαϊκὸν σύστημα τῆς πόλεως οὕτω πονούμενον ἦν καὶ ὑπὲρ ὃ πεφύκει· τὸ δὲ τῆς λοιπῆς μερίδος ἐμιμεῖτο τὸν στρατηγόν, καὶ τοῦ ἀκούειν μόνου ἐγίνετο καὶ ὁρᾶν; οὔκουν οὐδ' αὐτὸ ἀεργοὺς εἶχε τὰς χεῖρας, ἀλλ' οἷον ἐκλαθόμενον ὡς οὐδέ ποτε αὐτοῖς ἔξεστιν ἀνδράσιν
290 αἱμάτων εἶναι, μετεχρώζοντο, ἐπικρύπτοντες μὲν τὸ βαθὺ ἀποστολικόν, ἐπιπολάζοντες δὲ τὸ κοσμικώτερον. καὶ ἦσαν καὶ ἐξ αὐτῶν ὀχλήσεις τοῖς πολεμίοις οὐκ ἀγεννεῖς· ὅ ποθεν γνόντες ἐκεῖνοι κακῶς ἐν τῇ ἁλώσει καὶ τοῖς τοιούτοις προσήγοντο.

Τοιαύτην συντονίαν μάχης οἱ τῆς πόλεως ἥρμοττον, οὔθ' ἡμέρας διακοπτόμενοι οὔτε νυκτὸς ἀναπίπτοντες. ἐμάχοντο μὲν γὰρ πανημέριοι, παννύχιοι δὲ ἦσαν ἐν ἐγρηγόρσει, φυλακὰς ἔχοντες. ὃ καὶ ἔβλαψε τὴν πόλιν οὐχ ἥκιστα· οἱ γὰρ αὐτοὶ ἀνεξάλλακτοι τὸν ὅλον καιρὸν τῆς πολιορκίας πονούμενοι τέλος ἀπέκαμον, παρειμένοι καὶ τὰ νεῦρα καὶ τὰς ψυχάς. καὶ τὴν τελευταίαν ὅλην νύκτα, μεθ' ἣν ἡμῖν ὁ ἥλιος δυστυχῶς ἔλαμψεν, οὐκ εἶχε τὸ ἑῷον τεῖχος τοὺς φυλάσσειν ἐθέλοντας. καὶ οὐ μόνον διὰ τὴν ἐκ καμάτου πάρεσιν, ἀλλὰ καὶ διότι πρόληψις ἤδη ἅπασιν ἐνεγένετο ἐς αὔριον τὴν πόλιν ἁλώσεσθαι. καὶ ὡς οἷα καὶ εἰς κοινὴν ἦλθε τοῦτο ἔννοιαν, ὀψέ ποτε ἁπάντων ἐπεγνωκότων τὸν εἱρμὸν τῆς κατὰ τὸν στρατηγὸν ἀτρόπου Κλωθοῦς, καὶ αὐτῶν δὲ τῶν πολεμίων τὴν προηγουμένην ἡμέραν ἀναβοώντων Στεντόρειον ἐν τῷ μα-

Quid igitur? numne pars civitatis laica ita laborabat et magis, quam pro virium modo, reliqui ducem imitabantur nec nisi spectabant audiebantque? illi vero nec ipsi compressis manibus sedebant, sed quasi obliti, haud licere sibi cruentis esse, speciem mutabant, abscondito habitu apostolico prolixo, et veste laica super induta. ac patiebantur ex iis turbas haud leves hostes: qui, re alicunde cognita, post urbem expugnatam male illos quoque tractarunt.

Ita proelia continua civitas serebat, nec interdiu cessantes nec noctu requiescentes. pugnabant enim toto die, tota nocte in stationibus vigilabant. quae res urbi perniciosissima fuit. etenim per omne tempus obsidionis iidem semper sine vicariis laborantes, postremo [defatigati sunt, et arcu et anima remissis. itaque tota illa nocte extrema, post quam sol nobis infaustus luxit, non habuit murus orientalis defensores, quoniam non solum ex aerumnis vires defecerant, sed etiam cuncti iam praesenserant, postera luce urbem captum iri. ac subibat ea cogitatio quasi omnium simul animos, quum serò tandem cognovissent textam ab immutabili Clotho telam ducis, et ipsi adeo hostes die priori Stentorea voce conclamassent,

θεῖν (οὐκ οἶδ' ὅθεν) τὴν ἐς νέωτα καθ' ἡμᾶς βλάβην· λέγεται δ' ὅτι ἐκ προδοσίας τινός· οὐκ οἶδα μὲν ἀκριβῶς εἰ καὶ ἄλλης, ἐθνικῆς δὲ καὶ μάλιστα. καὶ ὁ μὲν εἰπὼν Λατῖνος ὡς ἐκ τοῦ κατὰ τοὺς βουργεσίους πύργου θέλημα ἐπέμφθη τοῖς ἔξω κατὰ τῶν τῆς πόλεως καὶ καταμήνυμα τῶν ἐντός, οὐκ ἂν ἀπιστοῖτο ἡμῖν τεκμαιρομένοις ἐξ ὧν ἠκριβώμεθα· τοιοῦτοι γὰρ τινες πυργοφύλακες ἐπίτριπτοι, νεανίαι ἀδελφοὶ ἐκ Χονναβιτῶν, ἔχιδναι γεννηταὶ τῇ πόλει ταύτῃ κατ' αὐτὴν τὴν τῆς ἁλώσεως ὥραν κατήσθιον αὐτήν, καὶ αὐτοὶ ξίφη γυμνώσαντες καὶ κατατρέχοντες τὰς ἀμφόδους γνωστοὶ τοῖς βλέπουσι, πίστιν οὕτω διδόντες καὶ πρώην ἐπίβουλοι εἶναι. καὶ οὐκ ἔσθ' ὅπως οὐ μετελεύσεται ἡ δίκη αὐτούς.

Καὶ ὁ μὲν τοιοῦτος Λατῖνος ὧδε συγκροτεῖται πρὸς ἀλήθειαν, καὶ ἄλλως οὐχ οἷός τε ὢν ψεύσασθαι· ὁ δὲ Ἀβουδίμος Μανουήλ, ἀνὴρ ἰχθύων τιμῆς μελόμενος, νῦν μὲν ὠμογέρων, πάλαι δέ ποτε περιαδόμενος μέγας εἶναι τὴν χεῖρα καὶ βριαρὸς αὐτὴν κατενεγκεῖν τῶν ἀνθισταμένων, οὗ καὶ τὸ κατὰ σῶμα εὐσταλὲς ἔτι κατηγορεῖ τὴν ῥώμην ἣν λέγεταί ποτε πλουτεῖν ὁ ἄνθρωπος, αὐτὸς δὴ ἐφανέρωσε πρόδοτον εἶναι τὴν πανταχοῦ γῆς περιφόρητον τῷ κλέει Θεσσαλονίκην. οὔπω γὰρ ἀκραιφνὴς ἡμέρα ἡ κατὰ τὴν ἅλωσιν, ἀλλ' ἔτι νὺξ ἀμφιλύκη, καθ' ἣν ἔτι καὶ τὸ ἑῷον τεῖχος ἀπρόσβατον ἐχθροῖς ἦν, καὶ αὐτὸς τοῦ ὕπνου ἀνεθεὶς καὶ

cognita pernicie nobis propinqua: quam equidem nescio, unde cognoverint, sed dicunt proditionem factam esse, non ausim affirmare, an ab alio quoque, sed certe quidem ab homine peregrino. nam Latino cuidam, qui ex turri burgesiis opposita consilia adversus incolas et indicia rerum urbanarum obsidentibus missa esse affirmavit, fidem equidem haud derogaverim, rationibus adductus, quibus res manifesta fit. etenim versuti quidam turris custodes, fratres adolescentes e Chonnabitis, viperae pestiferae urbis huius, inter ipsam expugnationem diripiebant eam, strictis gladiis per vicos discurrentes, ac noti omnibus, qui eos viderent, fidem ita faciebant fraudis iam prius structae. nec fore spero, quin poena illos consequatur.

Ille igitur Latinus et testimonium hoc veritatis habet, nec videtur omnino mendax fuisse. Manuel Abudimus autem, vir piscariae praefectus, nunc quidem viridis senex, olim celebratus, quod manu fortis esset et graviter profligaret adversarios, cuius etiamnunc corpus vegetum quasi testimonium roboris est, quo quondam abundasse fertur, diserte declaravit, proditam esse urbem per totum orbem terrarum nobilem Thessalonicam. nondum enim plane illuxerat dies, quo urbs capta est, sed erat adhuc diluculum, nec dum in murum orientalem

τὴν οἰκίαν ἀφεὶς ὑπίσω, ἵνα ἔργων ἅπτοιτο, εὗρε πέντε ἄνδρας Ἀλαμανοὺς ἐνόπλους ἐφίππους, ὁμοῦ συνεστῶτας καὶ ὁμιλοῦντας τὰ σφίσι δοκοῦντα. καὶ ὁ μὲν παρῴχετο ἐκείνους ὁδοῦ λόγῳ, οἱ δὲ προσεκαλέσαντο, καὶ ὡς ἐπέλασεν αὐτοῖς, μετὰ πολλὰ τὰ ἐν μέσῳ ἀπήγαγον αὐτοῦ τὴν δεξιὰν χεῖρα δυστυχῶς τῷ ἀνδρί· γυμνώσας γὰρ εἷς ἐκείνων ξίφος καὶ καταγαγὼν ἀπήραξεν αὐτήν. οὐκ ἔσχε δὲ καὶ εἰς πλέον βλάψαι, πτερωθέντα οἷον εἰς φυγήν.

Τοιοῦτον καὶ τὸ τοῦ Ἀλαμανικοῦ τάγματος προδοτικόν, οὗ πρόδρομοι τὴν χθὲς δείλην τρεῖς τῶν δυσμικῶν πυλῶν τῆς πόλεως κατεπήδησαν καὶ πάντων τῶν ἐκεῖ βλεπόντων τοῖς βαρβάροις φιλίως σανέμιξαν. ἡ δὲ πρὸ δυοῖν ἡμέραιν τῆς ἁλώσεως περὶ πέμπτην τῆς ἑβδομάδος βαθείας ἑσπέρας ἐπιφάνεια Θεοφάνους τοῦ Προβατᾶ ἔσω πόλεως, ὃς ἐκ Δυρραχίου συνωμάρτει τοῖς Λατίνοις φίλιος, τίνας οὐκ ἂν εἰς νοῦν προδοτικὸν ἐναγάγῃ μαθόντας αὐτήν; ἦν Λέων τις ἵππων ἀγαθὸς μελητής, ὁ Ἁγιοευφημίτης, ἰδὼν καὶ περιεργασάμενος, καὶ θυμῷ μὲν βληθείς, οὐκ ἔχων δ' ὅ τι καὶ δράσειεν, ὡσιώσατο ἄμυναν τῇ πατρίδι, ἐξειπὼν τὸ κακὸν τοῖς μὴ τολμῶσι λαλεῖν τι πρὸς τὸν ἐπὶ δυσπραγίᾳ κοινῇ φοβερὸν Δαυΐδ.

Ἀλλὰ ταῦτα μὲν οὕτως ἡμῖν ἀναγκαίως ἐπεμβεβλήσθω ἢ μάλιστα προειλήφθω. οἱ δὲ πολέμιοι στερεῶς κατὰ τῶν

accesserant hostes, quum ille e somno expergefactus et domo profectus, ut opem ferret, quantam posset, quinque equites Alemannos armatos invenit, qui constiterant et sermones inter se serebant. ille praeteribat eos viae intentus, sed revocatus, quum accessisset ad eos et multa cum iis egisset, dextram manum miserabiliter abscissam habuit. etenim unus ex iis stricto gladio eam amputavit. nec ille iam obniti poterat, sed celeri fuga salutem quaesivit.

Talis fuit etiam Alemannicae cohortis proditio, cuius praecursores tres vespera superiori de porta urbis occidentali desiluerant et in omnium, qui aderant, conspectu barbaris amice se immiscuerant. die autem ante captam urbem secundo, quinto hebdomadis, multa vespera in urbem advectus Theophanes Probates, qui Dyrrhachii Latinis amicum se adiunxerat, cui, quaeso, qui rem audiverit, suspicionem fraudis non iniiciat? cuius adventum quum sensisset et animadvertisset equorum praefectus diligentissimus, Leo Hapioeuphemita, sollicitus quidem animo, sed consilii inops, frustra patriae consuluit, re enarranda iis, qui non auderent quidquam enuntiare coram Davide, homine in communi calamitate timendo.

Sed haec quidem ita nobis necessario interposita vel potius prae-

ἐφῶν μερῶν τῆς πόλεως τῶν κατ' αἰγιαλὸν ἕως καὶ τῶν κατὰ τοὺς ἀσωμάτους πυλῶν ἐπέκειντο· καὶ κατὰ τὴν πέμπτην καὶ δεκάτην, ὡς προέκκειται, τοῦ Αὐγούστου τὰς νῆας λιμενίσαντες, τῇ αὔριον πρωΐθεν ὧν ἐβουλεύσαντο εἶχοντο, καὶ ὀξυχειρίας ἐπιβαλόντες ἐποίουν τὰ τοῦ πολέμου. καὶ ἦν ἰδεῖν κατὰ τὴν Ἡροδότειον μοῦσαν νέφη βελῶν τῶν τε κατὰ πέτρας τῶν τε κατὰ ὀϊστούς, δι' ὧν ὁ ἀὴρ ἐσκιάζετο. καὶ ἐβάλλοντο μὲν καὶ οἱ ἐκ τῶν τειχέων (καὶ πῶς γὰρ οὔ; εἶγε ξυνὸς ὁ Ἐνυάλιος), ἐβλάπτοντο δὲ τῶν μὲν ἡμετέρων ἥκιστοι τῶν δὲ ἐναντίων πλεῖστοι. πάνυ γὰρ ἐδεξίωσεν ὁ Θεὸς οὐ τοὺς στρατιώτας μόνους ἀλλὰ καὶ τὰ λοιπὰ τέκνα τῆς πόλεως, οἳ καὶ βάλλειν τοὺς πολεμίους εὐτύχουν καὶ εἰς μῆκος δὲ πολὺ ὅσον ξαφιέναι τὰ βέλη, ὡς ἐντεῦθεν τοὺς ἐχθροὺς τοξότας ἀναποδίζοντας ἄπρακτα βάλλειν καθ' ἡμῶν ἐκ μακρᾶς ἀποστάσεως. ἀπὸ γοῦν τῆς χρυσῆς πύλης τῆς περὶ δυσμὰς ἀφιέμενα βέλη ἐκ τόξων ἐφύλασσον μετέωρον τὸ πτερὸν ἕως καὶ εἰς τὸ καλόν ποτε σεμνεῖον ὃ περιεῖπεν ὁ μυροβλύτης μέγας Νικόλαος, καὶ ἐνέπιπτον ταῖς τῶν βαρβάρων σκηναῖς, καὶ εὐθὺς ἐκεῖναι μεθίσταντο. ὅμοια δέ τινα ἐγίνοντο καὶ περὶ θάτερον μέρος, ἔνθα τὸ ναύλοχον· καὶ οἱ πλωΐμοι τὰς ἐπηρεαζομένας νῆας ἀνακωχεύοντες κατὰ σπουδὴν ἐξέστελλον.

Ὅτι δὲ ἐξέτρεχον οἱ ἡμέτεροι καταπηδῶντες ἐκ τῶν τει- 291
χέων, ὡς οὐκ ἂν εἰδείη ὁ εἰρηνικὸς στρατηγός, ψιλοὶ ὅπλων

cepta sunto. hostes interim acriter urbem inde a parte litoris orientali usque ad portas incorporalium premebant; atque die Augusti decimo quinto, ut supra dictum est, cum navibus in portum subvecti, et postero die prima luce facere aggressi, quae constituerant, strenue bellum parabant. atque videre poteras secundum Musam Herodoteam nubes missilium sive saxorum sive sagittarum, quibus aer obscuraretur. itaque feriebantur quidem etiam, qui in muro collocati erant, (quidni enim, siquidem Mars communis est?), sed vulnerati sunt paucissimi e nostris, ex hostibus plurimi. namque deus eximia dexteritate non solum milites instruxerat, sed etiam reliquos urbis incolas, qui et felicissime hostes attingebant et longissime iaculabantur, ut sagittarii hostium retrogressi incassum ex nimia distantia tela, adversus nos coniicerent. a porta enim aurea, quae occidentem spectat, emissa arcubus tela sublimia ferebantur usque ad pulcrum quondam templum, quod unguentis manans Nicolaus nobilitavit, decidebantque in tentoria barbarorum, quae illico submovebantur. similia fiebant ex parte altera, ubi statio navalis erat; ac nautae naves laesas in altum subvectas confestim in tuto collocarunt.

Quomodo nostri de muro delapsi, ut non sentiret pacis amans

οἱ πολλοί, καὶ ἠνδραγαθίζοντο, ἐν οἷς καὶ παῖδες τοῦ μυροβλύτου ἄλλοι τε καὶ ἐκ τῆς τῶν Σέρβων τεθέντες αὐτῷ· καὶ ὅτι περιεφρόνουν τοὺς ἐχθρούς, καὶ ὡς ἐξ αὐτῶν βαρβαρικῶν σκηνῶν ἁρπάζοντες ἀπήλαυνον ζῶα, καὶ ὡς τοὺς ἀντεπεξιόντας ἠμύνοντο διώκοντες βάλλοντες ῥίπτοντες· καὶ ὅπως ἐντεῦθεν θυμὸς καὶ προθυμία τοὺς στρατιώτας ὑπεδύετο ἄπλετος, ὡς καὶ τὸν στρατηγὸν βαρύνειν οἷς ὤχλουν ἀφιέναι αὐτοὺς ἐξορμᾶν· καὶ ὡς ἐκεῖνος καθάπαξ ἐντυπωσάμενος ἐς ψυχὴν τὴν κατάδυσιν τῆς πόλεως οὐκέτι τὸ ἐμμαχθὲν ἐξαλείφειν ἤθελε· καὶ ὡς ἐκ τούτου ὁ πολέμιος ὄχλος ἐπὶ μᾶλλον θάρσυνος ἦν, καὶ ἐπὶ πλέον μάλιστα, ὅτε τοῦ Χούμνου συρρήξαντος πόλεμον, ἐξὸν αὐτοὺς βλαβῆναι πρὸς τῶν τῆς πόλεως, καθὰ προεκτέθειται, ὁ δὲ ἐφυλάξατο ὡς οἷα περιέπων αὐτούς, — τί δεῖ μακρότερον διαπεταννύειν εἰς συγγραφήν; βαρυνθείη δ' ἄν τις· καὶ ὅτι τοῦ τείχους ὑπονομευομένου κατημέλησεν ὁ Δαυΐδ, εἰς ὅσον καὶ ἀνάθεμα πρὸς τῶν θερμοτέρων καταψάλλεσθαι.

Οἱ μὲν γὰρ τρῶκται τοῦ τειχίσματος, εἰ χρὴ οὕτω φάναι, αὐτοὶ μὲν τῷ τείχει πελάσαντες καὶ συσκευασάμενοι γλύφειν, φραγνύμενοι δὲ κατόπιν τοῖς κάτωθεν ἀκροβολιζομένοις ἄνω, ἔργου ἥπτοντο ἐγκρατῶς οἷα ἐπισπέρχοντες τὸ γλαφύρωμα, ὡς ἂν καθυποδύντες αὐτὸ ἐμβαθύνωσι καὶ καθ' ἡσυχίαν διαμπερὲς τοῦ τειχισμοῦ ταχὺ τὴν συνέχειαν λύσωσι. καὶ ἤνυον τὰ τοῦ σκοποῦ. καὶ αἱ κεφαλαὶ μὲν αὐτοῖς καί τι

praefectus, plerique inermes, procucurrerint et dimicaverint strenue, in quibus etiam pueri Nicolai erant tum alii tum ex Serviis illi commissi; quomodo iidem hostes contempserint, ex ipsis barbarorum tentoriis pecora abegerint et obvios propulerint persequendo, iaculando, feriendo; quomodo alacritas et audacia inde milites ingens ceperit, ut etiam aegre ferret impetum, quo dimitti se cupiebant, praefectus; quomodo ille, semel decreto urbis interitu, non iam conceptam animo sententiam mutare voluerit; quomodo inde tumultus bellicus longe vehementior exstiterit, tum maxime, quum, proelio a Chumno commisso, vexari hostes possent ab urbanis, sicut supra expositum est, ille autem sibi caverit tanquam consulens civibus — quid haec, inquam, copiosiori narratione, qua quis gravetur fortasse, exponam? aut quid memorem, quod murum ab hoste subfossum Davides neglexerit, ita ut etiam execraretur a fervidioris ingenii hominibus?

Etenim moenium rosores, ut ita dicam, murum succedere et excavare aggressi, tecti a tergo ab aliis, qui e loco inferiore sursum iaculabantur, excavandi opus acriter urgebant, quo cavum subeuntes altius penetrarent et, muro per otium perfosso, compagem facile dis-

τῶν μεταφρένων ἐκρύπτοντο, ὁ δὲ λοιπὸς ἄνθρωπος ἑκάστῳ ἐκείνων ἔξω βραχὺ προυφαίνετο. ἐλάνθανε δὲ ἄρα τοῦτο τοὺς πλείονας, ἕως ὁ ἐν Θεσσαλονίκῃ Βασίλειος ὁ Ἰζύσκος κατακύψαι ἄνωθεν τολμήσας καὶ ἰσχύσας εἶδε τὸ πρᾶγμα. ὃς καὶ καρδιώξας ἔδραμε τὴν ταχίστην εἰς τὸν τοῦ στρατηγοῦ πρωτοθεράποντα, καὶ ἐκλαλήσας τὸ πρᾶγμα μετὰ οἴκτου προεκαλέσατο εἰς κωλύμην τοῦ κακοῦ. ὁ δέ — ὦ μαθητοῦ ἀγαθοῦ, ἐκμαξαμένου εὐφυῶς τὰ τοῦ καλοῦ στρατηγοῦ διδασκάλια — χρῆναι μεθίεσθαι ἀπεφήνατο μέχρις ἐς αὔριον, ἕως οἱ ἐχθροὶ ἐντὸς εἰληθέντες τοῦ τρυπήματος εἶτα τῷ ἐκ φρυγάνων καπνῷ ῥᾷον καταπνιγεῖεν ἐντός, ὅμοιον ὡς εἰ καὶ κυνηγέτης πρόχειρον ἄγραν ἔχων θέσθαι θηρίου ἐν τοῖς πεδινοῖς, ὁ δ' ἀλλὰ μεθεὶς καραδοκεῖ τὴν ἐν σπήλυγγι ἐκείνου κατάδυσιν, ὡς οὕτω μᾶλλον ἀγρεύσων ἐκεῖνο καθὰ καὶ μελίσσας ἔσω σμήνους οἱ περὶ ταύτας πονούμενοι.

Καὶ τοιοῦτος μὲν ὁ ἀρχιθεράπων μηχανικός· ὁ δ' ἀρχιτέκτων αὐτοῦ Δαυῒδ ἄλλως ἔπαιζε τὸ μηχανᾶσθαι, καὶ ἀκούων ὡς τρυπᾶται τὸ τεῖχος ἔξωθεν, "τρυπητέον" ἔλεγε "καὶ ὑμᾶς ἔσωθεν." καὶ εἰς τοσοῦτον χασμησάμενος ἐκάθητο τοῦ λοιποῦ χαῦνος, εἰκὼν ζῶντος, ἐμποδίζων οἷον ἰσχάδας καὶ αὐτὸς κατὰ τὸν κωμικόν. καὶ τὴν γλῶτταν ὧδε σαλεύσας ἀτελεσφόρητα ἔφκει, εἰ καὶ τὸ τεῖχος ἔξωθεν ἀκούσοι λίθοις βάλλεσθαι, εἰπεῖν ἂν ὡς βάλλετε αὐτὸ καὶ ὑμεῖς ἔσωθεν. ὧ

solverent. ac perfecerunt sane propositum. capita eorum ac terga abscondita erant, reliquum corpus uniuscuiusque eorum paulum eminebat. latebat hoc plerosque, donec Basilius Tzyscus, civis Thessalonicensis, deorsum inclinari feliciter ausus rem detexit. qui, quamvis torminibus cruciatus, confestim ad primum ministrum praefecti cucurrit, eumque, re cum lacrimis enarrata, ad impediendam calamitatem cohortatus est. ille autem — o discipulum praeclarum, qui tam callide didicisset eximii magistri praecepta — rem in posterum diem differendam esse respondit, donec hostes in cavum inclusi fumo sarmentis excitando facilius suffocarentur, plane ita ac si venator, cui in promptu sit, bestiam in planitie capere, dimittere eam et, dum illa in cavernam abierit, praestolari voluerit, melius scilicet ita eam capturus, sicut apes in alveis capiunt apiarii.

Talis igitur primus officinae famulus erat; magister autem Davides temere ridebat opus: qui ubi murum extrinsecus perforari audivit, "perforari illum," inquit, "etiam a vobis intrinsecus oportet." haec ille effatus, segnis sedebat, viventis imago, et quasi ficos prohibens, ut apud comicum est; ac dicere videbatur, qui ita temere linguam ciesset, quoties murum extra percussum audiebat: "quin vos eun-

παίγνια, δι' ὧν ἐσφαττόμεθα μὲν ἡμεῖς, αὐτὸς δὲ τὸν δύσνουν βασιλέα ἐξέφευγεν, ἄνθρωπος, ἐφ' οἷς ἔδει ἐγρηγορέναι, κατακείμενος καὶ κατὰ παλαιὰν ἀφέλειαν ὀνομάτων εἰπεῖν ἀναπεσᾶς. καὶ μὴν σκέψασθαι ἄλλως καὶ πάνυ ἐστὼς αὐτὸς ἦν καὶ νηφάλιος· ὃ γὰρ προύθετο, ἔνηφε ποιεῖν καὶ οὐκ ἀνῆκεν, ἕως αὐτὸ τεχνικῶς ἀπετέλεσε.

Καὶ οὕτω μὲν προυδόθη τοῖς πολεμίοις καὶ ἡ τῶν λίθων τοῦ τείχους ἐπὶ κακῷ ἡμετέρῳ ὑπολάξευσις κάτω· αἱ δὲ ἐκ τῆς μεγάλης μηχανῆς πέτραι τάς τε ἐπάλξεις κατήρειπον καὶ ἐγύμνουν τὸ τεῖχος φυλάκων· πολλαὶ δὲ καὶ ὑπερπεταννύμεναι κατέπιπτον ἔσω, ποιοῦσαί τινα δεινὰ καὶ αὐταί. διὸ καὶ τεῖχος ἕτερον ἀνταναστῆσαι μελετήσαντες καὶ ἤδη καὶ ἐγχειρήσαντες οἱ καθ' ἡμᾶς ἀπετρέποντο· ἐδεδίεσαν γὰρ οἱ τειχοποιοὶ τοὺς ὑπερτέλλοντας πέτρους, οὐ Ταντάλειον ταύτην φαντασίαν ὀνειροπολοῦντες, ἀλλὰ πρόοπτον ἔχοντες τὸ κακόν. ἔνθα καί τι γελοῖον συνέπεσεν, εἴ τι χρὴ τοῖς πικροῖς γλευκάζοντα συγκιρνᾶν εἱρμῷ τε ἱστορίας, καὶ ἵνα μὴ ὁ μανθάνων τὰ καθ' ἡμᾶς ἀκράτως παθαίνοιτο. ἦν μὲν γὰρ πολιτικὸν μυστήριον ἡ τοῦ τείχους ἀνταναστωσις, ἐλαφρίαν δέ τις ἄνω παθὼν ἐξεβόησε τοῖς ἐχθροῖς ἄπρακτα μωροὺς ἐκείνους πονεῖσθαι κατὰ τοῦ τείχους, ἔσωθεν ἀντεγειρομένου ἑτέρου. ὃς δὴ λόγος καὶ μᾶλλον ἡμᾶς προσέβλαψεν. ἀραιὰ γὰρ τὰ πρὸ τούτου ἀφιέντες τοὺς τειχοσείστας λίθους οἱ ἔξω ἐπύκνουν αὐτοὺς ἔκτοτε, μεθ' ἡμέραν τε οὕτω βλάπτοντες

9. κατήρειπτον T

dem intus percutite." o ludum istum, quo nosmet mactabamur, ille infestum sibi imperatorem effugiebat, homo rebus, quibus invigilare debebat, indormiens et, ut cum antiqua verborum lenitate dicam, feriatus. et tamen ceteroquin ille prorsus vigil et erectus et sobrius erat. revera enim, quod proposuerat sibi, strenue agebat, nec quiescebat, dum sollerter perfecisset.

Ita igitur concessa est hostibus moenium ad perniciem nostram subversio; deiiciebantque ex ingenti machina coniecta saxa propugnacula, et murum defensoribus nudabant; multa etiam trans murum vibrata intra urbem decidebant, cladem ipsa quoque afferentia: unde alium murum nostri excitare conati et opus iam aggressi, deterriti sunt. metuebant enim operae saxa trans murum evolantia, haud somniantes illi inanem Tantali speciem, sed perniciem ante oculos cernentes. atque accidit tum ridiculum quiddam, si licet dulcia amaris miscere et interponere historiae, ne calamitatem nostram qui cognoscat, nimis doleat. erat secretum urbanum novi muri exstructio; sed temeritate quidam abreptus clamavit hostibus, stolidos

ἡμᾶς, καὶ οὐδὲ νυκτὸς βέλη ἀνιέντες διὰ τῆς μεγίστης μηχανῆς· καθ' ἧς ἡμεῖς λαλήσαντες ὡς δεινῆς, εἴ πως ἀποκρουσθείη μηχανικῶς τοῦ καθ' ἡμᾶς τείνεσθαι, ἐσοφίσθημεν εἰς μάθησιν ἐξ ἀγαθῆς κεφαλῆς, ἀκούσαντες ὡς πόλις ἐκ τοιαύτης πέτρας οὐ βλάπτεται. τί δέ; ἀλλ' ὠφελεῖται, ὦ σοφέ, μηχανὰς ἐξουθενοῦν. ἀλλὰ συνίσταται. οὔκουν πάντως; οὐκοῦν τὸ ἀνάπαλιν, εἴγε καὶ καταρρίπτεται οὕτω τὰ ἐρυμνότατα. εἴπομεν ἡμεῖς οὕτω, καὶ ὁ λόγος εἰκῇ ἀπέρρευσε καὶ αὐτός.

Καὶ ἐλύπουν μὲν τὴν πόλιν καὶ τὰ μικρὰ πετροβόλα, 292
οὕτω δεξιῶς βάλλοντα ὡς καὶ τοὺς μοδίους, οἳ πλοίων ὄϊστοῖς ἐνδεδεμένοι μετέωροι ἔκρυπτον ἔνδον ἄνδρας εἰωθότας ἐκεῖθεν καταπέμπειν τὰ βλάπτοντα, συνεχῶς εὔσκοπα βάλλειν καὶ καταχλᾶν, καὶ ἀγῶνα παρέχειν τοῖς μαχηταῖς ἐκεῖθεν διεκχεῖσθαι κάτω καὶ περισώζεσθαι. ἦσαν δὲ τὰ τοιαῦτα ὡσεὶ καὶ βέλη νηπίων πρὸς τὴν μητέρα μεγάλην μηχανὴν παραβαλλόμενα, εἴ τι χρὴ ἐκ τοῦ σοφοῦ στρατηγοῦ πορίσασθαί τι νόημα, ὃς τοὺς ἐκεῖθεν ἐπαφιεμένους λίθους τεθηπὼς τοῦ κτύπου "ἄκουε τὴν γραῖαν" ἔλεγεν, ἀπαθὴς οὕτω τι καὶ μέτριος ὤν, καὶ τὴν θρεψαμένην μαῖαν οἶμαι φαντάζεσθαι δοκῶν παθαινομένην ἐπ' αὐτῷ καὶ κλαίουσαν. λακωνίζων δὲ καὶ ἄλλως ἐκεῖνος τὴν φράσιν, ὡς ἐν μεταποιήσει κάμνει ἡ

illos nequidquam murum subruere, quum intus alius exsurgeret. quae verba rursus calamitatem nostram auxerunt. nam quum rara adhuc saxa in murum contorsissent obsidentes, hinc iam crebra torquebant, nec interdiu tantum nos vexabant, sed ne noctu quidem iaculari cessabant e machina illa ingenti: contra quam quum nos ut exitiosam disputaremus, si forte impediri posset, quominus adversus nos tenderetur, edocti ab ingenioso homine didicimus, urbem tali saxo nihil laedi. quid igitur? conducit certe, o bone, machinas evertere; conducit hercle. annon conducit, quando deiiciuntur etiam firmissima? disputavimus nos ita, atque incassum abiit oratio nostra.

Laedebant urbem etiam minora machinamenta, quae ita accurate iaculabantur, ut etiam dolia, quae navium malis sublimia alligata viros inclusos habebant, inde tela coniicere solitos, continuo ferirent et confrangerent, et molestiam exhiberent militibus, ut inde illi delabi et vitam servare festinarent. erant autem quasi tela infantium, si compararentur cum matre illa, magna machina, si licet aliquid mutuari a duce sapiente, qui demissa inde saxa et fragorem admiratus "audi" inquit "anum," ita quietem agens et torpens quodammodo, et matrem, puto, a qua nutritus erat, sibi apparere ratus, querentem de se et lacrimantem. Laconico sermonis genere etiam alioquin uti solitus, idem quondam anum in mutatione laborare voce

γραῖα, πάλιν ἐμογγιλάλει. ἀπεφοίβαζε δὲ ἄρα ὁ λύγος οὗτος κατά τι Πυθωνικὸν ὡς ἡ πρεσβυτάτη Θεσσαλονίκη πρὸς εἴδωλα καμόντων οἴχεται, καθὰ καὶ πάλαι ποτέ, ὡς ἐξ ἱστορίας καθήκει καὶ εἰς ἡμᾶς. καὶ ἦσαν οἱ λίθοι ἀκριβῶς ἀνδραχθεῖς, ὁποίους κατὰ τῶν ἀμφὶ τὸν Ὀδυσσέα οἱ Λαιστρυγόνες διεχειρίζοντο.

Τοῦ τοίνυν κακοῦ κάτω μὲν ἀναστομοῦντος εἰς ἀξιόλογον χάσμα τὴν τοῦ τείχους στεγανότητα, ἄνω δὲ τοιούτοις λίθοις εἰς τρόμον βιαζομένου, ὀκλάζει τὸ καὶ τοὺς πόδας καὶ τὰ ὕπερθεν παθὸν καί πως ἐπὶ γόνυ συνιζάνει, τά γε πρῶτα εὐμηχάνως συνεστηκός, ἕως οἱ μὲν ὑπορύττοντες τὸν καθ' αὑτοὺς ἄεθλον διηνυκότες ἀποκατέστησαν ταῖς τῶν συμβαρβάρων σκηναῖς, τὰ δὲ ὑποβεβλημένα εἰς ἔρεισμα τῇ διορυγῇ κατεκάη ὡς δοῦναι τόπον ἐντεῦθεν τῇ κατακύψει τοῦ τείχους. οὗπερ οὕτως ὑποκλιθέντος εἰς πλαγιασμὸν συμβαίνει τὸ ἐκείνου ἄκρον διαιρεθῆναι ἄνωθεν ἕως καὶ κάτω, ἔνθα πως ἐγλωχινοῦτο γωνιούμενον, καὶ διαχανεῖν εἰς ἡμέτερον ὄλεθρον. τοῦ γὰρ συνδετικοῦ παραλυθέντος εἱρμοῦ ἔσχιστο ἐξ ἀνάγκης, ὅτι μηδὲ εἶχεν ἡ ἐχομένη πλευρὰ ἐγκαθεστῶτι ἠρμόσθαι, τῆς ἐκ πλαγίων ὑπενδούσης κατὰ βάρος, ἀλλ' ἐκπέμψασά τι ἑαυτῆς ἀφῆκεν ἐπακολουθεῖν κατακλιθείσῃ τῇ γείτονι· καὶ οὕτω χάσμημα καθ' ἡμῶν Ἅιδου εὐρυνθὲν κατέσπακεν εἰς χάος ἀτρύγετον.

Ἦν δὲ ὁ τόπος οὗτος πύργος Χαμαιδράκοντος ἐπικλη-

rauca clamavit. quae verba quasi vaticinabantur modo Pythio, Thessalonicam, urbem vetustissimam, ad manes discessuram esse, sicut olim aliquando factum esse memoriae proditum est. erant autem saxa illa eo onere, cui vires unius hominis vix sufficerent, similia illis, quae in Ulyssem et socios eius Laestrygones torserunt.

Quum igitur infra hiatu haud exiguo murus divelleretur, superne autem in tremorem tantis adigeretur saxis, vacillare ille coeperat, et inferne et superne afflictus, et quasi in genua prostratus est, prius apte compactus, donec ii, qui illum subruebant, opera sua defuncti, discesserunt in commilitonum tentoria, et supposita ad fulciendam ruinam ligna conflagrarunt, ut murus libere iam posset concidere. qui cum ita procideret casu obliquo, factum est, ut a summo ad imum, ubi in angulum flexus erat, divelleretur et ad perniciem nostram hiaret. namque vinculo eo soluto, necessario totus ruptus est, quia latus contiguum non iam habebat, quo inniteretur, parte obliqua pondere suo collapsa, sed parumper loco motum ruinam finitimae partis secutum est. ita nos quasi Orco adversus hiante, in vastam voraginem absumpti sumus.

Erat autem locus ille turris Chamaedraconis, appellatus nomine

θεὶς τῷ λαχόντι ἐπιστατεῖν σύν γε τοῖς ἀμφ' αὐτὸν οὐκ ἀεργοῖς στρατιωτικοῖς, ἀνδρὶ τότε μὲν τακτικῷ, ὕστερον καὶ συμπόνῳ ἡμῖν· ὃς μόνος τῶν ἄλλων ἐνσχεθεὶς τῇ πόλει, τὸ μὲν φαινόμενον κατὰ νόσον, ἄλλως δὲ προμηθείᾳ θείᾳ καὶ συναεθλεύων ἡμῖν παρήγορα, θριξ, ὅ φασιν, ἀνὰ μέσον καὶ ἔβλεπε θάνατον, εἰ μὴ τὸ τῆς τριχὸς ταύτης γραμμικὸν οἷα καὶ εἴς τι πλατὺ ἐπίπεδον ἡμεῖς διαστήσαντες, ὡς ἐμεθόδευσεν ὁ τῆς σοφίας θεός, καὶ παρατείναντες καιρὸν δι' οὗ ὁ βαρβαρικὸς ἐμαλάχθη θυμός, συνετελέσαμέν τι καὶ αὐτοὶ τῷ ἀνθρώπῳ εἰς τὸ καλὸν ἧς ἄρτι ἔχει ζωῆς.

Τοῦ τοίνυν τείχους ἐκείνου παθόντος ὡς ἔπαθεν, ἐπείπερ ἡμέρα διέφαυσε καὶ εἶδον τὸ ἐκεῖσε Χαρώνειον χάσμα οἵ τε ἐχθροὶ οἵ τε ἡμεδαποί, ἐκεῖνοι μὲν συνέχασκον θηριωδῶς τοῦ λοιποῦ καθ' ἡμῶν, ἡμῖν δὲ συμμύσασι ξύμπασα ἐκλείσθη ἐλπίς. καὶ ἦν μὲν τὰ πρὸ τούτου θρασὺς ὁ στρατηγός, κομπάζων πρὸς τοὺς εὖ εἰδότας τὸ τεῖχος οὐκ εὖ πείσεσθαι, ὡς εἰ καὶ καταπεσεῖται, ὅμως αὐτὸς ἐπιλέγδην κρίνας τοὺς ἀρίστους τῆς στρατιᾶς τεῖχος σιδήρεον ἀντιστήσει, τὸ ἐκ τῶν ὅπλων, καὶ ἕως καὶ εἰς τεσσαράκοντα ἡμέρας φύλαξ ἔσται τῆς πόλεως. τότε δὲ ὁ μέχρι λύγου θρασὺς ῥηξήνωρ τῇ τοῦ τείχους ῥήξει διεκόπη τῶν αὐχημάτων καὶ μὴ μένων ὁ αὐτὸς ἔμπαλιν ἐξένευσεν. ἅμα γὰρ δόρυ ἐσκέψατο πολεμικὸν ἐπὶ τοῦ ῥήγματος ἀναρριχησαμένου τῶν τινὸς πλωΐ-

13. *ἀνέχασκον?*

eius, cui obtigerat, ut defenderet eum cum militibus impigris, homini tum militari, postea laborum nobis socio: qui solus omnium relictus in urbe, specie quidem morbo impeditus, sed revera divina providentia retentus, et aerumnarum societate solatium nobis afferens, non pilum latum, ut aiunt, aberat, quin periret, nisi nos pili huius lineam quasi in amplam planitiem extendissemus auxilio dei sapientissimi, et, tempus nacti, dum furor placaretur barbarorum, adiutores illi fuissemus ad servandam, qua nunc fruitur, dulcem vitam.

Quum igitur ita murus ille damnum fecisset, ubi dies illuxit et hiatum illum Charonium tum hostes tum nostri viderunt, illi iam ferociter nobis inhiabant, nobis obmutescentibus omnis spes praeclusa est. dux adhuc animosus fuerat, iactaveratque coram iis, qui bene intelligerent, murum eversum iri, etiamsi ille concidisset, se tamen optimis ex exercitu delectis, murum excitaturum ferreum armorum et in diem usque quadragesimum urbem servaturum. tum autem iste verbis atrox bellator, ruina muri perterritus, iactantiam distulit declinavitque iam eundem se praestare. simulatque enim hastam hostilem supra ruinam conspexit, in murum egresso quodam e nautis,

μων, οὓς ἀνδρικοὺς τὰ τοιαῦτα καὶ δεξιοὺς ἡ τοῦ Σιφάντου ναῦ ἐπλωΐζε (πειρατὴς δὲ ὁ Σιφάντος, ἑκὼν προσχωρήσας τοῖς Σικελοῖς κατά τινα ῥήτρην τὴν συνδόξασαν· ὃς καὶ ἡμᾶς ἑλὼν ἐξένισε — ῥητέον γὰρ οὕτως — ἐπὶ νεὼς τῆς κατ' αὐτόν, ὡς καὶ ὑποκαταβάντες λόγῳ βραχὺ παραστησόμεθα), ἅμα γοῦν οὕτως εἶδεν ὁ τρέσας Δανΐδ, καὶ ἅμα κατόπιν βαλὼν τὰς ἀνδρικὰς ὑποσχέσεις καὶ τὰς τεσσαράκοντα ἡμέρας εἰς οὐδὲ λεπτὸν συστείλας ὥρας ἔδειξε μετάφρενα τοῖς ἐχθροῖς. καὶ τῶν στρατιωτικῶν φωνούντων λεωφορουμένῃ βοῇ τὸ "Κομνηνέ, στάμα καὶ πέζευμα," ὁ δ' ἐπιτελεύτιον οἷον ἀντιμίξας τὸ "καβαλλίκευμα," καὶ τὸ "καθά με βλέπετε," ἐπόθει μὲν ἴσως παρατυχεῖν που τὸ τηνικαῦτα Πήγασόν τινα, δι' οὗ πτερύξεται εἰς ὄρος εἴθε ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης, ἠρκέσθη δὲ ὅμως τῇ φίλῃ ἡμιόνῳ, ἣ καὶ τότε φέρειν αὐτὸν ἔλαχε. καὶ παραδειγματικῶς προφεύγων, τρυφερὸς ἰδεῖν, εὔυφος τὴν ἀναβολήν, ἄτριπτος ὅπλοις τὰς χεῖρας, γυμνασίῳ πρέπων, ἀμίαντος αἵματι, εἶχεν ὡσεὶ καὶ κτίλος ἁφεπομένους τοὺς ἅπαντας παρά τι ὀλίγον. ἦσαν γὰρ ἐν τοσούτῳ πλήθει καὶ μεγάθυμοι ἄνδρες, οἳ καὶ ἀντισταθέντες ἐν τῷ τὸν στρατηγὸν ἄνετα διώκειν ἑαυτὸν εἰς φυγήν, οἱ μὲν ἔπεσον μακαρίως καὶ εὐγενῶς, οἱ δὲ γενναῖα δράσαντες ἐνδεδώκασιν, ὅπου γε καὶ τὸ πολεμικὸν ἐκεῖνο δόρυ καὶ οἱ συνα-

12. τὸ] τοῦ T

quos fortes ad talia et strenuos navis Siphanti vehebat (erat autem pirata Siphantus, qui ultro Siculis se adiunxerat, conditiones quasdam pactus, quae utrisque placuerant: qui idem postea captos nos benigne — dicendum est enim, quod verum est — in navem suam recepit, quemadmodum mox paucis commemorabimus) Davides igitur trepidus iste simulatque id vidit, longe relictis promissis suis splendidis, et contractis in minutissimam partem horae diebus quadraginta, hostibus tergum dedit, atque militibus clamore in circo usitato vociferantibus "Comnene, consiste, descende," ille quasi metam consecuturus "quod bene vertat, caballe" obstrepit, et "me intueminor." optabat, credo, adesse sibi tum Pegasum quendam, quo evolaret in montem sive undas aestuantis maris, contentus tamen erat dilecta sibi mula, quae forte tum quoque illum vehebat, et mirae speciei fugitivus, delicatus vultu, vestitu elegans, armis nihil attritus, decorus habitu, cruore non pollutus, vervecis instar cunctos exiguo intervallo se sequentes habebat. fuerunt enim in tanto numero etiam generosi viri, qui, dum dux impigre fugae se mandat, hostibus obnixi partim pulcre et honeste ceciderunt, partim animose proeliati pedem retulerunt, quum et hostis ille hastatus et qui alii barbari una cum

ναβάντες τὴν ἀρχὴν βάρβαροι κατεσείσθησαν ὑπό τινων ἡμετέρων πολιτῶν, οὔκουν γε στρατιωτῶν. οἱ δὴ πολῖται καὶ 293
κατὰ κράτος ἀντέσχον, ἕως κυκλωθέντες εἶδον κίνδυνον, οὐ πτυρέντες δείματι πανικῷ τῷ τοῦ Δαυῒδ, ἀλλὰ μεμνημένοι
βλάπτειν ἔσω μάλιστα πόλεως οὓς καὶ ἐκτὸς ὥρμαινον σίνεσθαι, εἴπερ ἀφίεντο. ὃ δὲ ἐτροχαλώθησαν οὗτοι κύκλωμα, οὐκ ἐκ τῶν ἄνωθεν ἦν ἀλλὰ τῶν εἰσδραμόντων βαρβάρων ἐκ τῶν ἑῴων πυλῶν· ὡς ὁ στρατηγὸς ἀνεφγμένας ἔωθεν τοῖς ἐχθροῖς ἐχαρίσατο εἰς παρείσδυσιν ἄπονον, ἐπειδὰν ἐγχειρήσας φυγεῖν ἐπέτρεψε τῷ κατεπανευόντι συναναφεύγειν εἰς τὴν ἀκρόπολιν, ἐάσαντα τὰς πύλας, αὐτὸν δὴ τὸν ἐκείνου φάναι λόγον, πυρέσσειν, ὡς οἱ ἀκηκοότες διδάσκουσιν.

Οὕτω δὴ οὖν τοῦ πολεμικοῦ δόρατος ἀναφανέντος ἐπὶ τοῦ τείχους, ἤδη ἐψιλωμένου τῶν ἡμετέρων (λέγω δὴ τοῦ ἑῴου· τὸ γὰρ δυσμικὸν οὐ τοιούτους εἶχε προμάχους, ἀλλὰ τῶν τινὲς ἐκείνων ἀντεῖχον ὡς οὐκ ἂν εἴη ἀνδρικώτερον· ὧν ἐν τοῖς μάλιστα Λέων ὁ Κουταλᾶς, καὶ φρενῶν καὶ ῥώμης καὶ ἀνδρίας πλήρης ἀνήρ, ὃς ἕως καὶ περὶ πλήθουσαν ἀγοράν, τῆς πόλεως ἤδη μεμεστωμένης ὧν οὐκ ἠθέλομεν, ἀντιστάς, εἶτα πρὸς οὐδενὸς ἔχων ἐπικουρίαν καθυφῆκε, καὶ εὐτυχῶς γυμνωθεὶς ἐκέρδανεν ἑαυτὸν εὐκλεῶς, τότε μὲν πολλὰ κεκλαυμένος ὑφ' ἡμῶν, ἄρτι δὲ ἐν τοῖς τῶν ἐπαινουμένων πρώτοις ταττόμενος παρά γε ἡμῖν οἵπερ οἴδαμεν) — τοῦ τοίνυν ὑψοῦ,

9. κατεπανεύοντι?

illo primum escendissent, deiecti essent a quibusdam nostris civibus, non militibus: qui quidem cives strenue restiterunt, donec cincti periculum animadverterunt, haud terrore panico Davidis perturbati, sed intra urbem maxime laedere gestientes, quos etiam extra moenia vexaturi erant, si dimitterentur. verum globus ille, quem hi compellebant, barbarorum erat non a superiori parte ingruentium, sed irrumpentium per portam orientalem: quam dux prima luce hosti apertam reliquerat ad facilem introitum, siquidem fugam meditatus centurioni mandaverat, ut in arcem evaderet et portam, ut ipsius verbo utar, calere sineret, quemadmodum testantur, qui audierunt.

Itą igitur hasta hostili supra murum elata, nostris iam vacuum militibus (murum orientalem dico: occidentalis enim non habebat tales propugnatores: sed illorum nonnulli pugnabant, ut nemo generosius: in quibus maxime Leo Coutalas fuit, vir prudentia, robore et virtute eximius, qui, quum toto fere mane, urbe iam referta quibus non placebat barbaris, restitisset, tandem a nemine adiutus pedem retulit et prospere armis exutus lucrum sui fecit honestissime, tum quidem multum deploratus, sed nunc in beatorum primis numeratus

ὡς ἐρρέθη, φανέντος δόρατος ἐκείνου τῇ συνήθει μετακλίσει καὶ κατακύψει ὡσεὶ καί τινι κατανεύσει κεφαλῆς ἢ καὶ χειρὸς νεύματι μεταχαλουμένου τοὺς ἔξω, βραχύ τι ὥρας μέσον ἦν, καὶ ἡ πόλις πλήρης ἦν τῶν πολεμίων, περιάγοντος Αὐγούστου τετάρτην καὶ εἰκοστὴν ἡμέραν ἐξ ὅτου ἐνέστη, πρῶτα μὲν τῶν τοῦ ναυτικοῦ, εἶτα κατὰ συνάφειαν καὶ τοῦ ἱππικοῦ.

Καὶ ἦν ἰδεῖν τὴν ἡμέραν τότε οὐκέθ' ἡμέραν ἀλλὰ νυκτὶ ἐοικυῖαν, καὶ οἷον παθαινομένην καὶ σκυθρωπάζουσαν ἐφ' οἷς ἑώρα. ὁμίχλη γὰρ αὐτὴν βαθεῖα ἐπάχυνεν ὡσεὶ καὶ ἐκ κονιορτοῦ, ὃν ἢ τυφὼς αἴρει ἢ πόδες ζώων, ἅπερ ἀριθμὸς μετρεῖ ἀπειροπληθής· ὡς εἶναι εἰπεῖν, ὀκνεῖν λάμπειν τὸν ἥλιον οἷς αἱ τῶν ὅπλων ὑπερηύγαζον αὐτὸν λαμπρότητες, πυρῳδῆσαι δὲ καὶ ἐκ παλαιᾶς Μούσης "ὀκτωκαίδεκα μὲν πλέεν ἤματα ποντοπορεῦον" τὸ τῆς πόλεως σκάφος, "ἐννεακαιδεκάτῃ δ' ἐφάνη οὔρεα σκιόεντα," δι' ὧν ὁ τῆς ζωῆς ἡμῖν ἥλιος ἀποτειχιζόμενος ἐμέλαινε σκιὰν ἐπικαλύψουσαν ἡμᾶς ψαλμικῶς. οἱ δὲ χθὲς καὶ πρῴην ἀλαλαγμοὶ καὶ αἱ κατὰ πόλεμον βοαὶ καὶ ὁ ἐντεῦθεν θροῦς οὐκέτ' ἦσαν, ἀλλ' ἀντιστρέψαντα τὸ ψαλμικόν, οὐκ ἦν ἀλαλαγμὸς ἐν τοῖς ἡμῶν πλήθεσιν. εἰ δες δ' ἂν καὶ ὀρνέων πετομένων κενὸν τὸν ἀέρα, οὐκ οἶδ' εἴτε διὰ τὸ τοῦ ἀέρος στυγνὸν εἴτε καὶ ὅτι φρικτὸν ἦν καὶ ἐκείνοις τὸ πρᾶγμα. ἡμέραι γοῦν ἱκαναί, καὶ οὐδαμοῦ οὔτε

19. ἀντιστρέψαι?

a nobis quidem, qui eum noveramus) — hasta illa igitur, ut dictum est, supra murum elata et solita flexione et inclinatione tanquam nutu capitis manusve advocante eos, qui foris erant, exiguo temporis intervallo urbs hostibus impleta erat, die mensis Augusti quarto et vicesimo, primum classiariis, subinde etiam equitibus irruentibus.

Erat autem dies ille non iam diei, sed nocti similis, et quasi obscurus tristisque propter ea, quae cernebat. nebula enim densa obscurabatur tanquam pulvere, qui turbine vel pedibus animalium innumerabilium excitatur: ut quis dicere possit, solem lucere desisse, quod lucem suam superaret fulgor armorum, vel adhibere vetustae Musae illud "octodecim equidem dies mare transnavigabam" scapha scilicet urbis, "undevicesimo autem comparuerunt montes umbrosi:" quibus absconditus sol umbram diffundebat, nos ut in psalmis est, obscuraturam, hesternae autem et pristinae quiritationes et clamor bellicus et inde ortus tumultus non iam audiebantur, sed, contra psalmistam, non erat eiulatus in concionibus nostris. cerneres etiam aerem avibus vacuum, nescio, propterne tenebras coeli, an quod terribilis illis quoque calamitas videretur. dies certe complures praeterierunt,

στρουθοὶ οὔτε πέλειαι οὔτε κόρακες, οἳ τῇ καθ' ἡμᾶς πρώην ἐπεχωρίαζον, οὔτε ἄλλος τις ὄρνις τὸν ἀέρα διενήχοντο, ἀλλ' ἐκτετοπισμένα ἐνέμοντο καὶ ἡμῖν ἄφαντα. ἀλλὰ τοῦτο μὲν καὶ μετὰ τὴν ἅλωσιν ἐφ' ἱκανόν, οἷα τοῦ δέους καὶ τοῖς ἀλόγοις παραμένοντος· ἡμέραι γὰρ ὕστερον συχναί, καὶ αἱ μὲν ἄμφοδοι τῆς πόλεως ἔπληθον σπορίμων παντοδαπῶν, οἷς χαίρουσιν οἱ τῶν ὀρνίθων σπερμοφάγοι (τὸ βάρβαρον γὰρ οὐκ ἀνίει ἁρπάζον καὶ κατακενοῦν), ὄρνις δέ ποθεν οὐ κατέβαινε. τούτου δὲ οἶμαι καινότερον ἐκεῖνο ἦν, ὅτι περ ὑετοῦ καταρραγέντος, καὶ ἐξ ὧν οἱ ἐχθροὶ ἐσκόρπιζον, ἀρουντες μέν, οὔκουν σπείροντες δὲ τὸ καλὸν ὅλον ἄστυ, λῃῶν ὥσπερ ἀναφυέντων συχνῶν καὶ εἰς μῆκος ἐπιδεδωκότων, οὐδὲν ζῷον ποηφάγον ἐκεῖθεν ἐκέρδανέ τι, ἀλλ' εἶχεν αἵρεσιν κόνεως ἐρέπτεσθαι ἥπερ ἐκ τῶν βεβλαστηκότων φαγεῖν ὡς ἤ πεφαρμαγμένων οἷς τὸ περιέχον μεμίαντο, ἢ καὶ ὅτι κατὰ τοὺς ῥηκειωμένους, ὡς λόγος, τῷ πάλαι Διομήδει συνεμίσουν τὸ βάρβαρον καὶ αὐτοί, οἷα μὴ ἐθάδες ἐκείνων.

Καὶ τοιοῦτον μὲν καὶ τοῦτο, παραρριφὲν οὐ περιττῶς εἰς συγγραφήν· ἡ δὲ πόλις εἰσπηδησάντων τῶν ἀντιμάχων ἔπασχεν ὅσα φιλεῖ δρᾶν ἄγριος πόλεμος. καὶ οἱ μὲν ἡμέτεροι, οὐχ ὁ μὲν ὁ δ' οὔ, ἀλλὰ πάντες ἔφευγον ἀμεταστρεπτὶ καθ' ὑπεξαίρεσιν εὐαριθμήτων τινῶν, ὅπερ ἔφαμεν· ἐν οἷς

quum nec passeres nec columbae nec corvi, qui ante nos visere solebant, nec alia avis usquam per aerem vagaretur, sed avolaverant et e conspectu evanuerant. atque hoc quidem etiam post captam urbem manebat aliquamdiu, timore quippe etiam pecoribus constructis. dies enim multi abierunt, dum viae urbis repletae sunt granis variis, quae aves granis vescentes amant (barbari enim non cessabant cuncta rapere et vastare), nec ulla avis usquam comparuit. res autem etiam mirabilior haec erat, quod, quum imber largus defluxisset et ex iis, quae hostes, arantes illi quidem, non serentes, venustissimam urbem universam, disperserant, quasi segetes luxuriosae enatae essent et in altum crevissent, nullum animal gramine pascens quidquam inde carpebat, sed pabulum e pulvere anquirere, quam illa vesci herba malebant, sive quod aversarentur eam quasi venenatam, rebus quippe omnibus circum infectis, sive quod, secundum fabulam illam de prisci Diomedis animalibus, ipsa quoque barbaros, utpote haud illis assueta, odissent.

Atque haec quidem hactenus, non praeter rem narrationi nostrae interposita. urbs interim, irruente hoste, passa est, quae atrox bellum parare solet. nostri autem, non passim singuli, sed cuncti sine respectu fugiebant, paucis aliquot exceptis, ut diximus: in quibus

καί τις Βολέας τῶν τῆς ἐκκλησιαστικῆς ξυνοικίας, ὃς ἐγγὺς ἐς τριάκοντα τοὺς μὲν ἀξίνῃ διχάσας τοὺς δὲ καὶ ἄλλως εἰς τὸ ζῆν ἀχρειώσας πολλῇ σπουδῇ τῶν πολεμίων τὴν μητέρα γῆν ἠσπάσατο. αἰσχύνη καὶ αὐτὸ τοῦ Δαυΐδ, ὃς μὴ ἂν ποτε φυγεῖν ἀπομνύς, ἀλλ' ἐπὶ τῷ αὐτοῦ ξίφει πεσεῖν, εἶτα προυτράπετο σωθῆναι λύθρῳ ἄχραντος. καὶ ἦν ἡ καθιστορουμένη φυγὴ οὐκ ἀσύντακτος, ἀλλ' ἐνδόντος ἀρχάς, ὡς προεκτέθειται, τοῦ κορυφαίου στρατηγοῦ· ὃς εἴπερ ἔδειξε πρόσωπον τοῖς ἐχθροῖς, ὡς ἐνεκελεύοντο οἱ τῶν συμφευγόντων γενναιότεροι, συνοὐλωσεν ἂν ταχὺ τὸ τραῦμα τῆς πόλεως. οἱ δὲ τοῦ πολεμίου στίφους ἔκαμνον καὶ ῥίπτοντες τοὺς φεύγοντας καὶ σαττόμενοι λάφυρα, καὶ ἐχρῆν μὲν ἐν τούτοις ἄβλητόν τινα καὶ ἀνούτατον ἐκ μετεώρου ποθὲν τὴν μάχην σκέπτεσθαι καὶ παρασημαίνεσθαι, τοῦ θεοῦ βελέων ἀπερύκοντος ἐρωήν· ἄνθρωπος γὰρ ἐνδεθεὶς τοιούτῳ κακῷ, καὶ πρὸς ἑαυτῷ τὰ μάλιστα τὸν νοῦν ἔχων, οὐκ ἂν σχοίη ἀκριβῶς τὸ πᾶν συγγράψασθαι, πλὴν εἰς ὅσον τὰ καίρια, ὧν τε ἔμαθε καὶ οἷς αὐτὸς πολυτρόπως ἐπέστησεν.

Ἡμεῖς οὖν τῆς μὲν ἀκροπόλεως ἀπογνόντες διὰ τὴν τοῦ ἐκεῖσε ὕδατος ἐκδημίαν, ἧς ὁδηγὸς ὁ στρατηγὸς γέγονε, καὶ τὴν ἀναγκαίαν ἀποσκευήν, ἣν προεμηθευσάμεθα ἡμῶν τε αὐτῶν χάριν καὶ τῶν περὶ ἡμᾶς, διανειμάμενοι, ὡς καὶ προπέ-

294

14. ἀπερυκότος T

Boleas quidam e collegio clerico fuit, qui, prope triginta hostibus partim securi percussis partim alioquin mutilatis, aegre tandem ab illis superatus, terram matrem amplexus est. fuit autem etiam illud dedecori Davidi, quod, nunquam se fuga salutem quaesiturum, sed in gladium se suum daturum esse iuratus, mox tamen servari maluit cruore haud pollutus. neque erat fuga, quam exponere coeperam, incompositâ, sed praeeunte, ut dixi, summo duce suscepta est: qui si obstitisset hosti, ut suadebant fugientium generosiores, facile cicatricem obduxisset vulneri urbis. hostium turba interim gnaviter et feriebat fugientes et praeda se onerabat. ac debuerat aliquis in tanto tumultu salvus et integer e loco aliquo superiori pugnam spectare et consignare litteris, deo defendente vim telorum; nam qui, tanta ipse implicatus clade, ad suam maxime salutem attenderit, non possit accurate omnia describere, nec nisi quae opportune cognoverit audiendo aut quibus ipse passim interfuerit.

Nos igitur, quum de arce desperaremus propter aquae penuriam, cuius auctor dux exstiterat, supellectile necessaria, quam in nostrum et nostrorum usum comparaveramus, distributa, ut supra monitum est, curae non habuimus in sacrum sepulcrum sancti unguentum exsu-

φρασται, μερίμνης δὲ θέμενοι ἔξω καὶ τὴν εἰς τὸν ἅγιον τάφον τοῦ μυροβλύτου καταφυγήν, ἔτι δὲ καὶ τὴν εἰς ἑτέρους θείους ναοὺς (οὐ γὰρ δήπουθεν ἐλάνθανεν ἡμᾶς ὡς πάντων τῶν φευγόντων ἐν τοῖς τοιούτοις ῥυϊσκομένων πολλοὶ παρασυρήσονται τοῦ ζῆν ὠθισμοῖς καὶ τοῖς ἐντεῦθεν πνιγμοῖς), καὶ τῷ οἴκῳ παραμείναντες ὃς περιάδεται ζῶντα ἐκθεραπεύειν τὸν ἅγιον, καὶ πολλὰ καὶ μυρία κακὰ καὶ τεθεαμένοι καὶ πεπανθότες, ἐφ' οἷς θαῦμα περίεισιν ἡμᾶς ὅπως ἀντέσχομεν, τέλος τοῦ πώγωνος, ὅ φασιν, ἐλκυσθέντες ἀπηγόμεθα διὰ ξιφῶν μυρίων ἀνατεινομένων καὶ φρισσόντων ὡστεὶ καὶ λῆϊον πεπυκνωμένων ἀσταχύεσι. καὶ ὠθούμενοι μὲν καὶ κονδυλιζόμενοι καὶ ὕβρεις οὐ τὰς ἐν ἔθει μανθάνοντες μακάριον τὸ πάθος ἐκρίνομεν, εὐχόμενοι ἐν τοιούτοις εἶναι· ὅτε δὲ καὶ σπάθη καθ' ἡμῶν ἐγαυροῦτο, καὶ παραξιφὶς ἐπλαγίαζεν ὡς εἰς σπλάγχνα βάψουσα, καὶ ὁράτια τὰ μὲν ἔνθεν τὰ δ' ἐκεῖθεν τῶν πλευρῶν εὐθύνοντο ἀπειλητικῶς, ἀλλ' ἐνταῦθα εὐχαὶ καὶ μόναι ἀντέπραττον βύθιαι· προσενεγκεῖν γὰρ αὐτὰς πῶς ποτὲ ἦν;

Καὶ ἕως μὲν καὶ τοῦ πολιτικοῦ καθ' ἡμᾶς ἱπποδρόμου τοιαύτη διάθεσις ἡμᾶς εὖθυνεν· ἐκεῖ δὲ τὸν ἤδη ἀποτεθέντα εἰς μνήμην Σιφάντον εὑρόντες, εὐϊππον ἑστηκότα μετά γε καὶ τοῦ Μαυροζώμη, καὶ σκεπτόμενον τί ἂν ἕλοι, μεθειλκύσθημεν ὑπ' αὐτοῦ, λόγῳ μὲν τῷ μὴ ἐπὶ πλέον κόπον σχεῖν

dantis aut templum aliud confugere (neque enim nobis ignotum erat, si cuncti profugi in ecclesias confluxissent, multos pressu suffocatos perituros esse), sed in domo nos continuimus, quae vivum facere sanctum fertur, atque miserias infinitas et intulti et perpessi, quas superasse nos miramur, postremo barba, ut aiunt, abstracti per enses innumerabiles strictos horrentesque tanquam segetem spicis spissam deducebamur. itaque dum contundimur et vellicamur et contumelias haud vulgares experimur, beatam tamen eam miseriam ducebamus, gaudebamusque, quod ita affligeremur; quum autem enses in nos destringebantur, et pugio ex transverso nobis intendebatur tanquam in viscera abscondendus, et hastae hinc illinc lateribus imminebant, tum vero non nisi preces in imo pectore volvebamus: proferre enim illas quomodo potuissemus?

Ducebamur autem isto modo ad hippodromum usque urbis nostrae; ibi autem quum invenissemus beatae iam memoriae virum, Siphantum, generoso equo insidentem cum Maurozoma et circumspicientem, quid ageret, excepti ab eo sumus, ne scilicet diutius affligeretur episcopus, revera autem, ut alia peiora experiremur. nam

τὸν ἀρχιεπίσκοπον, ἀληθῶς δὲ ἵνα δευτέρων χειρόνων πειρασώμεθα. βραχὺ γὰρ ἐκεῖσε τὰ γόνατα κάμψαντες ἔν τινι μικροκαλύβῃ καὶ ξηροῦ ἄρτου ἀπυδακόντες, ἵνα ὕδατος ἐμπιώμεθα (ἦν γὰρ ἡ καρδία ἡμῶν καιομένη ἐν ἡμῖν, ὡς καὶ πάντα τὰ ἐντός), εἶτα κατὰ τιμὴν μυαρίου κελευσθέντες ἐπιβῆναι (μὴ γὰρ οὐ τοιοῦτον ἐκεῖνο τὸ ἱππαρίδιον;), πεισθέντες τῷ ἐπιτάξαντι καὶ ἀνατεθέντες εἰς ἐκεῖνο ἠγόμεθα ἔνθα τὸ ναύσταθμον, μετὰ καὶ γωρυτοῦ καὶ φαρέτρας, ἅπερ ἡ σελλὶς ἔτυχε φέρουσα.

Ὦ μοι τῶν ἐντεῦθεν κακῶν. ὡς γὰρ μὴ ἀρκεσάντων τῶν νεκρῶν δι' ὧν πεζεύων ὥδευσα θερμοῖς ἀτμιζόντων αἵμασι, διὰ σωρείας ἑτέρων ἱππότης περιηγούμην, ὧν οἱ πλείους κατεστρωμένοι πρὸ τοῦ τείχους ἔκειντο οὕτω πεπυκνωμένοι ὡς τὸ ἱππίδιον ἢ μὴ ἔχειν ὅποι γῆς θήσει πόδα, ἢ ἀλλὰ μεταξὺ τῶν [τε] προσθίων ποδῶν δύο ἢ τρεῖς ἔχειν ὑποκειμένους νεκρούς. τῆς δὲ δυσκολίας τῆς τῶν πυλῶν ἐξόδου ἐν οὕτω μυρίοις Ἀγριολατίνοις, καὶ ὅσα δὲ ἔξω ἕως καὶ εἰς τοὺς λιμένας, ἐγὼ μὲν ἐδάκρυσα καὶ οἱ βλέποντες Χριστιανοί, οὐκ ἂν δὲ αὐτὰ ἐκθήσομαι, ἵνα μὴ ἐν οἷς ἐπιτέμνειν ἐθέλω περιττολογῶ. ταῦτα καὶ μόνον κεφαλαιώσομαι, ὅτι τέσσαρας χρυσίνων χιλιάδας ἐγκρατῶς ἐζητήθημεν οἱ μηδὲ ψαμμίων ἢ χοὸς δράκα ἢ τὸ καθομιλούμενον σίελον ἐπὶ στόματος ἔχοντες, ἀκούσαντες καὶ ὀλίγα ταῦτα εἶναι ἐξ ἀν-

quum paulisper ibi in tuguriolo reclinati mandissemus panem aridum et aquam imbibissemus (ardebat enim cor et omnia intestina), deinde honoris causa musculum conscendere iussi (annon talis iste erat equulus?), obtemperavimus imperio, et in animal sublati ad stationem navium deducti sumus, cum receptaculo arcus et pharetra, quae in sella forte suspensa erant.

Proh mala, quae deinde secuta sunt! quasi enim satis non essent cadavera, per quae pedes transissem calido sanguine fumantia, per acervos cadaverum eques circumducebar, quorum plurima ante moenia ita densa proiecta iacebant, ut equus non haberet, ubi pedem poneret, sed inter pedes anteriores tria quatuorve cadavera calcaret. horridum e portis exitum inter tantam innumerabilium Latinorum atrociam, et reliqua deinceps usque ad portum, deflevi equidem cum Christianis, qui ista viderunt, ceteris, exponere non conabor, ne multus esse videar in iis, quae nonnisi attingere decet. hoc tantum commemorabo, modeste nos quattuor millia numum aureorum rogatos esse, qui ne manipulum quidem sabuli vel pulveris vixque salivam in labiis haberemus, atque audisse, etiam parvam illam summam in

θρώπου ὃς ἀρχιεπισκοπὴν περιέπει κεντηνάρια ἐς ἑκατὸν (ὦ πλούτου) ἔτους ἑκάστου δωροφοροῦσαν αὐτῷ· καὶ ὅτι ἐν τῇ τοῦ Σιφάντου νηΐ, ὡς ἦν ἐγχωροῦν, ἀναπαυσάμενοι τῇ καραδοκίᾳ τῶν χιλιάδων ἃς ἡμῖν ἐπέγραψαν οἱ μεγαλοπρεπεῖς πειραταὶ (αὐτὴ γὰρ ἡμῖν κατάλυμα πρῶτον εὐτυχήθη, αἰχμαλώτων γέμουσα κατὰ τὰς λοιπὰς ἁπάσας, οἳ καὶ γοᾶσθαι ἡμᾶς ὀργῶντες αὐτὸ μὲν ποιεῖν οὐκ εἶχον τόλμαν, ὡσίουν δὲ τὸ πένθος προσώπου συναγωγῇ πρὸς σκυθρωπότητα καὶ δυσωπίᾳ ἐκθλιβούσῃ δάκρυα, ὁποίοις καὶ ἡμεῖς, ὅ κατ' ἐκείνους δυστυχὴς φόρτος, αὐτοὺς ἠμειβόμεθα· οὐδὲ γὰρ οὐδὲ προσφωνῆσαι ἔξῆν). — ἐν τοίνυν τῇ τοιαύτῃ νηΐ τότε καταπαύσαντες τῇ ἐπαύριον μετὰ τιμῆς ὁμοίας ἀνήχθημεν εἰς τὸν Κομνηνὸν Ἀλέξιον· ἔνθα θῆρα εἰκονομάχον, Γελίελμόν τινα, ὃς ἐκ τῆς Νικαέων διέδρα τὸν Ἀνδρόνικον, ὁ τόπος ἡμῖν ἐξέφηνεν, ἄγριον ἐκεῖνον καὶ οἷον θανατοῦν καὶ προτοῦ ἐμφαγεῖν· ὃς οἷά τις Ἐριννὺς τραγῳδική, ἔχων κατ' ἐκείνην καὶ δᾷδας, ἐρεβοδιφήσας ἡμᾶς (ἦν γὰρ ἤδη νύξ), καὶ εὑρὼν ἔνθα γῆς ἐκοιταζόμεθα, οὐ πρὸς ὕπνον (ἐπτερύξατο γὰρ καὶ αὐτὸς ἐξ ἡμῶν ἐπὶ νύκτας ἤδη πολλὰς) ἀλλ' ὅτι μὴ εἴχομεν ἢ καθῆσθαι ἢ ἵστασθαι οἷα πολυνημέροις καταπεπονημένοι κακοῖς, ἀνάθεμα πρὸς βοὴν συχνὰ ἐβαρβάριζε κατά τι κακὸν φροίμιον τῷ μὴ φονεύσαντι ἡμᾶς, παρόντος καὶ ἀγαθοῦ τινὸς ἀδελφοῦ αὐτῷ ἐξ οὗ κατὰ τῶν σεπτῶν εἰκόνων τὸν θῆρα ἐμάθομεν

eo esse, qui archiepiscopatum administraret, ad centum centenaria (ah divitias!) quotannis illi praebentem; deinde in navi Siphanti requiescentes, ut licebat, et argentum, quod nobis imperaverant superbi piratae, expectantes (illud enim nobis primum deversorium contigit, captivis refertum, ut ceterae naves, qui nos miserari. quamvis cuperent, non audebant, sed dolorem tamen vultu ad tristitiam composito et lacrimis moestitia expressis significabant: id quod etiam nos vicissim faciebamus, aeque atque illi homo calamitosus: nam ne alloqui quidem quemquam licebat) — in illa igitur navi tum nocte transacta, postero die aeque honorifice ad Alexium Comnenum deducti sumus: ubi feram imaginibus infestam, Gelielmum quendam, qui e Nicaeensium civitate Andronicum effugerat, invenimus, hominem ferocem et quasi prius necare solitum, quos devoraret: qui furiae tragicae instar, facem etiam, ut illa, manibus tenens, per tenebras (iam enim nox erat) nos quaerebat, et quum invenisset, ubi cubaremus non ad somnum capiendum (qui iam multis nos noctibus fugerat), sed quia nec stare nec sedere poteramus, multorum dierum aerumnis exhausti, frequenter barbaro quodam carmine exsecrabatur, quicunque nosnon occidisset. comitabatur illum autem bonus quidam frater, ex quo feram istam in imagines

μαίνεσθαι. ὡς δὲ ἡμεῖς ἠρόμεθα τί τὸ αἴτιον τοῦ φονευτέους ἡμᾶς εἶναι, πρῶτα μὲν θυμωθεὶς αὐτὸς εἰς πλέον ἐπέκρινεν ὡς, εἴπερ αὐτὸς τὴν ἀρχὴν ἡμῖν περιέτυχεν, οὐκ ἂν ἄρτι κεφαλὴν εἴχομεν, εἶτα καὶ αἰτιολογήσας τὸν καθ' ἡμῶν θυμόν, ἐπέραινε τὴν αὐτοῦ σοφίαν εἰς τὸ ἀπίστους ἡμᾶς εἶναι θεῷ οἷα τῷ Ἀνδρονίκῳ πιστούς· πρὸς ἅπερ ἡμεῖς ὑπουλευσάμενοι, καὶ ποικίλα λαλήσαντες ἢ λαλαγήσαντες πρὸς ἄνδρα μαινόμενον (ἠγαπῶμεν γὰρ ἔχειν κεφαλήν), μόλις ἐξημερώσαμεν τὸν ἀτίθασσον, ὡς καὶ ἀσπάσασθαι ἡμᾶς καὶ εἰς χεῖρα φιλήσαντα οἴχεσθαι.

Καὶ οὕτως ἡμεῖς τε νύκτα καταθετικὴν εὕρομεν, τῶν ἐκείνου δᾳδων καὶ λάλων ἀπαλλαγέντες χειλέων, καὶ οἱ συγκατεστρωμένοι αἰχμάλωτοι ἐς Κομνηνοῦ. καὶ διαγαγόντες ἐκεῖ μετὰ τῶν συναιχμαλώτων ἡμέρας ὀλίγας, καί τι καὶ ἐλεηθέντες εἰς τροφήν, ναὶ δὲ ὑπό τινος τῶν ἐκείνου καὶ εἰς χάλκεα κέρματα, ὧν ἡ δόσις ἡμῖν τηνικαῦτα εἰς θησαυροὺς ἐνεγράφη Κροίσου (καὶ ἐλεήσαι ὁ θεὸς ἐκεῖνον τὸν ἄνθρωπον), εἶτα καὶ εἰς τοὺς κόντους, εἰπεῖν δὲ συνηθέστερον, κόμητας (μισῶ γὰρ τὸ ἀκράτως βάρβαρον) ἐκομίσθημεν.

Ἔτι κεφαλαιώσομαι καὶ ὅτι ἀεθλεύσαντες μακρὰ καὶ ἐκεῖ, μόλις μετὰ καὶ ἡμέρας μετρίας τῷ τοῦ ἁγίου οἴκῳ ἀποκατέστημεν· καὶ ὅτι εὑρόντες ἐκεῖ φῦλα Λατινικά, καὶ ἑτεροίων δὲ ἀνθρώπων γέμοντα ἰδόντες τά τε ἄνω τά τε κάτω, ἐξ ἀνάγκης ἐγενόμεθα τοῦ κατὰ τὸν οἶκον κηπι-

saevire cognovimus. itaque quum quaesivissemus, quid causae esset, cur occidendi videremur, primum etiam vehementius exacerbatus, respondit, si ipse statim ab initio nos invenisset, non iam nobis caput salvum futurum fuisse, deinde causas, cur odio nos haberet, explicans, doctrinam suam eo deduxit, ut nos adversus deum perfidos, quippe fidos Andronico diceret: contra quae nos tecte disputando et varia cum illo loquendo fabulandoque (carum enim nobis caput erat) aegre tandem ita mitigavimus hominem ferocem, ut amplecteretur nos et manum deosculatus discederet.

Ita noctem quietam tum ipsi nacti sumus, illius facibus nugisque liberati, tum captivi ceteri nobiscum cubantes in aedibus Comneni. ibi cum sociis captivitatis dies aliquot versati et nonnihil sustentati cibo, a quodam domesticorum adeo numis aeneis donati, quo dono tum divitias Croesi nacti nobis videbamur (misereatur utinam vicissim illius hominis deus), postremo ad contos, sive, ut usitatius dicam (odi enim sermonis nimiam barbariem), comites deducti sumus.

Memorabo hoc quoque tribus, verbis, multa illic quoque perpessos nos vix tandem post aliquot dies in aedes sancti nostri restitutos

δίου, καὶ ἐπιδόντες ἑαυτοὺς πεσσουλίῳ τοῦ ἐκεῖσε βραχυτάτου λοετροῦ ἐκείμεθα, χόρτον ἄμικτον ὑποβεβλημένοι· καὶ ὅτι ὀκτὼ μετρήσαντες ἡμέρας, ἐν αἷς ἄρτον ἀκραιφνῆ οὐδὲ εἴδομεν, ἀλλὰ τοῖς ἐκ πιτύρων ἐγκρυφίαις ἐχρεωκοποῦμεν τὸ τῆς γαστρὸς λίχνον, καὶ οἴνου δὲ μηδὲ μύρισμα εὐτυχήσαντες, μετ' αὐτὰς καὶ οἴνου ψευδωνύμου ἠρέμα καὶ ὡς ἀληθῶς κατὰ στράγγα μετέσχομεν, καὶ ἄρτου δὲ ζυμίτου, καὶ ἄλλων δέ τινων· καὶ ὅτι οὐδὲ τὸ κηπίον εἶχε λιμὴν ἡμῖν γενέσθαι τοῦ Λατινικοῦ κλύδωνος. καὶ εἰ μὲν δένδροις ἠχρειοῦτο, καὶ μάλιστα συκαῖς, ὧν καὶ ἄωρος ὁ καρπὸς παρηνομεῖτο τοῖς ὠμησταῖς εἰς ἔμβρωμα, ἔτι δὲ καὶ πρασιαῖς, ἃ δὴ φίλτατα ἡμῖν ἔφυσαν, ἄλλη τοῦτο λύπη τοῖς γε φιλοτοιούτοις· ὅτε δὲ καὶ τὴν ὑποποδιαίαν ἡμῖν ἠχρείουν τράπεζαν, ἀλλ' ἐκεῖνο οὐκ ἔχω φράσαι ὅπως ἂν φέροι τις ἀπαθῶς. ἐκαθήμεθα μὲν γὰρ ὁμιλαδὸν οἱ πτωχοὶ σύσσιτοι, τοὺς πιτυρίας προβεβλημένοι πρὸς τροφήν· οἱ δὲ ἀπαίδευτοι ἀφέντες κείρειν τὰ ἐκ τῆς γῆς, οἷς ἔχαιρον ἐμφιλοχωροῦντες ἀεὶ τῷ κήπῳ, ἐσκευάζοντο καθ' ἡμῶν· καὶ ἐγγίσαντες, εἶτα στραφέντες καὶ τὰ περὶ τὴν ἕδραν γυμνώσαντες καὶ εἰς ἔκκρισιν ὑφιζήσαντες κατεστοχάζοντο ἐξ ἐναντίας ἡμῶν ἀποκοντοῦν τὰ περιττὰ τῆς γαστρός, ῥϊσκόμενα καθ' ὕδωρ διὰ τὰς ὀχετηγοὺς σταφυλάς. καὶ ἐποίουν οὕτω. καὶ οἱ μὲν μεθ' ἡμῶν

esse: cuius tamen et inferiorem et superiorem partem a Latinis occupatam et aliis refertam hominibus invenimus, concessimusque necessitate coacti in hortulum domui contiguam, sedemque nacti in atrio balnei perexigui, quod ibi est, procubuimus, mero foeno substrato; atque diebus octo transactis, quibus furum panem ne videremus quidem, sed frustulis e furfuribus sub cinere coctis ligurientem compesceremus ventrem, vini vero ne odorem quidem haberemus, tandem aliquid nomen vini ementiens quiete et revera guttatim combibimus, panem quoque fermentatum et alia quaedam nacti. ceterum ne hortulus ille quidem portus nobis a fluctibus Latinis tutus erat. quodsi arbores laedebantur, fici maxime, quarum etiam immaturi fructus a feris istis hominibus absumebantur, aut aresae olitoriae, quae carissimae nobis erant, ea quidem res illos sane affligebat, qui talia amant; sed quum etiam pedibus substratam mensam deleverunt, id vero nescio equidem quomodo quis aequo animo ferre potuerit. considebamus enim tenuis coenae socii, furfureo pane, quo pasceremur adposito, quum homines isti agrestes fructus, quibus delectati semper hortum obibant, carpere desierunt, et adversus nos se instruxerunt. prope ad nos accesserunt, deinde conversi, nudatis natibus, consederunt ad exonerandam alvum, locum nobis oppositum captantes, quo egererent supervacanea ventris, aquae instar propter leves uvas profiu-

βδελυττύμενοι, ὡς ἔδει, τὸ μυσαρὸν διερρήγνυντο θυμῷ, καὶ κατηκονῶντο ἀτίμως ἀπαγαγεῖν τοὺς — εἰ χρὴ Ἑλληνικῶς προσρηθῆναι — Ὀζόλας· ἡμεῖς δὲ ἐπείχομεν τοῦ ἔργου, κρίνοντες ὡς οἱ ἁμαρτιῶν βορβόροις ἐγκαλινδούμενοι καὶ τοιούτων ἀποβαίνουσιν ὀδμῶν ἄξιοι.

Προσθήσω ταῖς κεφαλαιώσεσι ταύταις καὶ ὡς ἡ ξηρὰ κοίτη, ἐπὶ πλέον παραμείνασα, ὑψέ ποτε ὑπὸ θεοφιλῶν ἐξεθεραπεύθη ἀνδρῶν, ὥσπερ καὶ ἡ γυμνιτεία, ὧν οὐχ ἡμεῖς δαψιλῶς εἴχομεν μόνοι ἀλλὰ καὶ πάντες οἱ μεθ' ἡμῶν· καὶ ὅτι καὶ ἀπὸ τῶν ἐχθρῶν παρηγάγομέν τι κέρδους, αἰμύλα κωτίλαντες καὶ βαθέα· ὧν οὐκ ἂν ὤκνησέ τις μεμνῆσθαι διὰ τὸ ὑπογλάφυρον, εἴπερ ἦν καιρὸς ἐνταῦθα περιηγηθῆναι καὶ αὐτά. καὶ ἀφαίρεμα μέν τι τῶν ἐξ ἡμῶν (ἡμίονον θετέον εἰπεῖν ἢ βίβλον μίαν γοῦν ἢ στρῶμα ἢ ἄλλο τι τῶν ἡμετέρων) ἐκσπάσαι τοῦ κατ' αὐτοὺς χάους οὐκ ἔσχομεν, χρυσίνους δὲ πεντήκοντα ἐπορισάμεθα, οὐ πάντῃ φορμίσαντες ἀδώρητα· ὅθεν ἡμῖν ἡσυχαία τις ἀνάστασις τοῦ κατὰ παντελῆ πτωχείαν γέγονε πτώματος, τοῦ μυροβλύτου καὶ ἀλλοίαν ἐπίρροιαν παντοίαν πλημμύροντος καθὰ καὶ ἐξ ὠκεανοῦ τινός, ἀφ' οὗ καὶ ἡμεῖς ἐζήσαμεν καὶ τὸ τῆς πόλεως δὲ ἅπαν περιλειπόμενον. οὐκ ἂν γάρ τις ματαιωθείη καὶ εἰς Ἰουδαϊκὴν ἐκκυλισθείη ἀχαριστίαν, ὡς τολμῆσαι προενεγκεῖν

entia. hoc illi faciebant; socii autem nostri, indignati, ut par est, turpitudinem istam, ira rumpebantur conabanturque contumeliose abigere istos — ut Graece dicam — Ozolas: a nobis tamen prohibiti sunt, quippe qui ita existimaremus, qui in stercore turpitudinis volutantur, eos etiam tali odore dignos fieri.

Addam his strictim commemoratis illud quoque: quum satis diu in dura terra cubuissimus, sero tandem a piis hominibus cubili isti consultum esse, pariter atque nuditati nostrae, ita ut non solum ipsi, sed etiam omnes socii nostri abunde omnia haberemus; deinde etiam ab hostibus nonnihil beneficii nos obtinuisse, suavia et blanda fabulando: quae quis commemorare haud differret propter subtilitatem, si opportune hic commemorarentur. nihil quidem, quod nobis surreptum esset (velut mulum vel unum certe librum vel tegetem vel aliud quid rerum nostrarum) extrahere ex illorum faucibus potuimus, sed numos aureos quinquaginta adepti sumus, non prorsus frustra a nobis cantata cantilena: unde placida nobis contigit e nimia inopiae infirmitate restitutio, quum etiam sanctus, qui unguenta exsudat, aliam variam tanquam ex oceano quodam copiam subveheret, unde et ipsi vitam sustentabamus et quidquid civium reliquum erat. neque enim quisquam adeo temerarius fuerit et ad Iudaicam prolabatur turpitu-

τῶν χειλέων ἀκερδὴς ἐκ τοῦ μυροβλύτου ἀπεκβαίνειν τά τε εἰς τροφὴν καὶ λοιπὰ δέ τινα.

Καὶ ταῦτα μὲν ἡμῖν παρεκβεβάσθω συμμέτρως καὶ οὐδὲ πάνυ ἔξω τοῦ δέοντος· οἱ δὲ βάρβαροι πληρώσαντες τὴν πόλιν ὅλην, ἐξ αὐτῶν τῶν ἑῴων πυλῶν ἀρξάμενοι, ἐθέριζον τοὺς καθ' ἡμᾶς, καὶ συχνὰ ταῦτα δράγματα ῥίπτοντες σωροὺς ἐστοίβαζον, ἐξ ὧν Ἅιδης φιλεῖ σιτούμενος. καὶ οἱ μὲν ἐπὶ τῶν ἀμφόδων φεύγοντες ἔπιπτον περὶ αὐτάς, καὶ ἅμα ἐγυμνοῦντο σκυλευόμενοι· καὶ οὕτως αἱ ἀγυιαὶ εἰς οἰκτρὰ ἐσχεδιάζοντο πολυάνδρια, ἡλίου ἐφορῶντος ἃ μὴ ἔπρεπεν. οἱ δὲ ἐν ταῖς οἰκίαις παρέμενον αὐταῖς εἰς ἀδιεξόδευτον· καὶ οὐκ ἦν εὑρέσθαι οἰκίαν ἣν οἰκῶν ἄνθρωπος ἠλεήθη, πλὴν εἰ μὴ ἄρα πλῆθος εἶχεν ὁ οἶκος. ἐκείνου γὰρ οἱ μέν τινες ἔπιπτον ἔσω, οἷς καὶ ἦσαν αἱ οἰκίαι αὐτῶν τάφοι αὐτῶν, παραθεῖναι τὸ ψαλλόμενον· οἱ δὲ διεκχυθέντες εἰς φυγὴν τῇ τοῦ πολέμου τύχῃ ἐπεδίδοντο. καὶ τέως μὲν ἁπλοῖ ἔκειντο οἱ ῥιπτόμενοι· μικρὸν δὲ ὅσον τῶν πολεμίων ῥαισάντων τῆς ἄγαν ἐντρεχείας, καὶ ὑποπαιζόντων πικρότερον κατὰ γαίας, ὃ δὴ λέγεται, κωφῆς, καὶ ἑτεροῖα νεκριμαῖα ἐπέκειντο, καὶ ὁ μέν τις νεκρὸς ἄνθρωπος ὄνῳ κειμένῳ συνεδυάζετο, ἕτερος δὲ κύνα εἶχε συμπαρακείμενον. καὶ τούτων τὰ πλείω καταπεπαιγμένα ἦσαν ὡς εἰς διάθεσιν συμπλοκῆς καὶ φιλήματος. ἄλλος ὁμοῦ ἦν αἰλούρῳ κατοικιδίῳ. οὐδὲ τοιούτων γὰρ τὸ

dinem Ingrati animi, ut dicere audeat, inanem se ab eo sancto discedere sive victum sive res alias rogaverit.

Haec ita a nobis modeste profecto nec praeter rem interposita sunto. barbari autem totam urbem implebant, a porta orientali exorsi, metebantque cives, et acervos cumulabant crebris iaciendis manipulis, quibus Orcus repleri cupit. qui per vicos fugiebant, occidebantur in iis, simulque spoliati nudi iacebant, ut viae subito in tristia hominum comitia mutarentur, adspiciente sole, quae non debuerat; qui autem in aedibus erant, remanebant in iis fuga praeclusi, nec erat domus, cuius incolae parceretur, nisi magnum numerus eam teneret. alii enim intra parietes peribant, quibus quidem domus pro sepulcro erat, ut verbis psalmistae utar; alii, qui foris fuga salutem quaerebant, fortunae belli dabantur. et aliquamdiu quidem homines occisi passim iacebant; sed mox, quum hostes ab incursionis impetu remisissent, et insolentius terrae, ut aiunt, mutae insultarent, tum reliqua mortuis cadavera iniiciebantur, tum alius homo occisus cum cadavere asini copulabatur, alius canem socium habebat: et ea quidem pleraque per ludibrium quasi ad amplexum vel oscula composita erant: alius rursus cum fele domestica: nam ne his qui-

βάρβαρον ἐφείδοντο, καὶ μάλιστα κυναρίων ὡς καθυλακτούν-
296 των καὶ ἐπιτρεχόντων· διὸ καὶ αὐτῶν ἡ καθ' ἡμᾶς πόλις
ἐσπάνισεν. εἴ τι δέ που καὶ περιλέλειπτο, ἀνδρὸς μὲν Ῥω-
μαίου βατεβάϋσεν ἂν καὶ κατέδραμε, Λατίνῳ δὲ ὑπεξεχώρει
κνυζώμενον· κατέγνω γὰρ καὶ τὰ τοιαῦτα οἷ κακοῦ ἦσαν. 5
καὶ εἶχε παροιμιάσασθαί τις τότε κατὰ τοὺς ἐν Σερίφῳ σι-
γῶντας βατράχους καί τινας τοιούτους Ἰταλοὺς τέττιγας, οὕ-
τω καὶ κύνας ἀφώνους τοὺς παρ' ἡμῖν.

Καὶ ἀμφόδους μὲν κατατρέχεσθαι καὶ οἰκίας οὐκ εὖ
πάσχειν οὐκ ἂν εἰς μάχης καινοπράγημα θείη τις· θείους 10
δὲ ναοὺς τυραννεῖσθαι, ἀλλὰ τοῦτο θεομαχίᾳ κρίνοιτ' ἂν ἀγ-
χίθυρον. εἰστρέχοντες γὰρ καὶ εἰς αὐτοὺς ἑκάστους οἱ βάρ-
βαροι ἐποίουν πάνδεινα καὶ οἷα θεὸν ἐρεθίζειν εἰς ἄμυναν.
καὶ ὅσους μὲν ἱερῆς ἄνδρας, τεθωρακισμένους οἷον ταῖς
ἁγιωτέραις τῶν στολῶν, κατέκοπτον, τοὺς πλείους εἰς θάνα- 15
τον, τοὺς μὲν ἐπ' αὐτοῦ τοῦ ἐνθέου βήματος, τοὺς δὲ καὶ
ἐκτός, ὅποι τύχῃ εὕροιεν· οἱ φονευταὶ ἑνστάτας παρὰ θεῷ·
καὶ ὅσον δὲ λαϊκόν, οἳ τοῦ στόματος πλήρους ὄντος τοῦ "κύ-
ριε ἐλέησον" ἀπηρώσσαντο τὰς κεφαλάς, ἐπανακρινόμενοί τί
τὸ "κύριε ἐλέησον," καὶ γελώμενοι. αἱ δὲ κατὰ λαγνείαν χραν- 20
θεῖσαι σεμναὶ γυναῖκες ἐν τοῖς ἱεροῖς καὶ εἰς ἁγνείαν ἐπη-
ρεασθεῖσαι, ἰδού εἰσι, καὶ πρεσβευέτωσαν κατὰ τῶν αἰτίων,
αἱ ὑπὸ γάμου ζυγόν, αἱ διὰ παρθενίαν ἄνετοι, αἱ νύμφαι

dem animalibus barbari parcebant, caniculis maxime, utpote latrantibus accurrentibusque: unde etiam canum illa penuria consecuta est in urbe nostra; nam si forte unus vel alter relictus est, allatraverat is et invaserat Romanos, Latinis de via decesserat cum gannitu: intellexerant quippe etiam illa animalia, in quanta miseria essent. ac possit quis cum ranis Seriphi insulae mutis cicadisque item Italis canes nostros tum similiter elingues conferre.

Enimvero quod in viis concursatum est et vexatae sunt domus, rem in bello minime miram quispiam dixerit; quod autem sacra templa laedebantur, id vero pugnae adversus deum susceptae simile erat. etenim omnia templa ingressi barbari nefasta patrabant, quae deum ad propellendam iniuriam provocare viderentur. quot illi sacerdotes, quasi armatos sacris stolis, plerosque ad necem, percutiebant, alios in ipso sacro suggesto, alios foris, ubicunque homicidae ministros dei invenissent! quot laicos, qui pleno ore precantes "domine, miserere," capite truncabantur, quid illud esset "domine miserere", rogati atque derisi. feminae autem honestae, in templis salacitate barbarorum pollutae et castitatis decore privatae, adversus noxios prodeunto,

τοῦ θεοῦ. καὶ μιᾷ μὲν ἕνα τινὰ συγχρωσθῆναι εἰῇ ἂν μεῖόν τι κακόν· αἱ δ' ἐν τοιούτοις κοιναί, καθά τις ἂν εἴποι, ἀμίδες οὐκ ἂν εὕροιεν κλαυθμὸν ἐπάξιον.

Ἔχω καλόν τι ἐνταῦθα τῶν βαρβάρων εἰπεῖν, ὅτι φονεύειν τοὺς ἐν τοῖς ἱεροῖς ἐπιβαλόμενοί τινες ἀπέσυρον αὐτοὺς ἔξω γοῦν, καὶ οὕτω καθῄρουν, τῷ ζῆν μετριάζοντες τὸ κακόν.

Οἱ δὲ τοῖς θείοις ἐνυβρίζοντες, καὶ τὰ μὲν τῶν σεβασμίων τυπωμάτων κατασχίζοντες, ὅσα μηδέν τι γλαφυρὸν ἐκ τιμίας ὕλης εἶχον τὰ δὲ ψιλοῦντες τοῦ κατ' αὐτὰ κόσμου μετὰ πληγῶν, οὔτε ταῦτα δρᾶν διεγνωσμένοι ἐχώρουν εἰς εὔφημον ἡμετέραν μνήμην, καὶ νῦν δὲ εἰς νοῦν ἐλθόντες ἡμῖν ἀποπτύονται. καὶ πῶς γὰρ ἄν τις γυμνοῦσθαι ἀνθρώπους ἐπ' ἐκκλησίας μαθὼν καὶ ἀχθόμενος ἀνάσχοιτ' ἂν μὴ οὐ χόλῳ διαρραγῆναι, γύμνωσιν κειμηλίων θείων ἐγνωκώς; ὦ θεοῦ ἀνεξικακίας, εἰ βάρβαρον ἄνδρα κατὰ τῆς ἱερᾶς καὶ φρικτῆς τραπέζης ἀναπηδήσαντα καὶ ἐκκαλύψαντα τὴν αἰδὼ καὶ ἐγουροῦντα εἰς ἀκοντισμὸν ἀφῆκε ζῆν ἀνεχόμενος. ὦ σταυροὶ τίμιοι, τὸ ἡμέτερον κράτος, ὅσοις καὶ ὑμῶν οἱ μιαροὶ ἐνέπαιξαν· καὶ ἡ θεία δύναμις ἀτρεμοῦσα οὐκ ἔσθ' ὅπως οὐκ ἐξεγερθήσεται.

Τί ἄν τις ἐνταῦθα ἐκθείη καὶ ταύτην μιαρίαν, ὡς τοῖς μὲν ἐξ ὑέλου ἐκκλησιαστικοῖς λαμπτῆρσιν ἐνεθόρουν οἱ ἀσύν-

virgines iugo matrimonii maturae, propter virginitatem sacrosanctae, sponsae dei. et quidem si singulae a singulis pollutae essent, minor turpitudo foret: sed quasi promiscua ista, ut quis dixerit, flagitii receptacula nunquam digne poterunt defleri.

Laudandi hic mihi sunt barbari, quod quidam in templis absconditos, quos trucidare cuperent, extrahebant certe et deinde occidebant, in vita flagitium continentes.

Qui autem rebus divinis insultabant, et sacra simulacra alia discindebant, in quibus quidem nihil e pretiosa materia elaboratum erat, alia tundendo spoliabant ornamentis, nec tunc istud facere conati gratiam apud nos inibant, et nunc in memoriam revocati abhorrentur. nam quomodo quis, qui homines in ecclesia nudatos cum indignatione audierit, teneat se, quo minus ira rumpatur, quum res divinas nudatas cognoverit? o patientiam divinam, quae barbarum in sacram et venerabilem mensam insilientem et pudendis nudatis vesicam exonerantem sustinuerit et vivere siverit! o cruces venerandae, fortitudo nostra, quotquot scelesti isti laeserunt! nec est, ut placida divina potentia non expergefiat.

Quid illam turpitudiuem commemorem, quod candelabra eccle-

ταχτοι, ὅσα καί οὐράναις, εἴποι ἂν ἡ τραγῳδία, τοῖς δὲ τῶν οὔρων δοχείοις οἷα καὶ ποτηρίοις ἐκέχρηντο; οἵ γε καὶ κατὰ φρεάτων ἀφιέντες προρρέειν τὸν τοῦ κάτ' αὐτοὺς ἀσκοῦ προύχοντα πόδα, εἶτα ὑδρευόμενοι ἔπινον τοῦ μιασμοῦ καὶ τοῦτο πάλιν καὶ πάλιν, καὶ εἰσαεὶ κύκλον τοῦτον ἐλίττοντες ἀσελγῆ.

Ἀλλὰ τοῦτο μὲν εἴη ἂν καὶ γελοῖον παραρριφὲν εἱρμῷ τινὶ καὶ αὐτό· ἃ δὲ ἀνόπιν συγγεγράφαται, ἀλλ' ἐκεῖνα μυρία προκαλοῦνται δάκρυα. ὁποῖον καὶ τὸ τοῦ μυροβλύτου, οὗ τῷ τάφῳ ἐμπεπαικότες μετὰ πελέκεων οἱ τοιούτων εἰς ποινὴν ἄξιοι τόν τε πέριξ ἐπιπολάζοντα κόσμον ἐξ ἀργύρου κατέκοψαν, καὶ τὸν ὑπὲρ κεφαλῆς δὲ περιείλοντο χρύσεον στέφανον, καὶ μὴν καὶ τὸν ἕτερον ἀπήγαγον τοῖν ποδοῖν, ἵνα τάχα τὸ ποδῶκες τῆς ἐξ ἐκείνου δίκης ἐκκλίναιεν. κἂν ἐξέπραξαν ἐς τὸ πᾶν, εἰ μὴ τὸ θεῖον ἀντέβη καὶ ταχὺ ὁδηγῆσαν τοὺς κρείττονας ἔν γε τοῖς βαρβάροις εἰς κωλύμην κατεπέτασε τοῦ κακοῦ. εὐνοῦχος γὰρ τοῦ ῥηγός, ἀμιρᾶς τὴν ἀξίαν, πράττειν ὀξὺς καὶ θερμός, οἷος φόβον βαθὺν καταπέμπειν οἷς ἂν ἄγριος προσενεχθείη, ἔφιππος εἰσελάσας, ὡς οὐκ ἄν τις ἐλπίσοι, ἕως εἰς βαθὺ τοῦ θείου ναοῦ, ὡς μὲν οἱ πολλοὶ ἐνόμισαν, διὰ περιφρύνησιν καὶ αὐτὸς κατ' ἐκεῖνον ὃς ἐν τῇ τῆς μητροπόλεως καθολικῇ καθιππεύσας τόν τε ἵππον ἀπέβαλε συγκατενεχθεὶς θρανσθέντα καὶ αὐτὸς οὐκ εὖ ἀπήλ-

1. ἐνεούρουν?

siarum vitrea effrenati isti tanquam matulas habebant, ut tragoedia dixerit, urinae receptaculis autem pro scyphis utebantur! quid quod iidem utris sui prominens ostium in puteos solvebant, deinde hauriebant bibebantque de mixtura, idque identidem, et perpetuo in obscoenum istum gyrum acti.

Sed hoc quidem quamvis ridiculum ita interpositum esto, ne ipsum quidem praeter rerum ordinem. quae autem supra narrata sunt, ea vero lacrimas infinitas excitant. quale erat etiam, quod in sanctum, qui unguenta exsudat, patrarunt, cuius sepulcrum insolenter violarunt, securibus, quas ipsi meruissent, argenteam crepidinem dissecantes et coronam auream capiti impositam detrahentes: quin etiam pedem alterum abstulerunt, quo scilicet poenae ex eo consecuturae celeritatem declinarent. atque ita forsan universa delevissent, nisi numen divinum obstitisset, et repente primores barbarorum commovisset et excitasset ad sistendam perniciem. namque eunuchus regis, amiras dignitate, acer et promptus ad agendum, et qui terrorem incuteret, ad quemcunque iratus accessisset, equo, quod vix credas, in intimum templum ingressus est, ipse quoque contemptu, ut plerique arbitrabantur, sacrarum rerum abreptus, illius ex-

λαξεν, ἀληθῶς δὲ κατὰ προμήθειαν, ἵνα καὶ ῥᾷον οὕτω διὰ τῆς πυκνότητος τοῦ λαοῦ παρεισδύοιτο φευγόντων ἑκάστων συμπατηθῆναι τῷ ἵππῳ, καὶ ἄποπτος δὲ ὢν βλέποιτό τε καὶ ἀντιβλέποι τοὺς κακουργοῦντας, καὶ οὕτως αὐτοὺς ἀμύνοιτο, — εἰσδραμὼν γοῦν ὁ εὐνοῦχος οὕτω μετ' εὐγενοῦς ἵππου καὶ τὴν μετὰ χεῖρα σιδηρέαν κορύνην κατάγων, συνεπιλαμβανομένων ἅμα καὶ τῶν ἑπομένων θεραπόντων, οἳ καὶ αὐτοὶ σφοδροὶ ὁρᾶν ἦσαν, φόνους τε πολλοὺς ἐκώλυσε καὶ γυμνώσεις ἀνδρῶν τε καὶ γυναικῶν, ἃ δὴ ἑτρωθι κωλυθῆναι οὐκ ἔσχε, καὶ τοὺς ἐπιβούλους δὲ τοῦ ἁγίου τάφου ἀπήγαγεν, ὡς οὐκ ἂν ἐκεῖνοι ἤθελον, κερδήσαντας μόνα (μυρία δὲ ἦσαν ἐκεῖνα) ὅσα πρὸ αὐτοῦ κατέσπασαν φθάσαντες. καὶ φόνους μὲν τοὺς ἐκεῖ κατέσχεν ὁ ἄρχων, τοῦ δὲ πνιγμοῦ τῶν φυγόντων ἐν τῷ ναῷ οὐκ ἦν ἐπίσχεσις, ἀλλ' ὥσπερ ἐν ταῖς ἄλλαις καθολικαῖς, οὕτω καὶ ταύτῃ οὐκ ὀλίγῃ μοίρᾳ τοὺς ζῶντας ὁ πνιγμὸς ἐδικαίωσεν, ὧν ὁ ἀριθμὸς ἐρίζοι ἂν πρὸς τοὺς ἐπ' ἀκροπόλεως πεπνιγότας, ὡς ἡ ἀρχὴ τοῦ λόγου συνέγραψε.

Τί ἂν λέγοιμι τοὺς τῶν τεγέων οἴκων ἄνωθεν καθαλλο- 297
μένους ἐπὶ μελέτῃ θανάτου, ὅτε τὸ μέγα κακὸν καὶ αὐτοὺς περιεστοίχιζεν; οἳ πτερύξασθαι εἰς αἰθέρα μὴ ἔχοντες, οὗπερ ἐφίεντο ἄν, τὸ τῶν βαρέων ἔπασχον καὶ ἐλάκουν εἰς θάνα-

15. κἂν? 17. οὓς?

emplo, qui, quum in catholicam metropolis ecclesiam invectus esset, deturbatus tum equum vulnere laesum amisit, tum ipse male discessit, sed revera divina ductus providentia, quo facilius ita per multitudinem hominum penetraret, ne ab equo conculcarentur caventium, et sublimis tum cerneretur ipse tum cerneret scelestos, atque ita illos flagitio prohiberet — ingressus igitur est ita eunuchus cum equo generoso, et, clavam ferream manu torquens, adiutus etiam a domesticis comitantibus, qui et ipsi manu prompti erant, caedes multas et virorum mulierumque spoliationes impedivit, quae aliter impediri non poterant, et sacro sepulcro insidiantes abegit, quemadmodum ipsis minime placeret, lucratos tantum (infinita sane illa erant), quae ante adventum eius detraxerant. itaque caedes quidem ibi dux ille sistebat, sed elisio fugientium sisti in templo non poterat, verum sicut in reliquis ecclesiis publicis, ita in illa quoque haud exigua hominum pars suffocata est, quorum quidem numerus par est fortasse iis, qui in arce elisi sunt, de quibus in principio huius libri dictum est.

Quid illos commemorem, qui desuper de tectis aedium in perniciem se dederunt, calamitate quippe immani circumventi? qui quum per aerem volare, ut cupiebant, non possent, pro corporum

τον, ἐκ μετεώρου κατασκήπτοντες. τί δὲ τοὺς κατὰ φρεάτων ὡσεὶ καί τινος Κωκυτοῦ καὶ Ἀχεροντίου ὕδατος βυθιζομένους ἄνδρας τε καὶ γυναῖκας; τοὺς μὲν φόβῳ τοῦ μὴ ἄνω πεσεῖν θανάτῳ, τὰς δὲ καὶ κατὰ σεμνότητα. καινὸν δὲ οὐδὲν οὐδὲ ἡ τοιαύτη ἔμπτωσίς τε καὶ κατάπτωσις παρ' ἀνθρώποις, οἳ μὴ μόνον πέτρας εὔχοντο ἂν ῥαγῆναι εἰς ὑποδοχὴν αὐτοῖς καὶ βουνοὺς εἰς κρύψιν κατακυλισθῆναι καὶ οὐρανὸν δὲ αὐτὸν ἐπικαταπεσεῖν, ἀλλά που καὶ χάος καὶ τάρταρον ἐφαντάζοντο εἰς κατάδυσιν καὶ βίου κατάλυσιν. τὸ γὰρ καθ' ἱστορίαν βάραθρον καὶ οἱ κρημνοὶ μικρὰ καὶ αὐτὰ ἦσαν τοῖς ἀφαντωθῆναι θέλουσιν.

Ὦ μοι καὶ τῶν λίθων, οἵπερ ἐπαφιέμενοι τοῖς τοιούτοις πρὸς τῶν βαρβάρων ἀνανεύειν οὐκ ἀφίεσαν, ἀλλ' ἐπιπωμάζοντες κατεχώννυον τοὺς ἐλεεινούς. οὐαὶ τότε καὶ ὅσαι κατὰ γαστέρων εἶχον, ὡς ἐν τῷ φεύγειν βαρύνων ὁ κατὰ φύσιν φίλιος φόρτος ἐξ ὀλιγηπελίης κατέρριπτε συμποδίζων εἰς Ἀΐδην, φθανούσας τὸν διὰ ξιφῶν ὄλεθρον. οἰκτρὸν δὲ τούτων οὐκ ἔλαττον καὶ μητέρες, αἷς φευγούσαις καὶ ἁπαλοὶ παῖδες συνέτρεχον, καὶ τέως μὲν ὁμοῦ ἦσαν· ἐπισπέρχοντος δὲ τοῦ κακοῦ ἐνίκων τὸν δρόμον αἱ μητέρες, δυστυχῶς γε τοῦτο καὶ μάλα. ἐπιστραφεῖσαι γὰρ ἢ οὐκέτ' ἔβλεπον τοὺς ποθουμένους ἀνθαμίλλους, Ἡρώδου δή τινι ψήφῳ περιπεπτωκότας, ἢ ἔπιπτον καὶ αὐταὶ πρὸς τῶν ἐπικαταλαβόντων, μι-

pondere in terram illisi ad necem contundebantur. quid illos, qui in puteos tanquam Cocytum quendam et aquam Acherusiam demersi sunt, et viros et mulieres? viros quidem metu compulsos, ne alto casu perirent, mulieres quodam honesto moriendi studio ductas. nam ne hae quidem praecipitatione vel submersione quaesitae mortes mirae sunt in hominibus, qui non solum saxa rumpi ad hauriendos se, vel montes devolvi ad obruendos vel coelum sibi illabi optarent, sed etiam ipsum orcum et tartarum sibi hiare cuperent ad interitum et perniciem. etenim ex historia nota barathra et praecipitia levia illis videbantur, qui e conspectu auferri cuperent.

Vae saxa, quae a barbaris in eosdem coniecta caput attollere eos non sinebant, sed miseros obruebant! vae tum feminas gravidas, quas in fuga aggravans onus per se dilectum in Orcum demittebat! deliquio animae oppressas, nec minus miserandae erant matres, quae in fuga teneros liberos comites habebant, et aliquantisper quidem aequabantur cursu, sed mox, propius ingruente exitio, iter praecipiebant: quae et ipsa magna sane miseria erat. conversae enim aut non iam videbant consectantes se dilectos liberos, Herodiano aliquo

σούμεναι, ὅτι μὴ ἐκείνων πρὸς ἔρωτα ἐπεστρέφοντο, ἀλλ' ἔκλαιον τὸν ὕστατον ὁλιχόν, ὃν οἱ παῖδες ἐστείλαντο. ἔφευγον καὶ πατέρες, νεογνὰ μητέρων ὀρφανὰ ὀπίσω ἀφιέντες. καὶ αὐτὰ μὲν ὡς ἐπὶ σωτηρίᾳ ἐγωῶντο· οἱ δὲ μὴ ἐπιστρεφόμενοι ἔθεον, καὶ ἡ φύσις ἐβόα κενά. εἰ δὲ καὶ ἐξέδραμον ἐκεῖνα συμφεύγειν, αὐτὰ μὲν ἐποίουν τὸ δυνατόν, ὁ δὲ γενέτωρ ἦν ὁ αὐτὸς τοὺς πόδας, τοῦ κατὰ θάνατον φέβου τὴν φυσικὴν ἐκνικῶντος στοργήν. καὶ εἴπερ ὁ τεκνωσάμενος περιποιήσεται ζωήν, ἀλλ' αὐτὰ συμπατούμενα καὶ πρὸς βίαν σκαριζοντα ἐξώλλυντο εἰς ἐπιθήκην τῶν κατ' ἄνδρας νεκρῶν. οὕτω καὶ θρέμμα τραχὺ λύκων ἐπιτρεχόντων ἀφίησε τὰ οἰκεῖα νεογιλὰ καὶ φεύγει· καὶ ὁ λύκος οὐκ οἶδεν οὐδενὸς φείδεσθαι.

Κλαίω δ' ἐνταῦθα ἐγώ, ἀναπολήσας εἰς νοῦν ὡς καὶ ἡμεῖς ἅπαντες οὕτως ἐφεύγομεν οἷα σφαγῆς πρόβατα, οὔτε ποιμένος προμαχούντος οὔτε μὴν μισθωτοῦ. καὶ μακάριον, εἴπερ ἐφεύγομεν διὰ τέλους. νῦν δὲ ἀλλὰ μικροῦ δέον οἱ πλείους τοῖς τῶν λύκων περιεπίπτομεν στόμασι. μυρία δὴ ταῦτα πτώματα, καὶ οἷα πόλιν ἀποκενοῦν εὐφοροῦσαν ἦν ὅτε οἰκητόρων ἀγαθῶν. καὶ μετροῖντο ἂν οἱ οὕτω πολυτρόπως πεσόντες ὑπὲρ χιλιάδας ἑπτά, ὡς οἱ περιελθόντες ἐστοχάσαντο πρὸς δυνατὴν ἀκρίβειαν, σύν γε τοῖς ἐκ Βουλγάρων πεζοῖς, καὶ ὅσοι τοῦ στρατιωτικοῦ συνέπεσον. οἱ δὲ βάρβαροι πε-

18. πώματα T

imperio interceptos, aut ipsae quoque ab hostibus occidebantur, iratis, quod libidini suae non obsequerentur, sed extremum curriculum deflerent, quod liberi inissent. etiam patres fugiebant, liberis recens natis orbis relictis. flebili vagitu hi opem flagitabant; sed illi sine respectu fugiebant, natura nequidquam clamante. quantumvis liberi procurrerent secuturi, quantumvis pro viribus adniterentur, pater tamen aeque festinanter fugiebat, metu mortis a natura nobis insitam pietatem exsuperante: atque si forte pater vitam servaret, liberi conculcati et adversus vim palpitantes peribant ad cumulanda virorum cadavera. ita etiam bruta pecora, quum lupi superveniunt, relictis catulis recens natis, fugiunt; lupus autem nemini parcere solet.

A lacrimis hic ego mihi temperare nequeo, quum recordor, nos quoque omnes ovium instar, quae lanienae destinatae sunt, fugisse, quum nec pastor, nec vero mercenarius quisquam nos defenderet: beati tamen, qui prorsus effugimus. sed non multum aberat, quominus plerique in fauces luporum incideremus. infinita illa caedes erat, qua necesse erat, ut urbs quondam bonis civibus abundantissima desolaretur. sunt autem, qui ita varie perierunt, plus septem milia,

ριεργασάμενοι ἄλλως εἰς πέντε χιλιάδας ἠρίθμησαν τὸ κακόν, μήτε τοὺς πεπνιγμένους συγκεφαλαιωσάμενοι τούτοις μήτε δηλαδὴ τοὺς ἐπ' οἴκων πεσόντας, ἀλλὰ μόνους ἀριθμῷ δεδωκότες ὅσους αὐτοῖς ἐκθέτους κειμένους ἥλιος ἔφηνεν.

Ἐνταῦθα δάκοι ἂν καρδίαν ἀνδρὸς φιλοίκτου καὶ ὅτι τοὺς κειμένους ἔν τε ταῖς ἀμφόδοις καὶ ἐν τῇ ἀκροπόλει ἀλόγοις ζώοις ἀναμιγνύντες κατέκαιον οἱ ἐχθροί, τὸ μισάνθρωπον, ὀψὲ καὶ τοῦτο δράσαντες. τὰ πρῶτα γὰρ ὑφ' ἡμῶν παρακαλούμενοι καταχῶσαι τοὺς νεκρούς, μὴ καὶ θέα δυσπρόσωπος ἔκκεινται καὶ ἀποφορὰς δὲ νοσερὰς ἀτμίσωσιν, ἐθάδες τοιούτων αὐτοὶ ἔφασαν εἶναι, καὶ χαίρειν τοιαύταις θέαις τε καὶ ὀδμαῖς.

Οἱ μὴν δὴ πολλοὶ φόνοι καὶ αἱ σφοδραὶ ἅρπαγαὶ καὶ τὰ πλείω κακὰ δοκοῖεν ἂν λῆξαι μετὰ μεσημβρίαν τῆς ἡμέρας καθ' ἣν ἡ ἅλωσις, ἐξ ἐπιτάγματος τῶν κομήτων. ἦν δὲ σάββατον, οὐ φυγὴν ἔχον, ἣν εὐαγγελικῶς ἀπεύξαιτ' ἄν τις, ἀλλὰ τηλικαύτης πόλεως ὄλεθρον. τὰ δ' ἐντεῦθεν οὐκ ἂν μέν τις φράσαι ὡς μηδέν τι ἐλλεῖψαι· ὅσα δὲ ἔστιν ἐπιλέξασθαι, αὐχήσωμεν ἂν καὶ αὐτοὶ ἱκανοὶ ἔσεσθαι ἀπογράψασθαι. πάντες οἱ ἔξω ἱππόται, καὶ οἱ ναύαρχοι δέ, ἀκολούθως δὲ καὶ οἱ ἀμφ' αὐτούς, ἀνακαθήραντες ἤδη τὰ σφίσι φοβερὰ καὶ μισήσαντες εἰς πλέον αἰθριοκοιτεῖν, ἔπλησαν ἀδεῶς

prout ii, qui urbem obierunt, quam poterant diligentissime aestimarunt, cum peditibus Bulgaris et ceteris, qui ceciderunt, militibus. barbari autem, inutili opera, ad quinque millia occisorum computarunt, numeratis neque iis, qui suffocati erant, nec qui in aedibns perierant, sed iis tantum eo numero comprehensis, quos in publico proiectos sol collustrabat.

Hic mordeat animum hominis misericordis, quod et in triviis et in arce proiecta cumque brutis animalibus mixta cadavera barbari, gens generi humano infesta, combusserunt, sero demum eo consilio functi. prius enim moniti a nobis, ut sepelirent cadavera, ne tetro adspectu iacerent et vapores noxios exhalarent, assuetos se rebus illis esse et tali adspectu et halitu delectari responderunt.

Caedes frequens et rapina ferocior et miseria maior sub meridiem eius diei, quo capta urbs est, ex imperio comitum cessasse videbatur. erat autem sabbatum, non fuga insigne, quam quis secundum evangelium deprecetur, sed tam eximiae urbis ruina. quae deinde secuta sunt, ea nemo ita explicuerit, ut nihil desit; sed quae narrari possunt, ea quidem, si quisquam, nos nobis videmur exponere posse. omnes igitur, qui extra urbem erant, equites, et vero nauarchi, cum suis quisque ministris, liberati iam rebus omnibus,

τὰς οἰκήσεις τῆς πόλεως, τὰς μὲν μείζους κατὰ κεφαλὰς καὶ ὅσοι περὶ αὐτάς, τὰς δὲ ἐλάττους κατά τινας ἴλας ἑτέρας, ὅσαις ἦν σύμμετρον τὸ κατάλυμα. καὶ τὸ ἐντεῦθεν αὐτοὶ μὲν ἦσαν οἴκων εἴσω, τὸ δὲ πολιτικὸν ἅπαν σύστημα ἐπλάζετο, ἐν οἷς καὶ ἡμεῖς. καὶ τὸ μὲν βάρβαρον ἐνέμετο τὰς ἐπ' οἴκων ἐνθέσεις, οἱ δὲ οἰκοδεσπόται ἀπελήλαντο καὶ περιενόστουν ὧδε κἀκεῖ πεινῶντες διψῶντες ῥιγοῦντες, ὅτι καὶ γυμνοί. καὶ εἴθε μὲν γυμνοί, ὡς ἄν που καὶ ἐλεοῖντο ἐκ τῶν γυμνωσάντων· νῦν δὲ σοφιζόμενοι τὴν ἔνδυσιν διὰ τὸ ἄλλως κατ' ὄψιν αἰσχρὸν οὐκ εἶχον ἔλεον, οἷς τῆς ἀνάγκης ἑκάστῳ, εἰ καὶ ἄναλλον, ἀλλ' οὖν τινὰ στολὴν ἀφοσιούσης, ὁποίαν ἰδὼν ὁ μὲν ἔξω πένθους γελάσοι ἂν διὰ τὸ σκηνικώτερον, ὁ δὲ συγγεγευμένος τοῦ πάθους οὐκ ἂν ὀκνήσοι μὴ ἐκθανεῖν λυπούμενος. ἐτρύπησέ τις ψίαθον, καὶ περιβαλόμενος ἔκρυ- 298
πτε μόγις τὴν προσθίαν αἰσχύνην, καὶ ἠγάπα οὕτω καλυψάμενος, εὐδαίμων αὐτὸς τῇ πρὸς ἑτέρους παραβολῇ, ὅσοι τὸ κατὰ χεῖρα θέναρ καὶ τὰ δάκτυλα καθά τι παραπέτασμα προθέμενοι, καὶ κρύπτοντες ἅπερ ἐχρῆν, ἠρκοῦντο, μὴ ἔχοντες ὅ τι πλέον δράσουσι. καὶ ἦν μὲν καὶ αὐτὸ οὐ θέας ἄξιον· εἰ δὲ καὶ γυναῖκες τοῦ πάθους ἐκοινώνουν τοῦδε, τί δὴ ἔλαμπεν ἥλιος ὡς καὶ ταιαῦτα καθορᾶν; ἀλλ' αὐτὸς μὲν εἶχεν ἄλλως ἐνδείκνυσθαί τι καλόν, ἐκτρέπων τοὺς αὐταῖς ἐνυβρίζοντας· ὁ δὲ ἐπιὼν ἕσπερος πάνδεινα ἐποίει, σκότον προ-

quae terrorem facerent, et aspernati, porro sub divo cubare, impleverunt intrepide domos urbis, et magnas quidem singuli primores cum comitibus, exiguas promiscuae ceterorum catervae, quantas tecta caperent. inde illi in domibus habitabant, omnis turba civium in quibus nos quoque eramus, circumvagabatur. barbari absumebant omnem cibi copiam, domini expulsi hac illac circumibant, esurientes, sitientes, rigentes, quippe qui etiam nude essent: quin imo, utinam nudi fuissent, quo misericordiam eorum, qui eos nudarant, excitassent; sed vestitum excogitaverant, ne puderet se adspici, nec movebant misericordiam, quippe necessitate unicuique vestem, etiamsi alienam, at vestem tamen suppeditante, quam si quis videret extra cladem constitutus, risurus erat scenicam speciem, sed miseriam et ipse expertus vix se contenturus, quominus prae dolore periret. perforavit aliquis saccum iunceum, quo circumiecto vix tegeret pudenda, laetabaturque eo tegumento, beatus, si suam cum aliis sortem compararet, qui palma manus digitisque tanquam operculo praetentis membra, quae tegi decet, obtegebant, quum non haberent, quod praeterea adhiberent. indignus sane ille adspectus erat; quum vero etiam sane mulieres eius miseriae participes essent, quid tandem sol lucebat et ista cernebat! sed tamen erat, quod ille bene faceret, dispellens,

βαλλόμενος εἰς ἀποκρυφὴν καὶ ἀναίδειαν. ἡ μὲν γὰρ ἡμέρα εἶχέ τι σῶφρον δέει τῶν ὑπερεχόντων, ἡ δὲ νὺξ ἐπαρρησίαζε τὰ μὴ ὅσια. ἦν τίς ποτε καὶ ὃς ῥάκος εὑρηκὼς παρερριμμένον που ἀποκαθημένης τυχὸν ἢ καὶ ἀλλοῖον, ὁποίοις πολλοῖς οἱ λεωφόροι κατέστρωνται, καὶ συχνὰ τοιαῦτα συγκερουκὼς εἰς ῥαφήν, ὡς εἶχε, καὶ λεντίου τρόπον συσκευασάμενος, ἄκων ἤθελε τὴν ἀσυνήθη περιστολήν. ἄλλοι συνθέματα ἐρεᾶ μαδῶντα ἐξευρίσκοντες καὶ ἐναπτόμενοι κοιλίαν μὲν καὶ ῥάχιν καὶ τὰ κατωτέρω ἔσκεπον, σχοίνῳ σαθρᾷ καὶ ῥυπαρᾷ τῇ ἐκ φιλύρας ἢ τοιοῦδέ τινος περιζωσάμενοι, τὰ δὲ λοιπὰ ἐν χρῷ κατ' αὐτὴν σάρκα τῷ ἀέρι γινόμενοι. ἱματισμένον δέ τινα ἰδεῖν τὸ ὅλον ὅμοιον ἦν ὡς εἰ καὶ ῥῆγα εἶδεν ἢ ἄλλον ἄνδρα λαμπρότητος. πόρναις μόναις ἐνέλαμπε κάλλος ἱματισμοῦ, αἳ τοῖς ἱεροῖς πεπλώμασιν ἠγλαΐζοντο, εὐπάρυφοι τοῖς μιαροῖς ἐρασταῖς παρομαρτοῦσαι, καὶ βλεπόντων ἡμῶν παρρησιαζόμεναι τὴν ἁμαρτίαν, καὶ συγκαταχορεύουσαι ᾧ κἀνταῦθα θείας ἀνοχῆς. αἱ δὲ κεφαλαὶ τοῖς μὲν πλείοσιν ἦσαν ἀκατακάλυπτοι, τῶν Λατίνων οὕτω σκευωρησάντων, ὡς ἂν ἔχοιμεν τὸ ὁμόστολον. καὶ τοῦτο μὲν οἱ δυνάμενοι ἔπασχον· ὅσοις δὲ τὰ τῆς κεφαλῆς οὐκ εἶχεν ἀπαθῶς, ἀλλ' ἔδει κατακεκαλύφθαι αὐτὰς διὰ τὸ ἄρρωστον, ἀλλ' αὐτοὺς βλέπων τις παντοῖος ἂν τὴν λύπην γένοιτο, τῇ ποικιλίᾳ τῶν βλεπομένων συμπεριαγόμενος. πῖλον μὲν γὰρ

2. ἡ] οὐ T

quippe, qui illis insultarent. ingruens vero vespera immania patrabat, tenebris ad celanda flagitia excitandamque impudicitiam offusis. dies enim modestiam quandam metu superiorum iniungebat, nox nefanda admittebat. erant, qui laciniis vestis attritae aliisque pannis, quibus viae publicae fere obsitae sunt conquisitis et, ut licebat, consutis inque modum lintei comparatis, inviti usurparent amictum insolitum. alii particulas lanae vagas collectas et coniunctas ventri, spinae et parti corporis inferiori circumdabant, fune marcido et sordido tiliaceo aliove simili adstrictas, reliquum corpus nudum et apertum habebant. iuste autem aliquem vestitum cernere plane erat, ac si regem vel alium hominem illustrem videres. in solis scortis splendebat cultus vestium, quippe quae vestimentis sacris niterent, limbisque decorae cum turpibus adulteris consuescebant et in conspectu nostro flagitium admittebant, tum quoque divinae insultantia patientiae. capita plerisque civibus intecta erant, Latinis hanc curam gerentibus, ut simili secum habitu uteremur. atque hoc quidem robusti patiebantur; quibus autem caput parum validum et propter infirmitatem tegendum erat, eos qui videret vario luctu deflebat, pro varietate speciei agitatus. namque

ἀσκητὸν περιτεθεῖσθαι οἱ εὐτυχέστατοι κατεπλούτουν· τῶν δ' ἄλλων οἱ πλείους ψιάθων πλέγματα ἢ σχοίνων ἢ καλάμης ἐσχεδίαζον εἰς τοιαύτην σκέπην, τὰ πολλὰ καὶ διατετρημένα τὴν κορυφὴν κατὰ καπνοδόκην, τὰ μὲν εὐρῶτος καταβοσκησαμένου, τὰ δὲ καὶ κατὰ βαρβαρικὸν ἄθυρμα, οὐκ ὀλίγα δὲ καὶ πρὸς τέχνην, ἵνα διὰ τοῦ τρήματος ὁ πῖλος, οἷα καί τις χώνη τοῖς διψῶσιν, ἐνερεύγηται συμβολήν.

Καὶ ἦσαι οἱ πάντες ἐκ τῶν τοιούτων στολισμάτων, ὧν πολλοῖς ἐνέλαμπον ὡς οἷά τινες πορφύρεοι λίθοι πληγαὶ πορφύρουσαι τῷ ἐξ αἵματος λύθρῳ, θέαμα καὶ δυσπρόσοπτον καὶ δυνείκαστον, τὸ μὲν οἷς ἐκ νεκρέων ἤκειν ἐδόκουν σκιαί τινες αἴσσουσαι, τὸ δ' ὅτι τοὺς κατὰ φύσιν χαρακτῆρας οὐκέτ' εἶχον διὰ τὸ ἔνδον που ἀναχωρῆσαι ἢ καὶ τέλεον ἐκλιπεῖν τὸν φίλιον χυμόν, δι' οὗπερ ἐξανθεῖ τὸ ἐρύθημα. ἦν οὖν ἔργον γνωρίσαι καὶ τὸν πάνυ ἐν τούτοις φίλτατον· καὶ ἕκαστος ἀνηρώτα ἕκαστον, ὅς τίς ποτ' ἂν καὶ εἴη, διὰ τὸ κατὰ χρόαν πάντων ὁμοειδὲς καὶ διάφορον κατ' οὐδέν.

Ἰτέον ἐπὶ τὰς ἐκκλησίας, καὶ θεωρητέον τοὺς τοιούτους καὶ ἐκεῖ, καὶ ἐρωτητέον τίς ἄρα ἐν τούτοις ὁ πλούσιος ἢ πένης, καὶ ὅσα τοιαῦτα. ἀλλὰ τίς μὲν ἱερᾶται; τίς δὲ ἐπὶ τοῦ ἀναγινώσκειν ἐστί; τίς δὲ τοῦ λαοῦ εἶναι εἴληχε; πάντες γὰρ εἶδος ἓν καὶ μορφὴ ἡ αὐτή· κἂν εἰ μή τις ἀποκριθεὶς τῶν ἄλλων τὸ ἱερὸν εἰσέλθοι βῆμα, στησόμενος εἰς εὐχάς, καί τις

3. ἐβρῶτο T

pilei tegumento felicissimi gaudebant; e ceteris plurimi e crate iuncea scripeave vel e calamo plexa talia tegmina praeparabant, pleraque in fastigio fumarii instar perforata, partim situ et squalore, partim barbarorum ludibrio violata, haud pauca etiam consulto aperta, ut per foramen pileus, quasi quoddam infundibulum sitientium, reciperet symbolam.

Cuncti igitur huius generis vestitu utebantur, in quorum plurimis tanquam lapides purpurei splendebant vibices cruore suffusae, species et mira et acerba, quia et ex inferis videbantur quasi umbrae quaedam ascendisse, nec iam habebant colorem naturalem, propterea quod intus recesserat aut prorsus defecerat succus ille praestabilis, unde rubor efflorescit. itaque difficile erat agnoscere etiam hominem dilectissimum, et omnes se invicem rogabant, qui essent, quod cuncti vultu similes nec quidquam diversi erant.

Eamus in ecclesias et spectemus ibi quoque miseros, quaeramusque, quis eorum dives, quis pauper, et cetera id genus. quis porro sacra peragit? quis lectionem habet? quis e populo est? quippe omnes speciem unam, formam eandem prae se ferunt: nec nisi quis

ἄλλος εἰς τὸν ἱερὸν ἀνέλθοι ὀκρίβαντα ψαλμοῦ χάριν, οὐκ ἦν διάκρισις τούτων τε καὶ τῶν τοῦ λαοῦ. εἶχον δέ τι πάντες οὗτοι σεμνόν, εἰ καὶ ἄλλως λυπηρόν· λελυμένοι γὰρ ἐκ τῶν ποδῶν πάντες τὰ ὑποδήματα τῶν τοῦ ἁγίου οἴκου κρηπίδων ἐγίνοντο.

Σκοπητέον καὶ τὰς ἑκάστων τροφάς, καὶ γνωστέον ὡς ἐκ τῶν συμφυλετῶν μὲν οὐκ ἦν ὅ τι καὶ λάβοιεν, πάντων ἐξ ἴσου πεινώντων, τῶν δὲ Λατίνων ὀλίγοι μέν τινες ἐχορήγουν ὀβολοὺς τοὺς παρὰ σφίσιν, ὅθεν ἦν γλίσχρως ἀποζῆν, οἱ δὲ πλείους διάβολον ἐπικαλοῦντες τὸν ἐπαιτοῦντα (τοῦτο δὴ τὸ παρ' αὐτοῖς εὐχορήγητον) ὕβρεις ἐδίδουν ὡσεὶ καὶ ψωμόν, καὶ κόνδυλον ὄψον ἐπ' αὐταῖς. καὶ ὁ ἔλεος μὲν οὕτως ἦν δυσεύρετος δίχα γε τῶν ἐκ τοῦ μυροβλύτου, ὅς, καθὰ καὶ προγέγραπται, πάντας τοὺς πολίτας ἔθρεψεν εἰς ὅσον ἐχρῆν· εἰ δέ τις καὶ εὐπορηκώς ποθεν ἐθέλοι τιμήματος πορίσασθαι τὸ τρέφον, βαβαὶ τῆς βαρβαρικῆς ἀπανθρωπίας. Ἰουδαίῳ μὲν γὰρ καὶ Ἀρμενίῳ, οὓς ἡ ἀγχιτέρμων Κρανία καὶ ὁ Ζεμενίκος φέρβουσιν, ἐπεμέτρει, ἐς ὅσον τε καθῆκον ἦν καί τι καὶ εἰς ὑπέρμετρον· ἐαλωκότι δὲ πολίτῃ ἐλάχιστον, εἴ που καὶ ἐπιστραφείη αὐτοῦ. ἀρτίδιον γοῦν περιηγμένον ὡς εἰς κρίκον, ὅσον ἂν ἀντίχειρ καὶ λιχανὸς διαγράψαιεν τριῶν χαλκῶν στατήρων ἀπεδίδου τῷ ἐλεεινῷ πολίτῃ μόλις ὀβολοῦ ἀξιούμενον.

a ceteris separatus in sacrum gradum ascenderet ad peragendas preces, alius sacrum suggestum legendi psalmi causa conscenderet, ullum discrimen inter illos et populum foret. habebant autem illi omnes venerabile quiddam, quamvis ceteroquin sordidi: omnes enim solutis a pedibus calceis sacrae aedis limen transgrediebantur.

Spectanda sunt etiam singulorum alimenta, sciendumque, a popularibus neminem quidquam nancisci potuisse, cunctis pariter fame laborantibus. e Latinis autem perpauci largiebantur numos, unde tenuiter quis viveret, plerique nomine diaboli increpabant eum, qui quid rogaret (illud quippe illorum donum erat), contumelias pro offa et alapam loco obsonii offerentes. eratque difficile, misericordiam obtinere, nisi a sancto unguenta exsudante, qui omnes, ut supra dictum est, cives alebat, quantum necesse erat. si tamen quis opulentior e censu suo nonnihil alimenti largiri vellet, vae barbaram illius inhumanitatem! Iudaeo enim et Armenio, quos finitima Crania et Zemenicus alunt, impertiebat, quantum satis esset et plus etiam; capto civi particulam tenuissimam dabat, si tamen eius meminisset. panem enim parvulum in orbem inflexum, quantum pollice et digito sigillari comprehenderes, tribus stateribus aeneis misero civi vendebat, vix oboli pretio.

Ἀλλ' ἅμα ὑπεκρουσάμην Ἀρμενίους καὶ ζέσιν ἔπαθον περικάρδιον, ἐννοησάμενος ὁποῖα κακὰ καὶ αὐτοὺς ὁ βάσκανος δαίμων ἡμῖν προσέθετο, ἔξω μὲν πρὸ τῆς ἁλώσεως ἓν ὄντας τοῖς πολεμίοις καὶ θερμοτέρους ἐκείνων εἰς τὰ καθ' ἡμῶν ἀποδεικνυμένους κακά, ἐν ἐφόδοις, ἐν λόχοις, ἐν προόδοις ταῖς εἰς λείαν, ἐν μηχαναῖς, ἐν ἐκφάνσεσι τῶν λανθανόντων, ἔσω δὲ δεσπόζοντας ἡμῶν καὶ αὐτούς, ἀπειλουμένους, ἐπιτάσσον- 299
τας ἀποστεροῦντας, τύπτοντας, ἄγχοντας τοῖς ὠνίοις. ἀρτίσκον γὰρ παλάμῃ περιληπτόν, ὃν ὀβολοῦ ἄν τις τιμήσαιτο, πολλοῦ αὐτοὶ ἐσταθμῶντο, καὶ Λατινικῶς καὶ αὐτοὶ ἡμᾶς ἀπέπνιγον. καὶ ἀπολώλαμεν ἂν τηνικαῦτα, εἰ μὴ τὴν ὀπώραν κατ' ἄμμον πληθύνας ὁ θεός, ἐν αἷς καὶ τὰς σταφυλάς, ὡς ἄλλων κεκοπιακότων ἕτεροι ἔδρεπον εἰς τοὺς κόπους ἐκείνων εἰσερχόμενοι, ἔθρεψε καὶ ἡμᾶς. μὴ γὰρ ἐπὶ νοῦν ἀγέτω τις ἄλλο τι ἐς τροφὴν καὶ τρυφὴν ἐνδεδαψιλεῦσθαι ἡμῖν· ὧν ἐκθλιβομένων μὲν οἶνον εἴχομεν, εἰ καὶ πνευματίαν ἐκεῖνον καὶ βρώμιον καὶ οὐ προσηνῆ πρὸς ὑγίειαν, ἀλλ' οὖν παραμυθητικώτερον ὕδατος, καὶ ἀλλοίαν δὲ τροφήν, ναὶ δὲ καὶ ἱματισμὸν τῇ ἀπεμπολήσει, καὶ εἴ τι δὲ ἄλλο ῥᾴδιον καὶ πρόχειρον ποριάσασθαι. οἱ δὲ ἐξώλεις Ἀρμένιοι λέγονται καὶ καταμιαίνειν ἡμῖν τοὺς ἄρτους. ἦν δὲ αὐτὸ οὐχ ἱκανὸν τοὺς πτωχοὺς ἐκτρέπειν τοῦ προσίεσθαι τὰ πωλούμενα· δεινὴ γὰρ ἡ ἀνάγκη τὸ καθῆκον ἐκκρούεσθαι καὶ μόνον τοῦ πρὸς βίαν ἐγκει-

Enimvero quum Armenios attigi, dolorem mihi animo fervere sentio, recordatus, quanto malo illos quoque daemon invidus nobis immiserit, foris ante expugnationem hostibus coniunctos et acrius, quam illos, clades nobis insidiis, praedationibus, machinamentis, proditione latentium infligentes, intra urbem autem dominantes, minitantes, imperantes, spoliantes, ferientes, caritate annonae prementes. panem enim, quem palma comprehenderes et unius oboli aestimares, magno illi vendebant, et more Latino ipsi quoque nos suffocabant. atque actum tum erat de nobis, nisi deus nos nutrivisset, messem largitus arenae instar affluentem quum reliquam, tum uvarum, quas tamen ab aliis cultas, alii in illorum ingressi hortos vindemiarunt. nolito enim quisquam existimare, alia ad victum luxuriamve nobis suppetisse: sed, uvis pressatis, vinum habebamus, graveolens illud quidem et foetidum nec valetudini salutare, sed aqua tamen suavius, victumque alium, quin etiam vestimenti aliquid, pretio emta, et si quid praeterea facile et commode parari poterat. at perditi isti Armenii etiam panem nobis inquinavisse dicuntur. nec tamen ea res valebat ad arcendos mendicos a rerum venalium cupiditate. quippe magna mise-

μένου γίνεσθαι. τοιοῦτον δέ τινα μιασμὸν διαῤῥέει φήμη καὶ ἐκ τῶν Λατίνων πάσχειν ἡμᾶς· ἔλαιον γὰρ πιμελαῖς καὶ στέασιν ἐγκατακεραννύντες ἐγίνοντο τοῖς ἀγαθοῖς Χριστιανοῖς αἴτιοι τοῦ παρανομεῖν τὴν νηστείαν τὴν κατὰ τὰς τετράδας καὶ παρασκευάς, ἵνα μὴ μόνον τὴν τύχην ἡμῖν ἀλλοιώσωσιν οἷς ἡμᾶς κατεδουλώσαντο, ἀλλὰ καὶ τῇ ἁγίᾳ θρησκείᾳ ἐμπαροινήσωσιν. ὦ τίς ἂν ἀνάσχοιτο ἐκείνων;

Καὶ ὅτε ἡμεῖς μὲν ἐν τῷ τοῦ μεγάλου μυροβλύτου ναῷ ὕμνους ἱεροὺς ἐτελοῦμεν, περιιστάμενοι τὸν περιώνυμον ἐλεήμονα, οἱ δ' ἐν ταῖς πλαγίαις τοῦ ἱεροῦ βήματος τὰ ἑαυτῶν ἐτέλουν, ἀντιφωνοῦντες ἡμῖν καὶ τὰς πολίτιδας φωνὰς ὑπερφωνεῖν ἐθέλοντες βοαῖς κορυζώσαις καὶ ἀπηχέσι, πολλάκις δέ καὶ ταῖς τῶν καθ' ἡμᾶς θείων εὐαγγελίων ἐκφωνήσεσι πρὸς ἔριν οἱ ἀχαριτώτατοι ἀντεπεξαγόμενοι, καὶ συγχεόντες οὕτω τὸ εὔτακτον, καὶ τὴν ἱερὰν ἁρμονίαν λύοντες. καὶ ἐλάλησα μὲν εὐλαβῶς καὶ περὶ τοῦδε τῷ κόμητι Ἀλδουΐνῳ, εἴ πως γένηται τάξις καὶ μὴ γελῷντο τὰ θεῖα τῇ αὐτονομίᾳ τῶν παρ' αὐτοῖς ἱερέων, ἀνύσαι δὲ ἔσχον οὐδὲν, εἰ καὶ ἄλλως ἐκεῖνος ἐφῴκει ἐν οὐκ ὀλίγοις ἐθέλειν τὰ Ῥωμαϊκὰ τάσσειν ὡς μὴ καταλύεσθαι. ὅς γε καὶ δικαιοπραγεῖν εἴτε προσποιούμενος εἴτε καὶ πρὸς ἀλήθειαν βουλόμενος ἔν τε τῷ κρίνειν καὶ κολάζειν τοὺς ὑπαιτίους καὶ ἰσότητα διανέμειν, καὶ μώλωψι καὶ λοιπαῖς αἰκίαις, ἀλλὰ καὶ σκόλοψι τῶν τινὰς κακούργων

ria est, rebus, quibus opus est, excludi, nec nisi prorsus necessaria adipisci. similem autem contaminationem fama est etiam a Latinis nos passos esse. namque oleo adipem et pinguedinem immiscentes auctores exstiterunt piis Christianis violandi ieiunii, ut non solum salutem nostram victoria sua everterent, sed etiam insultarent religioni divinae. quis, quaeso, est, qui talia sustineat?

Quum in templo sancti unguenta exsudantis Nicolai sacros hymnos cantaremus, circumstantes imaginem misericordia gloriosam, illi, in lateribus altaris obliquis sua peragentes, obstrepebant nobis, vocesque urbanas superare conabantur clamore barbaro et dissono, saepe etiam sancti evangelii recitationem nostram ambitiose et maligne interpellabant, ordinem ita confundere et sacrum concentum turbare conati. atque modeste equidem de ea re collocutus sum cum Alduino comite, num forte ordo servari et sacra nostra a sacerdotum Latinorum insolentia et ludibrio defendi possent; sed obtinere nihil potui, quamquam ille ceteroquin in rebus haud paucis rem Romanam bene constituere velle videbatur, ut ne periret. qui certe iustitiae sive se fingebat amantem, sive amans erat revera, siquidem non solum levioris delicti reos iudicabat puniebatque, verberibus et contumeliis aliis iustitiam exercens,

τιμᾶσθαι, καὶ τῷ τοῦ ἁγίου τάφῳ ἄργυρον καὶ χρυσον ἐχορήγησε τὸν ἀρκοῦντα εἰς ἀναποίησιν τοῦ ἐλλείψαντος· καὶ βίβλους δέ, εἰ καὶ μὴ τὰς ἀφηρημένας καὶ οὐδὲ πάνυ τι εὐχρήστους, ἀλλ' οὖν ὅσας εὑρεστήθη, ἐφιλοτιμήσατο δοῦναι· καὶ πήγματα δὲ κηρῶν ἀργύρεα μεταφορητὰ ἐν ἱεραῖς εἰσόδοις, λόγου ἄξια, ἐχαρίσατο· καὶ ἡμῖν δέ τινα ζωαρκῆ ἐπένειμε σύν γε καὶ βίβλοις, ἃς οὔτι λίαν ἐποθοῦμεν, καὶ εἰκονίσματα θεῖα, ὧν τὰ πεφροντισμένα τοῖς ἐκείνου ἡμεῖς αὖθις ἐπεμερίσαμεν, αἰτηθέντες καὶ μὴ ἔχοντες ἀπαρνήσασθαι, ἔτι δὲ καὶ ἱερὰ ἔπιπλα (μὴ γὰρ κρυπτέον τὸ ἀληθές), ἐξ ὧν ἐπικοσμήματός τι πολλαῖς τῶν ἁγίων ἐκκλησιῶν διεμοιρασάμεθα.

Τοῦ δὲ κόμητος τούτου ἐκεῖνο μάλιστα τὸ καλόν, εἰ καὶ ἄλλως εἶχέ τι καὶ κακὸν συμμιγές, παρὰ καὶ καλῷ κακὸν θεμένης τῆς φύσεως, κρατῆρος τοιοῦτον κερασαμένης αὐτῷ. εἶχε μὲν γὰρ τὸ Λατινικὸν ὑπούλως περὶ τοὺς καθ' ἡμᾶς, καὶ συχνὸν αὐτοῖς ὑπ' ὀδόντας ὡς ἀνάθεμα τοῖς μὴ κατὰ τὴν ἡμέραν τῆς ἁλώσεως ἅπαν τὸ πολιτικὸν κατασφάξασι, καὶ τὸ διὰ τί κεφαλαὶ τοιούτοις ἐπικάθηνται σώμασι; καὶ ὅτι τὸ τούτων αἷμα οὐ ποιεῖ σύγκρασιν πρὸς τὸ ἡμέτερον, καὶ ὅτι παρακλητεύσομεν τὸν ῥῆγα, καὶ πεσοῦνται μὲν πάντες οὗτοι, ἀντεισοικισθήσονται δὲ κατὰ μόνας Λατῖνοι, καὶ οὕτως ἅπαν-

1. τιμωρεῖσθαι? 15. κρατῆρα? 18. κατασφάξωσι T

sed etiam sceleratos quosdam ad palos damnabat. idem sancti nostri sepulcro aurum et argentum suppeditavit, quod satis esset ad damna sarcienda; libros etiam, non ablatos quidem nobis aut omnino utiles, sed quibus ipse delectaretur, ambitiosius largitus est, lychnuchosque argenteos, qui in sacris pompis circumferuntur, haud vulgares donavit. nobis idem tum alimenta quaedam librosque obtulit, quos non admodum desiderabamus, tum sacra simulacra quaedam, e quibus tamen diligentius elaborata ipsi rursus illius concessimus popularibus, quibus rogantibus recusare haud liceret; praeterea supellectilem sacram (neque enim celandum est, quod verum est), unde ornamenti aliquid multis ecclesiis distribuimus.

Huius igitur comitis illud in primis laude dignum erat, etiamsi habuit etiam nonnihil mali admixtum a natura, quae bonis iungere solita mala, talem illi craterem miscuerat. namque Latini subdole nobis insidiabantur, et perniciem fremebant, si qui die illo, quo urbs expugnaretur, non civitatem universam trucidassent, murmurabantque "quid istis hominibus caput in trunco est? haud miscetur istorum sanguis cum nostro sanguine; regem rogabimus, peribunt omnes isti, Latini in locum eorum soli succedent: ita demum omnia bene

τα καλὰ ἔσονται. οὐκοῦν ἀκόλουθοι τούτοις ἀπειλαὶ καθ' ἡμῶν καὶ ῥίπισμα ὅσαι ὧραι τοῦ κατὰ τὸν κόμητα θυμοῦ ἐκ διαβολῶν, καὶ ἀναφώνησις τῶν ἐνδιαβαλλύντων τὸ αὔριον, αὔριον, καὶ ὁ τοῦ θεοῦ λαὸς ἅπας εὐθὺς περὶ ἡμᾶς. καὶ ἦν ἀνάγκη κοπιᾶν καὶ λαλεῖν, καὶ ἐποιοῦμεν οὕτω συχνά, πολυτρόπως πονούμενοι. καὶ θεοῦ χαριτοῦντος ἐπείθομεν, καὶ τοῦτο πλειστάκις διὰ τὸ τὸν ἄρχοντα ῥέπειν ἐκεῖσε· καὶ οὐ πρώην ἀνήκαμεν, ἕως τὸ τελευταῖον παντοῖοι (οὐ λέγω τὰ εἰς ὁμιλίαν ἀλλὰ δημηγορίαν) γενόμενοι καὶ δικαιολογησάμενοι καὶ οὐδὲ κολακείας ἀπεσχημένοι καὶ χαριεντισάμενοι, καὶ ἐμβριθῶς δέ τι λαλήσαντες, καὶ μεμψάμενοι μὲν τὴν τῶν συγκλύδων Λατίνων δεινότητα, ἔπαινον δὲ τῶν Θεσσαλονικέων προενεγκόντες καίριον, καὶ ὅλως τοὺς λόγους πολυειδῶς ἁρμοσάμενοι καὶ οἰκονομήσαντες πρὸς ἀνθρώπους ἀγρίους κατά τι ἀμυδρὸν ἀπήχημα γραφικῆς ἐλέγξεως καὶ ἐπιτιμήσεως καὶ παρακλήσεως, οἱ καὶ κατὰ καιρὸν εἰρήνης ἐπὶ τῶν ἡμετέρων ἄτολμοι ὄντες ποιεῖν τὰ εὐαγγελικὰ εἰς ἄκρατον, ἵνα μὴ πάσχοιμεν ἀβούλητα, ἐβεβαιώσαμεν τὸν ἄνδρα, καὶ εἰς ἔμπεδον καταστήσαντες περιηγάγομεν διομόσασθαι ἢ μὴν μηκέτι φόβον ἐπαρτηθήσεσθαι φόνου ἤ τινος ἑτέρου κακοῦ τοῖς ἑαλωκόσι. καὶ τὸ ἐντεῦθεν ἀνεπαυόμεθα, εἰς ὅσον ἦν ἐγχωροῦν. ἐνεχώρει δὲ μὴ εἰς τὸ πᾶν παρά γε τοῖς οὕτω μισορωμαίοις Λατίνοις.

habebunt." his igitur similes minae adversus nos iactantur, sufflaturque perpetuo calumniis animus comitis, declamaturque a calumniantibus: "cras, cras, et populus dei universus illico nobiscum erit." ergo necesse erat concedere et verba dare, fecimusque ita, varie laborantes; atque gratia dei persuasimus illis, idque plerumque eo, quod princeps huc inclinaret; nec mox destitimus, sed usque ad finem perseveravimus, varie nos (non dico in sermonibus, sed in concionibus) vertentes, litigantes, ne ab adulatione quidem abstinentes, morem gerentes, nec vero nihil graviter dicentes, vituperantesque multitudinis Latinae insolentiam, Thessalonicensium autem opportune laudes serentes, denique orationem varie componentes et conformantes coram genere hominum feroci, ad exemplum quasi quoddam actionis, accusationis et admonitionis iudicialis, etiam in pace inter nostros parum audaces ad urgenda vehementius praecepta evangelii, ne pateremur, quae nollemus: ita igitur confirmavimus hominem, confirmatumque eo perduximus, ut iuraret, nunquam captivis periculum mortis vel alius calamitatis subeundum fore. post haec requiescebamus, quantum licebat. licebat autem nihil omnino inter vehementissimos illos Romanorum inimicos Latinos.

'Αλλ' ἐπανιτέον πάλιν ἐκ τῶν τοῦ κόμητος ἐπὶ τὰ πρό- 300
τερον, διχῇ διηρημένων τῶν κατὰ βίον εἴς τε τὰ καθ' ἡμέραν
καὶ τὰ νύκτερα. αἱ μὲν ἡμέραι ἡμῖν ἐψεύδοντο τὸ ἥμερον
διὰ τὴν ἐν τοῖς Λατίνοις ἀγριότητα τὴν ἀμυδρῶς ὑπολαλη-
θεῖσαν, οἳ μὴ χωρητὸν αὐτοῖς καὶ ἡμῖν τὸν κόσμον εἶναι
κρίνουσι· συναντῶντες γοῦν κατέπτυον, ὤθουν, ἐσκέλιζον,
κατέβρεχον ὕβρεις. συχνὸν ἦν αὐτοῖς ὡς εἰς ἐπῳδὸν τὸ
"ἐλθέ, Καλοϊωάννης." μυκτὴρ οὗτος ὡς ἡμῶν ἐν τῇ πολιορ-
κίᾳ γαυρουμένων μικρὸν ὅσον τὸν βασιλέα Ἰωάννην ἐλθεῖν
ἡμῖν ἐπίκουρον. εἰ δέ τις τῶν συναιχμαλώτων πεζῇ τὴν
λεωφόρον τρίβοι (τίς δὲ οὐ τοιοῦτος τότε; ὅτε καὶ ἡμεῖς
ἐπάσχομεν οὕτω, κατάκοποι καὶ τὰ σκέλη παράφοροι καὶ τε-
ταραγμένοι καὶ σεσαλευμένοι κατὰ μεθύοντας), εἰ τοίνυν οὕ-
τω τις περὶ στενωπὸν ὁδεύοι καὶ τύχοι Λατῖνον παρέρχεσθαι
ἔφιππον, οὐκ ἂν ἐκεῖνος φείσαιτο καταπατῆσαι καὶ συντρῖψαι
τὸν ἄνθρωπον, κεντρίζων τὸν ἵππον εἰς κατασκίρτημα. οὕ-
τως ἐφίλουν ἡμᾶς οἱ ἄνθρωποι, συχνὰ πρὸς πάντα λόγον
καὶ πρὸς πᾶν ἔργον προϊσχόμενοι εἰς δικαίωσιν τοῦ κακουρ-
γεῖν τὸ ἀπὸ σπάθης ἡμᾶς ἐλεῖν, οὐκ ἀνθρώπινα λαλοῦντες,
ἀλλ' ὡς εἰ καὶ λέων ἄγραν ἑλὼν ἐθέλει διασπᾶν αὐτὴν οὐχ
ὅτι πεινῴη καὶ ποθοίη σάρκας, ἀλλὰ δικαίῳ τοῦ συσχεῖν αὐ-
τὴν ὄνυξιν. οὐκ ἦν ἐπὶ τούτοις οὐδὲ ὑποστένειν ἡμᾶς, οὖ-

Sed revertendum est a rebus comitis ad priora. sunt autem, quae ad vitam pertinent, bipartito distributa, in diurna et nocturna. ac diurnum quidem tempus spem fefellit tranquillitatis diutinae propter Latinorum occulte frementem ferociam, qui terram simul nos et ipsos capere negabant: unde obvios conspuebant, tundebant, supplantabant. frequens illis ista quasi cantilena erat "veni, belle Ioannes." ludibrium illud erat, quod inter obsidionem insolentius iactassemus, pusillum nobis auxilio venturum imperatorem Ioannem. si quis autem e captivis pedes in via deambularet (quis autem tunc non ibat pedibus? quod et ipsi experti sumus, fracti, vacillantes, turbati, vertiginosi tanquam ebrii); si quis igitur ita deambularet in in via angustiore, et Latinus aliquis forte equo praeterveheretur, haud ille abstenturus erat, quominus conculcaret et elideret hominem, equo ad saltus ferociores stimulando. ita isti nos amice habebant, in omni semper sermone et facinore ad purgandam violentiam praetendentes, quod vi capti essemus, haud humana loquentes, sed plane ita ac si leo captam bestiam lacerare velit, non quod esuriat et carnes appetat, sed iure suo, quippe qui unguibus illam teneat. verum ad haec ne suspirare quidem, aut vultu tristi esse nobis licebat, quae tamen fluctibus calamitatum oppressi ad levandam animi

κουν οὐδὲ κατ' ὄψιν σκυθρωπάζειν, ἃ δὴ τοῖς ἐν κλύδωνι συμφορῶν ἀνεῖται πρὸς ἐκβολὴν τοῦ κατὰ ψυχὴν ἄχθους. πολὺ γὰρ αὐτοῖς ἐνταῦθα τὸ "διάβολε, τί στενάζεις;" ἐβούλοντο γὰρ ἀναισθητεῖν ἡμᾶς καὶ φρενοβλαβεῖν, ὡς καὶ χαίρειν ἐφ' οἷς κακῶς ἐπάσχομεν. εἰ δέ πῃ ξυμπεσὸν ὧδε γελαν εἴτε μειδιᾶν ἐπέλθοι τινί, χολὴ καὶ τοῦτο ὁριμεῖα τῷ κατιδόντι Λατίνῳ. ἐνόμιζε γάρ, ὡς ἔοικεν, ἢ καταγελᾶν ἡμᾶς τῶν Λατινικῶν πράξεων, ἢ ἀγαθὰ καραδοκοῦντας ὁ χαιρέκακος εἴτε καὶ πεπονθότας ἀγαλλιᾶσθαι, ὃ τοῖς ἐχθροῖς ἀπενέφαινε. καὶ τοίνυν δακτύλους εἰς γρόνθον ἔπτυσσον, καὶ τὴν χεῖρα γογγυλίζοντες ἐρρύθμιζον πὺξ πλήττειν, "τί γελᾷς ὦ διάβολε" βατταρίζοντες. καὶ οὕτω τὴν αἰθρίαν τοῦ μειδιάματος εἰς νέφος δακρυόεν μετέστρεφον, ἢ καὶ ἑτέρως εἰπεῖν, τὸν γελῶντα Δημόκριτον εἰς Ἡράκλειτον μετεποίουν δακρύοντα.

Ἀνεψηλαφῶντο παρ' αὐτῶν καὶ τὰ τῶν παροδευόντων προκόλπια, καὶ ἐξεκενοῦντο, εἴ τί που καὶ ἔφερον χρηματισμοῦ, εἰ καὶ βραχύ τι ἐκεῖνο ἦν. περιειργάζοντο καὶ μηρούς, μή που μαχαίρας παρήρτηνται· καὶ εἴ που εὑρεθείη ἐγχειρίδιον ὁποιονοῦν, αἱ μὲν κόρσαι τοῦ φέροντος εἶχον πληγάς, ὁ δὲ Λατῖνος τὴν μάχαιραν. ἔδει καὶ διερρηγμένα πάντας ἡμᾶς περιδεδύσθαι· εἰ γάρ τις εἱματίζετο εἰς ἀκέραιον, ἀνεθεματίζετο παρ' αὐτοῖς ὁ μὴ λωποδυτήσας τὸν ἄνθρωπον.

Ὅτε δὲ τἆλλα παρήσουσιν, ἐπεβούλευον ταῖς ἑκάστων

aegritudinem sibi concessa habent. namque solenne tum illis erat "quid suspiras, diabole?" scilicet sensu carere et delirare nos volebant, ut etiam delectaremur quibus affligeremur malis. sicubi autem cui risus quamvis lenis obortus esset, tum vero si quis id vidisset Latinus ira commovebatur vehementissima. etenim aut irridere, puto, nos res Latinas rebatur, aut miseria aliena delectatus credebat, bonum aliquod nos sive sperare sive nactos esse, quo exultaremus: id quod quoniam inimicis istis displicebat, digitis in pugnum complicatis et compressa manu alapam infligere gestiebant, "quid rides, scelus" balbutientes. ita risus serenitatem in nubilas lacrimarum vertebant, vel, ut aliter dicam, ridentem Democritum in Heraclitnm lacrimantem mutabant.

Excutiebantur ab iisdem praetereuntium sinus, vacuefiebantque, si quid inesset, quantulumcunque illud erat. pertentabant etiam coxas, ne forte pugio ibi lateret; atque sicubi reperiretur culter qualiscunque, illius, qui cultrum gestabat, genae alapam lucrifaciebant, Latinus gladium. oportebat etiam pannis nos induíos esse: nam qui integris vestibus uteretur, devovebatur ab illis, licet neminem spoliasset.

Quando autem cetera praetermissuri erant, insidiabantur unius-

κεφαλαῖς, ἐπ' ἴσης μισοῦντες τούς τε ἀκειρεκόμας τούς τε βαθυπώγωνας. καὶ οὐκ ἦν ἰδεῖν ἄνδρα εἴτε καὶ παῖδα τύχης τῆς οἱασοῦν μὴ κουρίαν κατὰ κύκλον, ὁποία τις οἶμαι καὶ ἡ παροιμιαζομένη Ἑκτόρειος κουρά, εἴτ' οὖν ἡ κατὰ Θησέα τὰ πρόσθια· ὡς τότε ἀντίθετον βαθεῖαι ἦσαν αἱ πάλαι κόμαι κατὰ τοὺς Ἄβαντας, καὶ οὐ κατὰ τοὺς Λατίνους τούτους, κύκλωθι τροχαλαὶ καὶ ὡς εἰπεῖν ἀκρόκομοι. καὶ ὑπούργει πρὸς ταῦτα τοῖς τῶν τριχῶν ἐπιστρόφοις Λατίνοις πῇ μὲν ξυρὸς πῇ δὲ μάχαιρα, τοῖς δὲ θερμοτέροις καὶ ξίφος. καὶ αὐτίκα καὶ ὁ πώγων ἠλαφρύνετο τῷ οὕτω κειραμένῳ ἀνδρί, καὶ ἦν πάντῃ σπάνιον ἰδεῖν ἄνδρα Ῥωμαῖον ἄρτιον τὴν κεφαλήν. εἶχον γὰρ ἀνάπαλιν τῷ "θριξὶ ἐκ τῆς κεφαλῆς ἡμῶν οὐ μὴ ἀπόλλυται." ἡ γὰρ πολλὴ ἁμαρτία, δι' ἣν καὶ πρωΐ πεποινηλατήμεθα, κατὰ τὸν αὐχήσαντα τὰ εἰς τὰς πρωΐας ἀποκτένειν τοὺς ἁμαρτωλοὺς τῆς γῆς καὶ ἐξολοθρεύειν ἐκ πόλεως κυρίου τοὺς ἐργαζομένους τὸ ἄνομον μέχρι καὶ εἰς αὐτὰς τρίχας, τὸ κακὸν ἡμῖν ἐκορύφωσεν, ἵνα εἰς τὸ πᾶν ῥιγῶμεν ἐψιλωμένοι καὶ τὰς κεφαλάς. κἂν εἴ που διεκπέφευγέ τινι πώγων καὶ ἦν καθιέμενος κοσμίως, ὡς εἶχε φύσεως, ἁπτόμενοι τούτου οἱ φαῦλοι κουρεῖς τῇ ἑτέρᾳ χειρί, θατέρᾳ δὲ τῶν κατὰ κεφαλὴν τριχῶν, ταῦτα μὲν εἶναι καλὰ ἔλεγον, ἐκεῖνα δὲ κακά, τὰ τοῦ πώγωνος, ἀστεϊζόμενοι ἐν οὐ παικτοῖς.

cuiuscunque capiti, pari odio habentes promissam tum caesariem tum barbam. nec videre poteras fortunae cuiuscunque hominem quamvis puerum non circumcirca tonsum, qualis est, opinor, quae in proverbium abiit Hectorea tonsura, sive a Theseo cognominata sincipitis: ut tum oppositae essent prisca Abantum coma promissa, et horum Latinorum circumcirca tonsa nec nisi in summo capite, ut ita dicam, relicta. serviebat ad eam tonsuram Latinis capillorum curatoribus modo novacula, modo acinaces, violentioribus etiam gladius. atque illico etiam barba levabatur viro ita tonso, erantque omnino rari Romani, quorum caput integrum esset. habebantur enim secus, atque illud est "haud perit e capitibus nostris capillus." namque crebra peccata, quorum mature poenas dedimus, ut minatus ille est, mature se occisurum filios terrae improbos, et deleturum ex urbe domini, qui iniuste agant, ad capillos usque, miseriam nostram cumulaverunt, ut prorsus rigeremus, ipsis etiam capitibus nudatis. ac si cui barba incolumis evasisset, et eleganter demissa penderet, qualem natura promiserat, eum scelesti illi tonsores altera manu barba, altera capillis prehensum, vellebant, et "haec quidem pulcra sunt, inquiebant, illa (barba scilicet) non sunt," iocantes in re minime iocosa.

Στέργοντες δὲ οὕτω τὴν ἐπὶ τοιούτοις πρὸς αὐτοὺς ἡμετέραν ἐξομοίωσιν, τὸ συζῆν αὐτοῖς ὅμως ἀπέστεργον· διόπερ οὐδὲ συμβιοτεύειν ἡμῖν ἠροῦντο. ἀλλ' ὅτε τις τῶν οἰκοδεσποτούντων ὧδε καὶ ἐκεῖ πλαζόμενος ἀναπολήσει τὴν οἰκίαν εἰς νοῦν, καὶ φαντάσεται τὰ ἑαυτοῦ, καὶ ἐπιθυμήσει παρελθεῖν ἐκεῖ, καὶ ἐγγίσει, καὶ παρακύψει ἐντός, καὶ ἐρωτηθείη τίς ὢν οὕτω ποιεῖ, καὶ ἐξείπῃ αὐτὸς τοῦ οἴκου κύριός ποτε εἶναι, παρελαμβάνετο μὲν ἡδέως, καὶ ὑπανεχόμενος ὡς ἐπὶ τιμῇ ἔβαινεν ἁβρὸς ἔσω, καὶ εἶχεν ἀσπασμὸν καὶ προεδρίαν καὶ βρῶσιν καὶ τὸ πιεῖν, τὰ δ' ἐπὶ τούτοις τῷ ἀνδρὶ ἐκ τῶν βαρβάρων δεξιώματα θανατηρά· κρεμάθραι γὰρ καὶ αἰκισμοὶ καὶ ἐξ ἀχύρων καπνοὶ καὶ ἕτερα καινότροπα κακὰ ἐπὶ χρημάτων ἐκφάνσει καὶ δόσει. ὧν διδομένων πάλιν κύκλος ἐν τοῖς αὐτοῖς· ἀναρτήσεις γὰρ τοῦ ἀθλίου καὶ καταφοραὶ βαρεῖαι πληγῶν, ἕως ἂν ἢ ἐμπλησθῶσι τῶν ποθουμένων οἱ
301 *δήμιοι ἢ ἐλεήσωσιν. ἐγένετο γάρ ποτε καὶ τοιόνδε τι, ὡς εἰ καὶ λέων πεινῶν καὶ ἐνδακών, εἶτα ἐλεήσει ἢ ἀφήσει τὸν αἰκιζόμενον ἡ ζωή. τῶν τινὰς δὲ οὕτω πασχόντων καὶ ἄλλως τοῦ ζῆν μετέστησαν οἱ αἰκιζόμενοι, δείσαντες μὴ πολὺν θησαυρὸν ἐκ τοῦ κολαζομένου ἐξευρηκότες ἀφαιρεθῶσι πρὸς τῶν κομήτων τὸ εὑρημένον, καθὰ συνέκειτο. Κωνσταντῖνος γοῦν τις ὁ ἐπίκλην Κεκαλεσμένος, ἀνὴρ ἀγαθὸς καὶ πλήθων τὰς*

Ita illi nos in istis rebus sibi socios optabant, vitae societatem abhorrebant, ut qui ne versari quidem nobiscum vellent. sed si quis aedium dominus, huc illuc aliquamdiu iactatus, in mentem revocasset domum, recordatusque res suas, et illuc redire cupiens, accessisset, et intrasset, interrogatus deinde, quisnam esset, quod ita faceret, respondisset, ipsum se esse aedium dominum, benigne ille recipiebatur, et, tanquam honoribus ornandus, hilaris ingrediebatur, salutabatur, principem locum obtinebat, cibo potuque recreabatur: at deinde hominem a barbaris hospitia mortifera manebant: succussio quippe, contumeliae, fumus ardentium furfurum, alia vexationes variae, nisi divitiae ostenderentur et traderentur. quibus traditis, idem rursus vexationum orbis: suspendia enim hominis miserrimi et graves verberationes fiebant, donec aut explessent habendi cupiditatem carnifices aut miserarentur. namque accidebat hoc nonnunquam, quemadmodum leones esurientes saevientesque subito miserantur, quam corripuerunt bestiam; aut deficiebat vexatos vita. ex iis autem, qui ita afflicti sunt, nonnullos etiam ultro immanes isti vita. spoliabant, veriti, ne magnas divitias a miseris adepti, praeda, prout convenerat, a comitibus privarentur. Constantinus certe quidam, Cecalesmenus

χεῖρας, φαντασάμενος τὰ οἰκεῖα οἷς τὴν καρδίαν κεκόλλητο, καὶ οὕτω πόθῳ τοῦ οἴκου ἀγρευθεὶς καὶ ἀπαιωρηθεὶς καὶ μυρίας πληγὰς ἐντριβεὶς καὶ κατὰ ἑκάστην ἀπαιώρησιν ἐξερύσας χρήματα καὶ εἰς πολλὰ κορυφώσας αὐτά, εἶτα καὶ ἐλαφρίαν παθὼν λογισμοῦ, καὶ ἐν τῷ ζητῆσαι λαβεῖν τι ἐκεῖθεν παρακρουσθείς, καὶ ἀπειλησάμενος καταμηνῦσαι τὸ πρᾶγμα τοῖς κόμησιν, οὐκ ἔσχεν ἔτι κεφαλήν, ἀλλ' αὐτὴ μὲν κατεχώσθη που ἐκκοπεῖσα, ὁ δὲ λοιπὸς Κωνσταντῖνος ἐξερρίφη νεκρὸς ἀβοήθητος.

Ἔσχε δὲ καὶ τοῦτο τὸ κακὸν ἑτεροίαν ἐπίτασιν. γλυκανθέντες γὰρ οὕτω τῷ κέρδει τῶν οἰκοδεσποτούντων οἱ βάρβαροι ἐνελόχων ἔσω πυλῶν, καὶ εἴ τινα παροδεύοντα ἴδοιεν δόκησιν ἀνδρὸς πέμποντα πλουτοῦντός ποτε, ἥρπαζον αὐτὸν ἔσω οἷά τινες δεινοὶ θῆρες ἐκ φωλεοῦ, καὶ βιαζόμενοι ἐτυράννουν, ἕως τι τῶν κατὰ σκοπὸν ἀνύσαιεν. εἰ δέ τινες καὶ συμβιοτεύειν αἰχμαλώτοις ἤθελον, εἶχε μέν τι καὶ τοῦτο βάρος, ὡς οἱ εὖ πάσχειν δοκοῦντες περιηγοῦντο, ἦν δέ πως φιλάλληλον αὐτὸ καὶ ἀνθρωπικώτερον.

Οὐκ ἦν οὐδὲ τοὺς θείους ναοὺς ὕμνοις ἀσκύλτως περιάδεσθαι τότε, ἀλλ' εἶχε καὶ τὸ καλὸν ἔργον τοῦτο ἐπήρειαν. καὶ τὰς μὲν ἀρχὰς ἱκαναὶ ἡμέραι καὶ οὔτε ἐκλείοντο οὔτε σύναξις ἦν ἡ ἐθὰς ὡς ὑμνεῖσθαι θεόν, ἀλλ' εἴ που ὡς ἐπὶ

cognomine, vir strenuus et divitiis abundans, rem familiarem recordatus, quacum corde conglutinatus erat, atque ita rerum suarum desiderio irretitus, suspensus et plagis infinitis verberatus, et, quum quovis suspendio evomuisset divitias easque admodum cumulasset, postremum, consilii deceptus imprudentia, et lucrandi aliquid spe falsus, comitibus se rem indicaturum esse minatur, nec iam caput super humeros gestat, sed abscissum id obruitur alicubi, reliquus Constantinus proiicitur, cadaver ope destitutum.

Habuit autem illa quoque miseria aliam quandam accessionem. delectati enim ita aedibus divitiisque alienis, barbari intra fores latebant, et si quem praetereuntem viderent, qui speciem hominis opulenti prae se ferret, abripiebant illum intra parietes, prorumpentes tanquam e latibulo ferae bestiae, vexabantque contumeliis, donec adipiscerentur, quod desiderabant. si qui vero una vivere cum captivis vellent, habebat id quoque magnam molestiam, ut narrabant qui ceteris beatiores videbantur, sed erat tamen ea conditio quasi quaedam officiorum coniunctio et humanior.

Ne licebat quidem sacra templa hymnis personare sine iniuriis, sed etiam laudabile id opus execrationem experiebatur. atque ab initio quidem dies effluxerunt complures, quibus nec claudebantur

σκέπῃ καὶ ἀναπαύσει αἰχμαλωσίας, ὅσα καὶ κατ' οἴκους. ὅτε δέ ποτε καί τις ἄδεια ἐξεφάνη καὶ θεῖοι πυλεῶνες ἐκλείσθησαν καὶ φῶς μυστικὸν ἀνήφθη καὶ ἡρμόσθησαν ψαλμοὶ καὶ ἱερεὺς ἐτέλει καὶ λαὸς ἡμέτερος εἶχε σχολήν, κατὰ ἰσχὺν τότε ὁ δαίμων ἀντέπραττε, τῶν φαύλων Λατίνων εἰστρεχόντων καὶ ταῖς ἱεραῖς φωναῖς ἐπιβουλευόντων καὶ λαλαγούντων καὶ συνήθη βαϋζόντων, εἴ πως ἐγκόπτουσι τὴν ουνέχειαν τοῦ καλοῦ.

Οἱ δ' αὐτοὶ καὶ τὸ ξύλον, ὅπερ εὔθετόν ἐστι κήρυκος δίκην σημαίνειν τῷ λαῷ τὴν ἐπ' ἐκκλησίας ἄθροισιν, κωλύειν ἤθελον. ὅτε γοῦν τὴν ἀρχὴν ἐκρούσθη τοῦτο περὶ τὴν καθολικὴν πρὸς δείλην ἑσπερινήν, ξιφήρεις αὐτίκα ἐπὶ τὸν κρούσαντα κατὰ ῥιπὴν ὀφθαλμοῦ ἢ τάχος ἀστραπῆς οἱ βάρβαροι, καὶ τὸν διάβολον συνήθως μασώμενοι καθ' ὕβριν ἡμετέραν "τί τοῦτο" ἔλεγον, καὶ ἐκώλυσαν τότε τὸ ἔργον. καὶ διέβη τὸ τούτων θέλημα κατὰ φόβον τὸν ἐξ ἡμῶν καὶ εἰς τοὺς λοιπούς, ὅσοι οὕτως ἔψαλλον. μετὰ δὲ οὐ πολλὰς ἡμέρας, τῆς ἑορτῆς ἡμῖν ἐσαύριον ἀχθησομένης τῆς ὑψώσεως τοῦ παντίμου σταυροῦ, ἀνῆλθον μὲν οἱ ἱεροκήρυκες εἰς τὴν τοῦ καθ' ἡμᾶς καθολικοῦ ἱεροῦ κορυφήν, τὰ συνήθη τελέσοντες ἐν ἐπιτομῇ· οὐδὲ γὰρ ἐξῆν πλατῦναι διὰ τὸ τῆς εὐφημίας οὐκ ἀπρόσκοπον. καὶ ὡς ἐσήμαναν τῷ ξύλῳ τὴν ἑορτὴν τρανέ-

templa, nec consuetae conciones ad deum hymnis celebrandum fiebant, nisi forte, utut in domibus quoque ob defendendam mitigandamque captivitatem. quum autem tandem timor parumper cessasset, et sacrae valvae clauderentur, ignis mysticus incenderetur, psalmi recitarentur, sacerdos operaretur, populus otio frueretur, tum vero violenter obnitebatur diabolus, siquidem Latini scelesti irrumpebant, et divinis cantilenis obstrepentes usitata sibi vociferabantur, num forte interpellare possent sacri officii ordinem.

Iidem lignum, quod paratum est ad indicendam tanquam per praeconem populo concionem ecclesiasticam, impedire conabantur. ab initio certe quum id percuteretur verperi in ecclesia catholica, illico ea, qua oculus cernit vel fulmen ruit, celeritate barbari gladios adversus percutientem stringunt, et diabolum pro more suo frementes in contumeliam nostram "quid istud" inquiunt, et rem impediunt.ac pertinuit horum voluntas propter metum similis iniuriae ad ceteros quoque, qui ita psallerent. non multis autem interiectis diebus, quum postridie celebranda nobis esset erectae crucis venerabilis memoria, ascenderunt sacri praecones in cacumen templi nostri catholici, solennia peracturi summatim; neque enim plene rem peragere licebat per prudentiam. quum igitur sacrum officium ligno indixissent clarius, rursus

στερον, πάλιν οἱ βάρβαροι, ξίφη γυμνά, καὶ ἄνοδοι αὐτῶν ἐντρεχεῖς, καὶ ἀνακρίσεις καὶ ἔρευναι τῶν κύκλῳ κατά τινα ἰχνηλάτησιν, μὴ καί τις δόλος ὑποκρύπτοιτο. ὡς δὲ καὶ πολυπραγμονήσαντες καὶ κακολογήσαντες καὶ ἀπειλησάμενοι στα-
5 θεροὺς ἑρμηνευτὰς τοῦ πράγματος εὗρον τοὺς περὶ ἡμᾶς, ἐπραΰνθησαν καὶ κατῆλθον ἥμεροι καὶ οὐκέτι ἠνόχλησαν οὐδαμοῦ, οἷα λελυμένου τοῦ ἀπόρου σφίσι πρὸς ἀλήθειαν. τότε δὴ καὶ ἐπῆλθεν ἡμῖν ἀπορῆσαι τί δήποτε τοὺς μὲν ἄνω περὶ τὸν τοῦ μυροβλύτου ναὸν σημαντικοὺς τοῦ ψάλλειν μεγάλους
10 κώδωνας οὐχ ὑποπτεύουσι, τὸ δὲ περὶ τὴν μητρόπολιν συνθηματίζον ξύλον τὴν ἱερὰν σύναξιν βαρέως φέρουσι· καὶ διενοησάμεθα, ὡς εἰκός, μὴ τοὺς τυχόντας Λατίνους δυσαρεστηθῆναι, ἀλλὰ τῶν τινὰς ἐκ τῆς μεγαλοπόλεως, οἳ τῷ ἱερῷ παρατυχόντες πολέμῳ τῷ προεκτεθειμένῳ εἰς ἱστορίαν, καὶ
15 μαθόντες ἐν τῷ μεγάλῳ ναῷ τότε ξύλα τοιαῦτα κροταλιζόμενα καὶ τὸν Ἀνδρόνικον προκαλούμενα ὡς εἰς ἐπικουρίαν τῶν τῆς ἐκκλησίας, ᾠήθησαν κἀνταῦθα ἡμᾶς τοιοῦτόν τι μηχανᾶσθαι.

Καὶ τοιαῦτα μὲν ἡμῖν τὰ ἡμερινὰ κακά, ἐξ ἀπείρων
20 μέτρια καθιστορῆσαι· τὰ δὲ τῶν νυκτῶν οὐδ' αὐτὰ ἔχουσι μὴ οὐ πρὸς ἔριν τούτοις ἀντεπεξάγεσθαι. καὶ τέως ἡλίου κατακυλισθέντος εἰς δύσιν ἐχρῆν τὸν φρονοῦντα ἔσω καλύβης εἶναι, μοχλοῖς τὰς θύρας ἀσφαλισάμενον, ὡς εἴ γε μὴ οὕτως

adsunt barbari strictis gladiis, escendunt festinanter, inquirunt indagantque circumcirca omnes tanquam canes sagaces, ne forte dolus lateat; quum vero post multas turbas, contumelias minasque constantes rei praecones nostros inveniunt, mitigati tandem et quieti redeunt, nec iam usquam quemquam impediunt, quippe nodo sibi rite soluto. subibat autem tum nos cogitatio, quid tandem esset, quod eos, qui desuper de templo sancti unguenta exsudantis magnis pulsandis campanis solennia indicebant, haud suspectos haberent, lignum autem, quo ex composito civitati indicitur sacra concio, ita aegre ferrent; atque intelligere nobis videbamur, haud offensos esse, qui forte adessent, Latinos, sed civium nonnullos, qui, quum interfuissent bello sacro, de quo supra exposuimus, et in templo magno tum talia ligna pulsata audiviissent ad arcessendum in auxilium ecclesiae Andronicum, tum quoque simile quid nos agere suspicarentur.

Talia igitur mala nostra diurna fuere, e quorum numero infinito nonnulla certe commemorare voluimus; nec vero nocturna indigna sunt, quae cum illis componantur. namque sole ad occasum devecto, prudentem hominem sub tecto esse oportebat, porta vectibus obstru-

ἐποίει, οὐδεὶς ἂν ἐγγύην ἐδίδου περισωθήσεσθαι τὸν ἄνθρωπον. ἀλλ' ὅτε καὶ κατ' οἶκον κρυβείς οὐκ ἔχοι σκότον, ἀλλὰ πυρὶ καταλάμποιτο ὑπουργῷ ἢ καὶ φωτί, ἕτερος τοῦτο κίνδυνος, περιιόντων τῶν Σαρακηνῶν· καὶ εἴ τινες δὲ ἄλλοι κατ' αὐτοὺς κακοῦργοι (πολλοὶ δὲ οἱ τοιοῦτοι), καὶ ἀνακρινόντων τί ποιῶν ὁ οἰκοδεσπότης εἰς ὕπνον οὐ κατακέκλιται, καὶ κατακλώντων τὰς θύρας, καὶ εἰσπηδώντων ἔσω, καὶ δρώντων ὅσα ἂν καὶ εἶεν βουλομένοις αὐτοῖς. ἔχομεν δ' εἰπεῖν καὶ ὡς οὐχ οὗτοι μόνοι ἐκακοῦντο διὰ πρόφασιν τὸ πῦρ καὶ τὸ φῶς, ἀλλὰ καὶ οἱ ἀνεμπύρευτοι καὶ ἀφώτιστοι. ἀνεξέλεγκτα γὰρ ἐπεισφροῦντες οἱ κακοί, καὶ τὴν νύκτα ὡσεὶ καὶ Ἅϊδου
302 κυνέην εἰς ἐπίκρυψιν ἀμφιβεβλημένοι, γυναῖκάς τε ἀπῆγον τῶν συνεύνων, ἀφιέντες τὸν τοῦ γάμου ζυγὸν ἑτεροκλινῆ τῇ ἁρπαγῇ τῆς δυνάμεως, ἣν ὑπὸ ἡλίῳ διευκρινοῦντι κατασκεπτόμενοι νυκτὸς ἀφήρπαζον, καὶ νεάνιδας τῶν γειναμένων, ἀτελεῖς, καθά τις ἔφη, τὰς τῶν τεκόντων ἐπ' αὐταῖς εὐχὰς τιθέμενοι. εἰ δὲ καὶ χρήματα συναπῆγον ὅσα καὶ προῖκά τινας, ἐκ περιουσίας τουτὶ τὸ κακόν. ἦσαν δὲ οἳ καὶ ἐσφάττοντο ἐπὶ τῶν οἰκιῶν τηνικαῦτα, ἡλίῳ ἀμάρτυρον κακὸν πάσχοντες. καὶ τὸ αἴτιον ἢ νυκτιλόχος μανία ἢ ὅτι ἐξεβύων οἱ κακουργούμενοι. ὅσοι δὲ τῶν βαρβάρων ἐπιεικέστεροι καὶ παιγνήμονες, οὗτοι δὲ ἀλλ' ἠγάπων θύραις ἐναλλόμενοι καὶ κόπτοντες ῥάβδοις αὐτάς, καὶ ἢ ῥιπτοῦντες καὶ εἰς φόρτον

cta, quoniam, nisi ita fecisset, nemo illum salvum fore spondere poterat. verum, intra parietes licet absconditus, nisi in tenebris esset, sed igne ob opus aliquod accendisset vel lumine illustraret domum, novum rursus periculum erat, siquidem Saraceni et si qui alii illorum similes homines scelesti erant (erant autem multi id genus), circumibant et quaerebant, quid aedium dominus negotii haberet, quominus somno se daret, fores effringebant, irrumpebant, et faciebant, quae ipsis placeret. atque affirmare licet, non solum illos propter ignem scilicet et candelam, sed etiam eos, qui nec igne nec lumine uterentur, vexatos esse. clam enim ingressi, et nocte tanquam galea Plutonis operti et occulti, tum uxores a maritis divellebant, iugo connubiali in alteram partem inclinato vi rapinae, qua auferebant, quam quisque in luce solis sibi elegisset, tum virgines a parentibus abstrahebant, et horum irrita faciebant, ut quis dixerit, pro illarum salute suscepta vota. sicubi bona simul auferebant quasi pro dote, erat id quasi quoddam auctarium calamitatis. fuerunt etiam, qui in aedibus suis tunc occiderentur, cladem passi a sole haud lustratam: cuius atrocitatis causa erat nocturna libido, aut quod exclamassent miseri. qui vero e barbaris modestiores erant et iocosi, ii pe-

ἄγοντες, ἢ ἀλλὰ γοῦν τοὺς κυρίους τοῦ τόπου ἀποστεροῦντες τοῦ ὑπνοῦν.

Ταῦτα δὴ καὶ τούτων ἕτερα πλείω, καὶ μάλιστα τὸ γυμνιτεύειν καὶ ὁ λιμός, τοὺς πολλοὺς τῶν αἰχμαλώτων, θροοῦντα καὶ διαταράττοντα ἕως καὶ εἰς θάνατον τὰς ψυχάς, ἠρέθισαν κατ' ἀνάγκην (καὶ τί γὰρ ἄλλο ἐμηχανήσαντο ἄν;) ὑπαικάλλειν τοὺς Λατίνους, ὑποτρέχειν, κολακεύειν, θώπτειν, σαίνειν, δουλεύειν, πάντα ποιεῖν ἐξ ὧν ἄν καὶ ζήσαιεν καὶ μηδὲ φόβον ἔχοιεν. κἀντεῦθεν εἰσὶν οἳ προσέκοψαν εἰς τὸν ὀρθὸν δρόμον ἄκοντες. οἱ γὰρ μὴ ἔμφρονες καὶ κατελάλησαν καὶ θησαυρῶν κατεμήνυσαν κρύψεις καὶ ἥρπασαν καὶ ἐσύλησαν. ἰχνηλάτησαν δὲ καὶ φυγάδας, τοῦ αὐτοῦ αἵματος τοὺς πολλούς, καὶ ἀγρεῦσαι τοῖς κακοῖς θηραταῖς δεδώκασι, καὶ πολλὰ ἕτερα ἐξήμαρτον, οὗ τι ἑκόντες ἔς γε τὸ πᾶν, ἀλλ' εἰπεῖν καθωμιλημένως, ἑκουσιακούσιοι. τῶν δέ γε καὶ μεγάλα καὶ πρὸς ἀναίδειαν κατενεχθέντων τοῦ φυλετικοῦ γένους (κατηγοροῦνται γὰρ καὶ τοιοῦτοι ἐκβῆναί τινες) μήποτε μνησθείη διὰ χειλέων αὐτοῦ ὁ κύριος. ἐντεῦθεν οἱ αὐτόνομοι γάμοι· ἐντεῦθεν γυναικῶν ἁπαρνήσεις ἁπανηναμένων οὓς νόμος οἶδεν ἄνδρας. ἐντεῦθεν παρθένων φθοραί, τῶν μὲν οὔτι καθ' ἑκούσιον τῶν ἀρχηγετῶν αὐταῖς τοῦ εἶναι, τῶν δὲ καὶ ἐκείνων προεμένων αὐτάς.

tulantia acti fores insiliebant et baculis percutiebant, atque incolas aut vexabant insultabantque aut somno certe privabant.

Haec et alia insuper longe plura, nuditas maxime et fames, captivos plerosque, perterritos turbatosque animis ad mortem usque, necessitate cogebant (quid enim facerent aliud?), ut Latinis blandirentur, assentarentur, adulàrentur, praesto essent, operam darent, denique omnia facerent, quibus tum vitam tueri tum metu se liberare possent. atque hinc repetendum est, qui in cursum praecipitem propulsi sunt inviti. namque homines non satis sanae mentis linguae parum favebant, divitiarum latibula prodebant, rapiebant, spoliabant. investigabant etiam profugos, eiusdem plerosque sanguinis, capiendosque tradiderunt scelestis venatoribus, et multa alia peccabant, haud ultro quidem omnino, sed, ut dictione utar vulgari, nec ultro nec inviti. qui autem et ad magna facinora et ad impudentiam delapsi sunt e civibus nostris (namque tales quoque quidam evasisse arguuntur), eorum nunquam dominus recordetur labiis suis. hinc repetendae sunt nuptiae liberiores; hinc mulierum pervicacia, aspernantium quos lex illis iunxerat maritos; hinc virginum corruptiones, partim invitis vitae auctoribus patratae partim studiose ab illis adiutae; hinc matronarum stupra: quas ego multum dehortatus et cohortatus fru-

ἐντεῦθεν σεμνεῖα πεπορνευμένα· ἐφ' οἷς ἐγὼ πολλὰ καὶ παρακλητεύσας καὶ παρρησιασάμενος ἄπρακτος ἔμεινα, μηδὲ τὰς πασχούσας τὸ ἐφάμαρτον ἐπιστρέψαι δυνάμενος, οἷα γεγευμένας ἤδη τοῦ γλυκυπίκρου καί πως ὑποφωνούσας μοι ὡς χαλεπὸν χορίου κύνα γεῦσαι. ἐντεῦθεν δαπέδων σάλοι καὶ ἀνασχίσεις, δι' ὧν οἶκοι πάντες ἐξωρωρύχατο, ὑπονομευόντων τῶν βαρβάρων κατὰ λαγιδεῖς ἢ ἀσπάλακας ἢ καὶ χοίρους ἢ ἄλλο τι ζῶον ῥιζοφάγον γεωχαρές, εἰπεῖν δὲ καὶ ἄλλως, κατὰ ἀροτρέας. φαίνεται γὰρ ὡς καὶ ἀρότροις ἀνέσχιζον ἂν τὰ τῶν οἰκιῶν, εἴπερ ἐχώρει τὸ κατ' αὐτὰς ἐμβαδόν. ἔναγχος γάρ τοι ἄσπαρτα καὶ ἀνήροτα δρεψάμενοι κατά τι πεπαροιμιασμένον θέρος χρύσεον, εἶτα καὶ ἄροτον οἷον τοῦτον διεχειρίζοντο, ἐξ οὗ αὐτοφυῆ τὰ καλὰ ἐκέρδαινον ἔρμαια. καὶ τοῖς ἀμφὶ τὸν ἥλιον μὴ ἀγαπῶντες πλουτισμοῖς ἐπεβούλευον καὶ τοῖς κατὰ γῆς. δοτέον μοι τοὺς αὐτοὺς καλέσαι καὶ χρυσωρύχους τὴν ἐπιβολήν, κατά γε τοὺς ἐνδόθεν μύρμηκας (τοιαύτης γὰρ ὕλης ἔρωτι παρηνόχλουν τῇ γῇ), τοὺς δ' αὐτοὺς καὶ τυμβωρύχους μυριαχοῦ. οὐδὲ γὰρ οὐδὲ τοὺς νεκροὺς ἀνεπιβουλεύτους παρέτρεχον, ὡς δὲ θησαυροφυλακοῦντας ἐλύπουν διασκαλεύοντες πλούτου χάριν, καὶ οὕτω τὸν Ἅιδην Πλούτωνα καὶ αὐτοὶ νοεῖν ὑπεμφαίνοντες.

Τί μοι πλείω γράφειν, ἔνθα οὐδὲ βίβλοι ὅλαι μακραὶ

16. Ἐνδόθεν?

stra fui, nec potui flagitium expertas revocare, quippe dulcedine gustati semel veneni captas, adeo ut quaedam responderint etiam, haud canem a corio absterreri uncto; hinc terrae concussiones ruptionesque, quibus omnes domus barbari subruebant, more cuniculorum, talparum, suum vel alius bestiae radicibus vescentis et cuniculos agentis, vel, ut aliter dicam, aratorum. videntur enim etiam aratris subruturi fuisse fundamenta aedium, si licuisset per naturam areae. namque nuper ex agris, quos nec arassent nec sevissent, messe facta, auctumnum nacti qui in proverbio est aureum, mox etiam illam quasi arationem occupant, unde praeclaras illas lucrabantur ultro subnatas divitias. insidiabantur enim haud placide bonis tum soli expositis tum sub terra absconditis. concedendum est mihi, ut etiam novo cognomento auri fossores illos appellem, similes illis in India formicis: huius enim metalli cupiditate ducti terram vexabant: eosdemque fossores sepulcrorum impigerrimos; nam ne mortuis quidem insidiarum suarum veniam concedebant, sed tanquam divitiarum custodes vexabant, cuncta perscrutantes divitiarum causa, atque ita Ditem a se quoque Plutonem haberi obscure significantes.

Quid plura scribam, quando ne integris quidem et magnis vo-

ἱκανώσαιεν ἄν με εἰς ἀΰταρκες διαγράφοντα τοῖς φιληκόοις ὁποῖα ἡμῖν συνέπεσε; δι' ὧν ὀψέ ποτε σὺν κακῷ ἔμαθον οἱ ἐν ἡμῖν κομψοὶ τὴν νόησιν χρῆναι τὰ θεόθεν σημεῖα λεπτολογεῖν, καὶ πρὸς αὐτοῖς διευκρινουμένοις ἔχειν τὸν νοῦν, καὶ ποιεῖν τὰ δηλούμενα. εἰ δέ τις ἐνταῦθα ποθῶν φαίνεται προσιστορηθῆναι καὶ οἷα σήματα τῶν μελλόντων προυφάνη, ἀκουέτω βραχυλογικῶς καὶ ταῦθ' ἡμῶν εἰς ἱστορίαν ἐκτιθεμένων.

Ἐν πρώτοις μὲν ἀγαθῶν ἀνδρῶν ὀνείρατα, ὁποῖα καὶ ἡ ἱερὰ οἶδε γραφὴ μηνυτικὰ μελλόντων εἶναι, προελάλουν οἷα πεισόμεθα. καὶ ἡμεῖς ἐγελῶμεν, ἐξουθενοῦντες τὰς καθ' ὕπνους δηλώσεις, καὶ διαστολὴν οὐκ ἐθέλοντες ἐξευρίσκειν δράματός τε καὶ τῶν λοιπῶν ἅπερ ὕπνος φαίνει. καὶ ἀπεῖναι δὲ τὸν μυροβλύτην τῆς καθ' ἡμᾶς πόλεως καὶ κατ' αὐτὴν τὴν ἅλωσιν εἰσελεύσεσθαι οἱ αὐτοὶ ἑωράκασι· καὶ ἡμεῖς οὐ πεπιστεύκαμεν. ὡς γὰρ ὀχλοῦντες οἱ πιστοὶ πρὸς ἐπικουρίαν ἐνέκειντο, ἀνεκάλυψεν αὐτὸς προορατικῶς εἰς μάτην τύραννα δυσωπεῖσθαι· οὐ γὰρ ἄρτι ἀλλ' ἢ μετὰ τρεῖς ἡμέρας ἑλεύσεσθαι. ἦν δὲ τετάρτη μετὰ τὰς τρεῖς ἡ τῆς πορθήσεως. καὶ συχνὰ μὲν ἐποτνιώμεθα "ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς, μή ποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἔστιν ὁ πολιοῦχος αὐτῶν;" ὁ δ' οὐχ ὑπακούων ἐξετόπιζεν ἡμῶν ἑαυτόν.

luminibus scriptor satisfacere poterit cognoscere cupientibus, quae nos mala afflixerint? quibus sero tandem cum damno intellexerunt homines inter nos nasuti, qui signa divina contemnenda dicerent, oportere utique diligenter illa cognosci ac respici, et facienda esse, quae significarentur. si quis autem etiam narrari hic velit, quae tum exstiterint rerum futurarum indicia, aurem ille parumper nobis praebeat illa quoque expositurus.

Primum igitur piorum hominum somnia, quibus etiam scriptura sacra significari res futuras novit, praenuntiabant, quae passuri essemus. verum nos ridebamus, et nihili ducebamus somniis facta indicia, nec visi et ceterorum, quae somnus ostendit, explorare sensum volebamus. viderunt illi autem, abesse ex urbe nostra sanctum unguenta exsudantem, et sub ipsam rediturum esse expugnationem: nec nos fidem habuimus. nam quum ii, qui fidem his habebant, instarent vehementius, ut auxilium ferretur, ille frustra dominationem abhorreri declaravit; quippe non statim, sed post tres dies se esse rediturum; fuit autem, tribus diebus praeteritis, dies quartus is, quo urbs expugnata est. atque multum tum precabamur "veni nos salvatum, ne gentes dicant, ubi est urbis eorum praeses?" verum ille non audiebat nos, sed procul aberat ab urbe.

Ἐδάκρυον ἅγιοι ἐν εἰκονίσμασι· καὶ ἔχαιρον οἱ κενέλπιδες, λέγοντες δυσωπεῖν ἐκείνους ὑπὲρ ἡμῶν. ἐλέγομεν ἡμεῖς "ναί, ἀλλ' οὐκ εἰσακούονται, διὸ καὶ ἐπιμένουσι κλαίοντες·" καὶ ἠπίστουν ἡμῖν. καὶ αὐτοὶ μὲν ἦσαν ἐν ἐλπίσιν· ἡμεῖς δὲ εὖ εἰδότες τὸν ὄλεθρον ἐξ ὧν καὶ ἑωρῶμεν καὶ ἐλόγως συνήγομεν, οὐκ εἴχομεν ὅ τι καὶ δράσομεν, λέγοντες καὶ αὐτοὶ μή τι πρὸς ἀγαθῷ εἶναί τινι τὸ μέλλον εἰδέναι, 303 ἔνθα τῷ φρονοῦντι μηδὲν ἡ γνῶσις λυσιτελεῖ· καὶ κατὰ τὴν τῆς ἱστορίας Κασάνδραν (ὀκνῶ γὰρ εἰπεῖν τὰ μεῖζω παρεισκυκλήσας καὶ προφητικά) ἀληθιζόμενοι μέν, ἀφιέμενοι δὲ λαλεῖν εἰς ἀνήκοον.

Ἔδειξέ τι τέρας τότε οὐκ αἴσιον καὶ ἡ πάναγνος Θεομήτωρ, ἡ παρ' ἡμῖν τοῦ ὁδηγεῖν ἐπώνυμος, δεικνῦσα ὡς ἀποστέργει τὰ καθ' ἡμᾶς καὶ οὐκ ἐθέλει μεθ' ἡμῶν εἶναι. προοδεύουσα γάρ ποτε τότε καθ' ἡμέραν ἢ τὸ κῦρος ἔχει τοῦ τοιούτου καλοῦ, καὶ περιελθοῦσα ἔνθα τῆς πόλεως ἡ ἀδελφότης ἤθελε, καὶ ἀποκαθισταμένη αὖθις εἰς τὸν οἶκον αὐτῆς, καὶ ταῖς εἰσόδοις ἐγγίσασα, οὕτως ὤκνει τὴν εἴσοδον ὡς ἀνὰ πόδα χωρεῖν κραταιῶς βιάζεσθαι τὸν αὐτὴν φέροντα, καὶ ἐνιστάμενον βαρύνεσθαι ὅτι μάλα καὶ πρὸς τῷ καταπίπτειν γίνεσθαι, καὶ οὐ μόνον ἐκεῖνον ἀλλὰ καὶ ἄλλους, ὅσοι συνεπιλάβοιντο. καὶ ἦν μὲν τὴν ἀρχὴν ὁ ἐκείνην ἀνέχων ὕποπτος ὡς οἴκοθεν τοιαῦτα τεχνώμενος, ὁποῖα πολλοὶ τερθρεύονται·

Lacrimabant sancti in imaginibus; atque dicebant, qui vana spe delectabantur, tristes illos esse nostra causa. "profecto ita est, inquiebamus; sed non exaudientur: ideo lacrimare non desinunt." haud illi fidem nobis habebant, sed in spe erant; nos autem, praesagientes utique perniciem ex iis, quae et videremus et prudenter ratiocinaremur, non habebamus, quid faceremus, sed dicebamus etiam, nullius boni esse futura nosse, quod sapienti haud prodesset cognitio, atque exemplo priscae illius Cassandrae (vereor enim maius quid dicere, et immiscere etiam prophetica) verum quidem sentiebamus, sed effari incassum nolebamus.

Ostendit tum portentum infaustum etiam deipara sanctissima, quae a monstranda via apud nos cognomen habet, declarans, se abhorrere res nostras nec nobiscum versari velle. namque quum obisset urbem, et reversa rursus ad templum accessisset ad fores, ita recusabat introitum, ut pedem referre violenter cogeretur, qui illam gestabat, et renisus aegre caveret, quominus procideret, idque non solum ipse, sed etiam ceteri omnes, qui una cum illo manus inferrent. atque ab initio quidem suspicio erat, eum, qui illam

ὡς δὲ καὶ ἱεραὶ ἄνδρες, ἀγαθοὶ τὸ ἦθος καὶ οἷοι μὴ παλαμᾶσθαι τὰ μὴ δέοντα, συνήραντο ἐγκρατῶς, καὶ πάντες ἐλάττονους ἦσαν τῆς τοῦ ἱεροῦ σίγνου ἰσχύος, καὶ οὐκ ἐπείθετο εἰσελθεῖν ἀλλ' ἦν ὡς εἰπεῖν ἀφόρητον, ὑπέρχεται φόβος ἅπαντας, ὅσον ἐχρῆν παθεῖν, ἐχέφρονας, καὶ ἀναπρήσαντες δάκρυα ὕψωσαν κλαυθμόν, καὶ φωνὰς ἐπῆραν πρὸς τὸν ὕψιστον υἱὸν τῆς πανάγνου μητρός. καὶ οὐκ ἐνέδωκαν, ἕως τοῦ σημείου ἤδη διαδειχθέντος, εἶτα μόνος ὁ βαστάζων ἀβάρυντος καὶ ἀπαραπόδιστος ἦγαγε τὸ ἅγιον μόρφωμα ἔνθα ἵδρυται. καὶ ἐδόκει μὲν καὶ τοῦτο τοῖς γενναίοις φρονεῖν ἐλαφρόν· ἡμεῖς δὲ οἱ ἀσθενεῖς ἐβαρυνόμεθα, ὑπονοοῦντες ὅπου νεύει τὰ τοῦ πράγματος.

Ἀπεκρίναντο καὶ τὰ ἱερὰ λόγια ἐξ ἐρωτήσεως τὰ ἀποβάσεις τῶν ἐν τῷ μέλλοντι, τὴν ἅλωσιν, τὴν ἡμέραν αὐτῆς, τὸ κατακοπήσεσθαι ἡμᾶς. ὦ προφητικῆς εὐκρινείας ἐκείνης· ὦ ἀνεπικρύπτου ἀποφάσεως καὶ μὴ ἐπισυρομένης λόξωσιν. καὶ ἡμεῖς ἐκωφεύομεν.

Ἦν τηνικαῦτα καιρός, παρὰ τὰ τελευταῖα τῆς ἁλώσεως, καὶ περικοπὰς εὐαγγελικὰς ἐπ' ἐκκλησίας ἐκφωνεῖσθαι, δι' ὧν τὰ τῆς Σιὼν στηλογραφοῦνται κακά. καὶ οἱ ἔσω φρενῶν ἱερολογίαν κατὰ τῆς πόλεως ὑπενόουν αὐτά. ἔδοξε τῷ ἀρχηγῷ τηνικαῦτα, οἷα τῶν στρατηγικῶν ἀπεγνωκότι, διατάττεσθαι

gestabat, ultro ipsum ista comminisci, quemadmodum multi praestigiis delectantur; verum quum etiam sacri homines, morum probitate noti et qui patrare quod nefas esset non possent, opem ferrent pro viribus, et omnes infirmiores essent sacri signi potentia, nec illud moveri posset, ut intraret, sed, ut ita dicam, obstinate resisteret, prudentem quemque timor incessit, quid civitati patiendum foret, et lacrimas fundentes, vocem clamoremque tollunt ad summum matris sanctissimae filium; nec destiterunt, donec, signo cognito, is, qui eam gestabat, solus sine molestia et impedimento sacram imaginem loco suo collocavit. hoc quoque hominibus sciolis leve visum est; nos autem, homines scilicet infirmi, affligebamur, suspicati, quorsum res illa spectaret.

Docuerunt etiam sacra oracula, quae consulerentur, futura rerum eventa, expugnationem, eiusdem diem, aerumnas nostras. o propheticam illam perspicuitatem! o illam nec obscuram nec obliquam rerum praedictionem! at nosmet surdi eramus.

Erat tum, sub finem expugnationis, tempus, quo recitantur in ecclesiis capita evangelica, quibus mala Sion recensentur. sanae mentis homines sacram eam recitationem ad urbem spectare suspicabantur. visum tum est duci nostro, utpote de re militari desperanti,

τὰ καθ' ἡμᾶς καὶ διεγείρειν ὡς οἷον ἀπονυστάζοντας, ἵνα φαίνοιτο τοῖς μὴ συνιεῖσι διὰ πάντων ἡμῶν καὶ προμηθέστατος. μηνύεται γοῦν ἡμῖν παννυχίδας ἀγρυπνητὰς ἐπιτάξαι περὶ τοὺς μεγάλους ναούς, παίζων ἐκεῖνος κἀνταῦθα· τί γὰρ καὶ ἔδει προτρέπειν εὔχεσθαι ὅπερ ἐκεῖνος ἀπηύχετο, τὴν σωτηρίαν τῆς πόλεως; ἦν δέ οἱ ἐπίνοια ὁσιοῦσθαι τὸ εὐσεβεῖν καὶ ἐπικρύπτειν τὴν ὄρεξιν, ἵνα δοκῇ πάνυ περιποιεῖσθαι τὴν πόλιν ἐφ' ἅπασιν εἴ γε θέλει καὶ εὐχὰς τὰς ὑπὲρ αὐτῆς· οἶμαι δέ, καὶ ἐνδεικνύμενος οὕτω καταστῆσαι τὰ τῆς πόλεως ὡς εὐχῶν καὶ μόνων αὐτὴν δέεσθαι, ὅμοιον ὡς εἰ καὶ ἰατρὸς κατεργασάμενος ἔκ τινος φαυλότητος ἐπὶ θανάτῳ ἄνθρωπον, εἶτα ἐπιτάσσει προσκαλεῖσθαι ἱερέα ἐφοδιάσοντα ἤδη θνήσκοντα σωστικῷ ἁγιάσματι. οὐδὲ γὰρ ἦν ἐπιπόλαιος ἀλλὰ καὶ λίαν βαθὺς εὐτραπελεύεσθαι, ὅσα γε πειράσασθαι τοῦ ἀνδρὸς τοὺς δεινοὺς γνωματεύειν ἦθη τῶν οἷς ἂν περιτύχωσι. διὸ καὶ ταύτην προσεποιεῖτο τὴν θεοκλύτησιν, ὡς οὐκ ἂν τὸ θεῖον θεραπεύοιτο. ὅπως δ' ἂν εἶχε τὸ πρᾶγμα, ὁ μὲν εἶπεν, οἱ δ' ἐκκλησιαστικοὶ ἐπήκουον. καὶ δὴ χρεὼν προλάμπειν τοῦ ψάλλειν τὸν γλυκὺν μελῳδὸν Δαυΐδ, ἐπῆλθεν οὔτι κατὰ αἴσιον τοῖς δεησομένοις (ἦν δὲ βαθὺς ὄρθρος τότε, οὗ λαμφθέντος ἡλίῳ ἑάλωμεν) ἐπιλέξασθαι ψαλμὸν ἐκεῖνον οὗ κατάρχει μὲν τὸ "ὁ θεός, ἦλθοσαν ἔθνη εἰς

12. προκαλεῖσθαι T

de nostris rebus statuere, nosque tanquam dormitantes excitare, ut videretur hominibus imperitis prudentia prae nobis omnibus praestare. significavit certe nobis, ut lumina perpetua in magnis templis disponeremus, ne id quidem non ludibundus. quid enim excitare nos debebat, ut precaremur, quod ipse deprecabatur, salutem urbis? at cupiebat ille simulare pietatem, dissimulare animi consilia, quo urbem omni modo tueri videretur, quippe qui etiam vota pro ea suscipi vellet. atque illud quoque, opinor, significabat, eo urbem iam deductam esse, ut solis precibus egeret, pariter ac si medicus, qui errore aliquo hominem in extremum discrimen vitae adduxerit, sacerdotem arcessi iubeat, ut is moribundum sacro prosequatur viatico. namque homo minime simplex, sed admodum versutus erat, quantum quidem illum cognoverunt viri eximii ad perspicienda ingenia eorum, quibuscum versantur. unde etiam dicis causa istam instituebat supplicationem, qua perfecto nemo coluerit numen divinum. ut-ut autem res erat, imperabat ille, ecclesiastici obediebant. quum autem cantioni praeludere oporteret suavem vatem Davidem, inciderunt precaturi haud fausto omine (erat autem tum multum mane, quo luce solis illustrato urbs capta est) in psalmum illum, qui ita

τὴν κληρονομίαν σου," ἐφέπεται δὲ τὸ "ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου" καὶ τὸ ἑξῆς, μόνον οὐ χρησμῳδοῦντος τοῦ προφήτου καὶ θεοπάτορος δι' ὑποφητείας τῶν ἠθροισμένων εἰς δέησιν, καὶ λέγοντος "τί ἂν ἔτι δεοίμεθα πρεσβειῶν εἰς θεόν, ἔνθα ἐκείνῳ τὰ καθ' ἡμῶν ἀποπέφανται;"

Εἶχεν οὕτω ταῦτα, πλείοσιν ἑτέροις παρασπιζόμενα συγκροτήμασι τῆς τοῦ κακοῦ δηλώσεως. καὶ τοίνυν τῷ συχνῷ τούτων ἅπαντες ἀνεφρονοῦμεν, ὄψιμον συνάγοντες νοῦν καὶ τὸ πρώην θράσος ἀποποιούμενοι (οὐ γὰρ ἂν ἐκεῖνο θάρσος εἴποιμι ἐλλόγως εἴχομεν), καὶ ἐνοοῦμεν οὐκέθ' ἡμῖν εἶναι φυκτά. οὔκουν ἔφθησαν καταντῆσαι εἰς πέρας αἱ τῶν ἐκκλησιῶν δεητήριοι ἁρμονίαι, καὶ ὁ πόλεμος, ἔτι τῶν ψαλμῶν εἱλουμένων ἐν τοῖς τῶν δεομένων στόμασι, θρήνους παρέβυσε, καὶ εἰς γόους οἰκτρούς καὶ ἀλαλαγμοὺς Ἅιδου ἀντιπεριέστησε, καὶ εἰς φυγὴν αὐτοὺς ἀθροισθέντας ἔπτυρε, καὶ τοιαῦτα διέθετο ὥνπερ ὄἴω μεμνήσεσθαι τοὺς ζῶντας ἔν περ ὀνείροις, εἴπερ οὐ τὰ ἡδέα μόνον προπίπτουσι τῆς καθ' ὕπνον φαντασίας, ἀλλ' οὐδὲν ἧττον καὶ τὰ φόβον ἐνδειξάμενα.

Καὶ οὕτως ἐξ ἰδίας ἔχθρας, τῆς τε κατὰ τὸν βασιλέα Ἀνδρόνικον καὶ τῆς κατὰ τὸν δοῦκα Δαυΐδ, κοινὸν κακὸν κατέσκηψεν ἀνάπαλιν τῷ γνωματευσαμένῳ πολλᾶ τῶν κοινῶν

orditur "deus, venerunt gentes in hereditatem tuam," deinde pergit "inquinaverunt sacrum templum tuum, stragem fecerunt servorum tuorum" et quae sequuntur, propheta et patre dei ore eorum, qui ad preces faciendas congregati erant, tantum non vaticinante, et ita dicente "quid etiamnunc preces faciamus deo, quum ille de rebus nostris decreverit?"

Haec igitur ita se habuerunt, multis aliis stipata indiciis instantis perniciei. quibus omnibus cuncti tandem resipuimus, sero ad sanam mentem redeuntes, pristinamque abiicientes confidentiam (neque enim fiduciam illam dixerim), modesti esse coepimus, et intelleximus, non iam nos effugere posse calamitatem. itaque ad finem nondum perductae erant in ecclesiis cantilenae supplices, quum bellum psalmis, qui adhuc in oribus precantium volvuntur, naenias immiscet, eosque in lamentationes miserabiles et eiulationes Stygias vertit, concione in fugam compulsa, et ita affecta, ut illarum rerum qui vivunt recordaturi sint etiam in somniis, siquidem non suavia tantum menti per somnum liberius evaganti, sed etiam ea, quae terrorem incutiunt, obversari solent.

Ita igitur ex inimicitia privata imperatoris Andronici et Davidis, ducis nostri, communis calamitas civitatem invasit, contra illius sententiam, qui rem publicam saepe inimicitiis privatis restitui dixit,

κατά τινας ἰδίας ἔχθρας λαγχάνειν ἐπανόρθωσιν, καὶ οὐκ εὐφραδὴς ἡμέρα, ἡ τῆς πανωλεθρίας, κατερράγη ἡμῖν· ἣν ἤθελον μὲν ἐκ τῶν τοῦ καλοῦ ἐνιαυτοῦ ἀναπληρωμάτων αὐτίκα ἐκκοπῆναι, ὁποῖόν τι λελυπημένος καὶ ὁ καρτερικὸς Ἰὼβ εὔξατο. ἀλλ' ὁ ἐπιτάξας τῷ ἡλίῳ ὁρίζειν τὰ τοῦ ἐνιαυτοῦ καθ' εἱρμὸν τὸν ἀπ' αἰώνων ἐξουδενώσει πάντως τὸ τῆς εὐχῆς ταύτης, πεπαιδευκὼς ἄλλως εὔχεσθαι, ἀνθρωπικώτερον. τὸ γὰρ οὕτω γονυπετεῖν ἐν δεήσεσιν οὐκ ἂν εἴη ψυχῆς μὴ παραφερομένης οἷς παθαίνεται· ὅθεν καὶ συγγνωστὰ εἰ καὶ οὕτω λαλοῦμεν. λίθοι γὰρ ἐνταῦθα οὐκ ἂν παθήναιντο, καὶ ὅσους κατ' αὐτούς. πῶς γὰρ ἄνθρωπος, ἔνθα καὶ τῶν πολεμίων οἱ φαινόμενοι θεὸν εἰδέναι καί τι ἔχειν οἴκτου καὶ ἀθηρίωτοι ἐδάκρυον καὶ κατεστέναζον, βλέποντες πόλιν τοιαύτην οὕτω κατηκισμένην καὶ ἐζημιωμένην καλοῖς, ἅπερ, εἰ διενεμήθη, πλείστην ἂν τῆς οἰκουμένης εἰς εὐδαιμονισμὸν ἐξήρτυσαν; οὐ γὰρ πόλις ἦν ἡ ἁπλῶς, ἀλλὰ μακάρων γῆ, ὁποίαν ὁ μαθὼν οὐκ ἂν ἔχοι λαθέσθαι αὐτῆς· ἣ θάλλουσα ἐσαεὶ τοῖς κατὰ κόσμον καλοῖς ἐξήνθησε τότε ἀτημελήτοις νεκροῖς, ὧν καὶ εἰσέτι σώματα ἀκηδέα κεῖται ἐν παραβύστοις, ἀνδρῶν, γυναικῶν, νηπίων ἀκμαίων, μεσαιπολίων, γερόντων, εἰπεῖν τὸ ἀνηλεέστερον, παρειμένων ἢ καὶ ἄλλο τι σῖγος παθόντων ἀποτυχίᾳ φύσεως, καὶ αὐτῶν δὴ τῶν ὁπηδήποτε νοσοκομουμένων, οὓς

